se trouve placée près de l'anus; si, au contraire, le sclérôme a son siége
dans le voisinage du scrotum, on divisera la région située au-dessous de
la tumeur, en comprenant dans l'incision aussi bien le col de la vessie
que le périnée, avec l'intention avouée de laisser une fistule urinaire :

4. ὑποτομεῖν R. — 6. ποιοποιῷ R, ἕδρας τόν R. — 13-14. περιτοναίῳ et sic sæpius. — 12-13. ὀσχεῷ τῆς R.

Mai 40.
ῥυάς· αἱρετώτερον γάρ ἐστι ῥυαδικὸν γενέσθαι τὸν πάσχοντα ἢ ἰσχουρίᾳ κρατηθέντα ἀναιρεθῆναι.

η'. Περὶ γαγγλίου. Ἐκ τῶν Ῥούφου.

1 Γαγγλίων τὰ μέν ἐστιν ἀνώδυνα, τὰ δὲ καὶ δεινῶς ὀδυνηρὰ, ὥστε καὶ ἐρυθαίνεσθαι καὶ φλεγμαίνουσιν ὅμοια εἶναι, καὶ τοῦτο πάσχειν κατὰ περιόδους καὶ ἀτάκτως, ἅπερ κακοηθέστερά ἐστιν.
2 Τὰ δὲ ἀνώδυνα γαγγλία τὰ ἐπὶ τῷ καρπῷ ἐν τῷ κινεῖν συνεχῶς
τὰς χεῖρας καὶ αὐτὰ ὀδυνᾶν εἴωθεν· διαλειπόντων δὲ καὶ ἀναπαυσα-
3 μένων καθίσταται ὁ πόνος. Ἴδιον δὲ τοῖς τοιούτοις συμβέβηκεν· δια-
χεῖται γὰρ θλιβόμενα, καί ποτε μὲν εἰς τέλος ἀποπαύεται, ποτὲ δὲ διαλείποντα χρόνον ἐπανήκει.

θ'. Περὶ γαγγλίου. Ἐκ τῶν Ἡλιοδώρου.

1 Τὸ γαγγλίον νεύρου ἐστὶ συναγωγὴ πλεονάζον ἐν τοῖς καρποῖς,

car il vaut mieux donner au malade un écoulement involontaire d'urine, que de le voir succomber à la rétention de ce liquide.

8. DU GANGLION. — TIRÉ DE RUFUS.

1 Parmi les ganglions, quelques-uns sont exempts de douleur, tandis que d'autres sont si douloureux, qu'ils deviennent rouges, ressemblent aux parties enflammées, et sont le siége de douleurs périodiques ou
2 irrégulières; or cette espèce de ganglion est la plus maligne. Les ganglions [naturellement] indolents qui siégent au carpe peuvent exciter ordinairement aussi de la douleur, quand on meut continuellement les mains; mais, quand on interrompt ce mouvement et que la main reste
3 en repos, la douleur s'apaise. Cette espèce de ganglions présente ce symptôme particulier, qu'ils se dissipent quand on les comprime, et qu'ils peuvent même disparaître complétement, tandis que d'autres fois ils reviennent après quelque temps d'intermission.

9. DU GANGLION. — TIRÉ D'HÉLIODORE.

Le ganglion est l'enroulement d'un *nerf*, enroulement qui se ren-

1. ῥοιάς R. — Ib. ῥοιαδικόν R.

Mai 40-41.

γινόμενον δὲ καὶ ἐν τοῖς ἄλλοις μέρεσιν. Παντὶ δὲ γαγγλίῳ συνε- 2
δρεύει ὄγκος μικρὸς ὁμόχρους, ἀναλγὴς, ἤ που ἐν τῷ παραπιεσμῷ
ναρκώδη αἴσθησιν ἐμποιῶν. Οὗτος ὁ ὄγκος οὐ μετάγεται κατὰ ὅλον 3
τὸν κύκλον, ἀλλὰ εἰς δύο τόπους παράγεται, τοὺς ἀντικειμένους τῇ
τοῦ νεύρου παρεμφύσει.

| ι'. Περὶ γαγγλίου. Ἐκ τῶν Ἀντύλλου. 41

Ἐν μὲν κεφαλῇ καὶ μετώπῳ καὶ αὐτοὶ πολλάκις γαγγλία τέμνο- 1
μεν, καὶ ἄλλους τέμνοντας ἑωράκαμεν. Ὁ δὲ τρόπος τῆς ἐνεργείας 2
αὐτῶν τοιοῦτος· ἁπλοτομῆσαι χρὴ τὸ δέρμα τὸ ἐπικείμενον τῷ
γαγγλίῳ καὶ διασ7είλαντας, ἐὰν μὲν ᾖ μικρὸν, σαρκολάβῳ ἐπισπα-
σαμένους εἰς τὸ ἐκτὸς μέρος ἀποτέμνειν· ἂν δὲ μεῖζον ᾖ [ἢ] κατὰ τὴν
τοῦ σαρκολάβου χρείαν, ἄγκισ7ρα καταπαρέντα παρέξεται. Μετὰ 3
δὲ τὴν κομιδὴν ζυγώσομεν, ἐναίμως τε ἄξομεν. Ἐπὶ δὲ τῶν ἐν τοῖς 4

contre fréquemment au carpe, quoiqu'il se produise aussi dans d'autres
parties. Tout ganglion se révèle par une tumeur petite, de la même 2
couleur que le reste du corps, non douloureuse, ou pouvant donner
lieu à une sensation d'engourdissement quand on la comprime dans
deux sens opposés. Cette espèce de tumeur ne saurait être déplacée dans 3
tous les sens; on peut lui imprimer seulement un mouvement dans deux
directions opposées aux points d'implantation du nerf.

10. DU GANGLION. — TIRÉ D'ANTYLLUS.

A la tête et au front, nous traitons souvent des ganglions par l'inci- 1
sion, et nous avons vu que d'autres faisaient de même. Voici quel est le 2
procédé opératoire : on fait une incision simple à la peau qui recouvre le
ganglion, et, après avoir écarté les lèvres de la plaie, on attirera la tu-
meur, si elle est petite, avec une pince, et on l'excisera; si, au contraire,
elle est trop grande pour permettre l'emploi de la pince, nous en aurons
raison avec des crochets, à l'aide desquels nous l'aurons saisie. Après avoir 3
enlevé la tumeur, nous réunirons [les lèvres de la plaie] et nous aurons
recours au traitement destiné aux plaies saignantes. S'il se forme des 4

2. ὁμόχρ. ἀντίτυπος ἀναλγ. Paul. — Ib. εἴ R. — Ch. 10, l. 8. ἁπλοτομῆσαι conj.; ἁπλῶσαι R. — 9. διασ7είλαντα R. — 10. [ἢ] om. R.

Mai 41-42.

σκέλεσι καὶ τοῖς καρποῖς γινομένων τὴν μὲν χειρουργίαν ἀπαγορεύειν χρή· θεραπεύσομεν δὲ αὐτὸ κατὰ τρόπους δισσούς· ἢ γὰρ μολύϐιον δισκοειδὲς καὶ ἔτι ϖαχύτερον ὥσπερ οἱ σπόνδυλοι μεῖζον τοῦ γαγγλίου ἐπιδεσμεῖται· τῷ βάρει γὰρ διαλύσειεν ἂν αὐτὸ ἐν χρόνῳ ϖλείονι· ἢ εἰ τύχοι τῆς χειρὸς κατὰ καρπὸν εἶναι τὸ γαγγλίον, τιθεμένης ἐπί τινος μαλακοῦ, ἠρέμα τις ϖαρεστὼς δοίδυκι ϖλήττει τὸ γαγγλίον· διαθλασθέντος γὰρ ἀπευθύνεται τὸ νεῦρον.

ια'. Περὶ ἀκροχορδόνων καὶ καρκινωμάτων. Ἐκ τῶν Ῥούφου.

1 Ὁ δὲ Ξενοφῶν ἐν τῷ ϖερὶ τῶν καρκινωμάτων εἶδός τι ἀκροχορδόνος
2 ἱστορεῖ κακόηθες καὶ καρκινῶδες, οὕτω γράφων. Προσαγορεύεται
42 δὲ καρκίνωμα καὶ ὅταν ἔκφυσις γένη|ται ἔκ τινος τῶν τοῦ σώματος τόπων, τὴν μὲν αὔξησιν εἰς τὸ ἐκτὸς ϖοιουμένη ϖαραπλησίως ταῖς ἀκροχορδόσι καὶ τοῖς θύμοις, τὸ δὲ εἶδος ἐμφερὴς ἀκροχορδόνι, μελαντέρα μὲν καὶ τραχυτέρα, ἁδροτέρα δὲ καὶ στρογγυλωτέρα,

ganglions aux jambes et au carpe, nous refusons d'employer l'instrument tranchant; mais nous traitons cette tumeur de deux manières : on lie sur elle un morceau de plomb épais comme un disque, ou même comme une roue d'un rouet, et qui devra déborder le ganglion : ce plomb, en raison de son poids et de la compression prolongée, efface peu à peu la tumeur; si, par hasard, le ganglion a son siége au carpe, on place cette partie sur quelque corps mou; un aide placé à côté frappe doucement la tumeur avec un pilon : par suite de la meurtrissure, le nerf se dénouera.

11. DES ACROCHORDONS ET DES CARCINÔMES. — TIRÉ DE RUFUS.

1 Dans le passage où il traite des carcinômes, Xénophon décrit une espèce maligne et carcinomateuse d'acrochordon, en se servant des expres-
2 sions suivantes : « On emploie encore le nom de carcinôme lorsqu'il s'est formé, dans telle ou telle région du corps, une excroissance, qui se développe vers l'extérieur de la même manière que les acrochordons et les thymes; pour la forme, cette excroissance est semblable à un acrochordon; mais elle est plus noire, plus raboteuse, plus volumineuse et plus arron-

1. τῶν καρπῶν R.

Mai 42.

προσομοιοτέρα ἢ θύμῳ, ἢ ἰχθύων τοῖς ὀφθαλμοῖς καλουμένοις, ἢ
μόρῳ ἐνώμῳ, ἢ πέπονι, ἢ ἄλλῳ τινὶ τοιούτῳ, ἐάνπερ καὶ ὁ τόπος ἐξ
οὗ ἂν γένηται ἡ τοιαύτη ἔκφυσις, πρός τε τὴν ἀφὴν σκληρότερος φαί-
νηται τοῦ κατὰ φύσιν γεγονὼς, καὶ τὰς φλέβας τὰς εἰθισμένας ἐπὶ
αὐτοῦ φαίνεσθαι παχυτέρας τε ἔχων καὶ μελαντέρας, καὶ ἐπὶ πλείω
τόπον φαινομένας ἢ πρότερον. Συμβαίνει δὲ καὶ τούτων τῶν καρ- 3
κινωμάτων ἕκαστον τοῖς μὲν μεῖζον γίνεσθαι, τοῖς δὲ ἔλασσον, καὶ
τοῖς μὲν πλείστοις ἁπλοῦν εἶναι, τοῖς δὲ δισχιδὲς καὶ τρισχιδὲς, καὶ
τοῖς μὲν πλείστοις διαμένειν ἐπὶ τοῦ αὐτοῦ μεγέθους, ὃ [ἂν] ἐν
τοῖς πρώτοις χρόνοις σχῇ, ἐνίοις δὲ μεῖζον γίνεσθαι, καί τισι μὲν
τοῦτο βραδύτερον ποιεῖν, τισὶ δὲ θᾶσσον, καὶ μάλιστα ἐν ταῖς κα-
χεξίαις, καὶ τοῖς μὲν πλείστοις παρέχειν πόνον, ἐνίοις δὲ καὶ μὴ
παρέχειν, καὶ μάλιστα οἷς ἂν μέγα γένηται παντελῶς. Γίνεται δὲ 4
ἕκαστον τῶν καρκινωμάτων τούτων καὶ ἐν ἄλλοις μὲν τόποις τοῦ
σώματος, μάλιστα δὲ τὸ μὲν τῇ ἀκροχορδόνι ὅμοιον ἐπὶ χείλους καὶ

die; elle ressemble davantage soit à la fleur du thym, soit à ce qu'on appelle *yeux de poisson*, soit à une mûre verte, à une pastèque ou à quelque autre objet analogue; cette manière d'être particulière tient à ce que toute région sur laquelle s'élève une pareille excroissance est devenue manifestement plus dure au toucher que les parties normales, et à ce que les veines qui sont habituellement apparentes dans cette région deviennent plus épaisses, plus noires, et restent visibles dans un espace plus étendu qu'au-
paravant. Ces carcinômes, considérés isolément, tantôt s'agrandissent, 3
tantôt diminuent de volume; le plus souvent ils restent simples; dans certains cas ils se fractionnent en deux ou en trois tumeurs; le plus souvent ils gardent le même volume, quel que soit celui qu'ils avaient d'abord, tandis que parfois leur volume augmente; ce changement se fait tantôt assez lentement, et tantôt avec rapidité, surtout dans les cas de cachexie; chez la plupart des malades, ces tumeurs sont douloureuses, surtout chez ceux dont le carcinôme a acquis un volume très-considérable, tandis que chez
quelques-uns elles ne le sont pas. Chaque espèce de ces carcinômes peut 4
survenir dans une région quelconque du corps; toutefois, suivant que le carcinôme ressemble à un acrochordon, à une fleur de thym, aux yeux

1. μορίῳ R 2ª m. — 2. ἐν ὤμῳ R. — 9. [ἂν] om. R.

Mai 42-43.

ὠτὸς καὶ ῥινὸς καὶ τραχήλου· τὸ δὲ τῷ θύμῳ περὶ ἕδραν καὶ αἰδοῖα· τὸ δὲ τοῖς τῶν ἰχθύων ὀφθαλμοῖς ἐπὶ βλεφάρων καὶ ἐπὶ τοῦ τῆς χειρὸς θέναρος· τὸ δὲ τῷ μόρῳ τῷ ἐνώμῳ περὶ τὴν μασχάλην καὶ τὴν ἥβην· τὸ δὲ τῷ πέπονι παρὰ τὴν τοῦ μασΊοῦ θηλὴν, καὶ μᾶλλον τὴν τοῦ γυναικείου. Ἵνα οὖν ἐν ταῖς θεραπείαις διορίζοντες τὰ τοιαῦτα μὴ ῥᾳδίως ἀποτέμνωμεν· ἑλκωθῆναι γὰρ αὐτοῖς οὐ συμφέρει· χρήσιμον ἔκ τε ὧν ὁ Ξενοφῶν ἱσΊόρηκεν, ἔκ τε ὧν πολλάκις ὁρῶμεν, ἐμπείρους γενομένους καὶ προλέγειν καὶ θεραπεύειν τὰ τοιαῦτα πεφυλαγμένως.

43 | ιϐ΄. Περὶ θύμου.

1 Θύμος ἕλκος ἐσΊὶν ὑπερσαρκοῦν τραχείᾳ καὶ ψαθυρᾷ σαρκί· γί-
2 νεται δὲ ἔν τε ἕδρᾳ καὶ αἰδοίοις καὶ τοῖς ἄλλοις τόποις πᾶσιν. Καὶ τὸ μὲν εὔηθες παντάπασι καὶ πολλάκις αὐτόματον ἀποπῖπΊον, τὸ δὲ εἰ ἀποκόπΊοις, κακοηθέσΊερόν τε καὶ ὀδύνην παρέχον, καὶ χο-

de poisson, à une mûre verte ou à une pastèque, il affecte de préférence les lèvres, les oreilles, le nez ou le cou; les environs du siége et des parties génitales; les paupières et le thénar de la main; la région des aisselles et le pubis; la papille des mamelles, et surtout les parties latérales de celle du sein des femmes. » Donc, si nous avons à traiter de pareilles excroissances, nous devons, par le fait même que nous les reconnaissons, nous défendre de trop de précipitation à les exciser, car il n'est pas bon qu'elles s'ulcèrent; il est donc utile que, profitant de l'expérience que nous devons aux détails rapportés par Xénophon, et aux faits souvent observés par nous-mêmes, nous établissions le pronostic et que nous dirigions avec prudence le traitement de ces tumeurs.

12. DU THYME.

1 Le thyme est un ulcère à chair luxuriante, raboteuse et friable; il survient au siége et aux parties génitales, ainsi que dans toutes les autres ré-
2 gions du corps. Il y a des thymes tout à fait bénins et qui souvent tombent d'eux-mêmes; d'autres, au contraire, prennent, si on les coupe, un caractère plus malin, deviennent douloureux, et un ichor sanguino-

3. τῷ μορίῳ τῷ ἐν ὤμῳ R.

Mai 43.

ῥηγούμενον αἱματώδει ἰχῶρι· ἔσ7ι δὲ οἷς καὶ ἀποτεμνόμενα τοιαῦτα φύεται πάλιν, ὡς χρήζειν ἢ καύσεως, ἢ Φαρμάκου καυσ7ικοῦ· τὰ δὲ καὶ ἀνίατα ὤφθη. Ὅσα δὲ καρκινώδη τρόπον συνίσ7αται, χαλεπώτερα, καὶ τὰ ἐκφυόμενα τῆς βαλάνου χαλεπώτερα τῶν ἐκ τῆς πόσθης, καὶ τὰ ἐν τῇ ἕδρᾳ τὰ βαθύτερα τῶν προχειροτέρων. 3 Ὤφθη δέ ποτε ἐπινεμόμενα ἐκ τῆς ἕδρας πρὸς τὸ αἰδοῖον τῆς γυναικός· τὰ δὲ καὶ αὐτόθεν βλασ7άνοντα. 4 Συμβαίνει δὲ καὶ ἐπὶ ἕλκεσι, καὶ ἄνευ ἑλκώσεως, προηγησαμένης σαρκὸς ἐκβολῆς, οἵας εἰρήκαμεν γενέσθαι. 5

ιγ'. Περὶ ἥλων.

Οἱ δὲ ἧλοι γίνονται μάλισ7α μὲν ἐν τοῖς ποσίν· εἰσὶ δὲ σκληρότητες ὑπερέχουσαι πέλματος, περιερρωγυῖαι, ἐπίπονοι ἔν τε τῷ ψαύειν καὶ ἐν τῷ βαδίζειν, κἄν τις περιτέμνῃ τὰς ὑπεροχὰς, πάλιν 1

lent y afflue continuellement; il arrive aussi qu'après la résection de ces excroissances, il en repousse d'autres du même genre, de telle sorte qu'il faut recourir à la cautérisation ou à un médicament caustique; on en voit aussi qui restent incurables. Les thymes qui se forment à la manière des carcinômes sont assez graves; ceux qui poussent sur le gland sont plus graves que ceux qui poussent sur le prépuce; au siége, les thymes profondément situés sont plus graves que ceux qui sont plus près de la surface. 3 On a vu quelquefois des thymes qui, partant du siége, envahissaient les parties génitales de la femme, et d'autres qui poussaient sur ces parties elles-mêmes. 4 Les thymes peuvent survenir soit à la suite d'ulcères, soit sans ulcération, cas dans lequel l'affection commence par la sortie d'une chair semblable à celle dont nous avons décrit plus haut la formation. 5

13. DES DURILLONS.

Les durillons viennent surtout aux pieds : ce sont des excroissances dures qui font saillie sur la plante du pied, qui présentent des fissures sur toute leur surface, qui deviennent douloureuses quand on les touche ou quand on marche, et qui repoussent quand on les extirpe avec un 1

5. ποσ7ῆς R. — Ch. 13, l. 12. περιτέμνοι R.

Mai 43-44.

2 αὔξονται. Γίνονται δὲ καὶ βαθύτεροι καὶ ἐπιπολαιότεροι, καὶ οἱ βαθύτεροι καὶ τῷ πονεῖν καὶ τῷ δυσκολώτερον ἰᾶσθαι διαφέρουσι τῶν ἐπιπολαιοτέρων.

ιδʹ. Περὶ ἀκροχορδόνος καὶ μυρμηκίας. Ἐκ τῶν Ἡλιοδώρου.

1 Ἀκροχορδόνες καὶ μυρμηκίαι γίνονται μὲν ἐν παντὶ μέρει τοῦ
2 σώματος, συνεχέστατα δὲ ἐν τοῖς δακτύλοις. Ἔστι δὲ | ἡ μὲν ἀκρο-
44 χορδὼν σαρκώδης ὑπεροχὴ λεία, στενῇ βάσει κεχρημένη· ἡ δὲ μυρ-
3 μηκία τραχεῖα ὑπεροχὴ ἐνεῤῥιζωμένη τῷ σώματι. Γίνεται δέ ποτε καὶ κακοήθης μυρμηκία ἀλγεινή, νυγματώδεις πόνους ἐπιφέρουσα, καὶ παροξυνομένη ἐν ταῖς χειραψίαις καὶ φαρμακείαις, ὑποπέλιος,
4 ἢ τρυγώδης οὖσα τῇ χρόᾳ. Τὴν μὲν οὖν ἀκακοήθη κατὰ τετράγωνον ἐκτεμεῖν δεῖ σχῆμα, καὶ ἰσχαίμῳ ξηρῷ χρῆσθαι· κακοήθους δὲ οὔσης τῆς μυρμηκίας, ἀκρωτηριαζέσθω ὁ δάκτυλος ἀπὸ τῶν ὑγιῶν, εἶτα παραλαμβανέσθω καῦσις.

2 couteau. Il y en a de profondes et de superficielles; les premières diffèrent des dernières en ce qu'elles sont douloureuses et qu'elles guérissent plus difficilement.

14. DES ACROCHORDONS ET DES FORMICAIRES. — TIRÉ D'HÉLIODORE.

1 Les acrochordons et les formicaires peuvent survenir sur toutes les parties du corps; mais ils se montrent le plus fréquemment aux doigts.
2 L'acrochordon est une excroissance charnue, lisse, et reposant sur une base étroite, tandis que la formicaire est une excroissance raboteuse, et
3 qui a poussé ses racines dans le corps. Quelquefois aussi la formicaire devient maligne et cause des douleurs piquantes, s'exaspère lorsqu'on y touche avec les mains, ou lorsqu'on la traite avec des médicaments, et présente une couleur légèrement plombée, ou semblable à de la lie
4 de vin. Pour détruire la formicaire bénigne, on pratiquera donc une excision de forme quadrangulaire, et on emploiera un médicament sec bon pour étancher le sang; mais, si la formicaire est maligne, on amputera le doigt, et ensuite on aura recours à la cautérisation.

Ch. 14, l. 4. ἀκροχόρδονες R. — 12. ὑγειῶν R.

Mai 44.

ιε'. Περὶ ἀγκυλίου. Ἐκ τῶν Ἀντύλλου.

Τὸ ϖροσαγορευόμενον ἀγκύλιον σχεδὸν ἐν ϖᾶσι τοῖς ἐπὶ ϖολὺ 1
καμπτομένοις μέρεσι τοῦ σώματος γίνεται· καὶ γὰρ ϖερὶ τράχηλον
συνίσταται καὶ ϖερὶ μασχάλην καὶ ϖερὶ ἀγκῶνα, ϖερί τε δακτύ-
λους· συνίσταται δὲ καὶ ϖερὶ βουϐῶνα καὶ ἰγνύαν, καὶ ϖερὶ τὴν
τοῦ ϖοδὸς ϖρὸς κνήμην συναφήν. Ἔστι μὲν οὖν συνολκὴ σωμάτων 2
φύσει καμπτομένων καὶ ἐκτεινομένων, ἐκ δὲ τοῦ ϖάθους συναγομένων
οὕτως ὥστε ἐκτείνεσθαι μὴ δύνασθαι. Γίνεται δὲ ἤτοι τῶν νεύρων 3
τῶν κάμπτειν τὰ σώματα ϖεφυκότων συνταθέντων διὰ ϖάθος, ἢ ἐκ
γενετῆς οὕτω φύντων, ἢ τῶν νεύρων ἀπαθῶν μὲν ὄντων, τοῦ δὲ
δέρματος καὶ τῆς σαρκὸς τῆς ἐπεστορεσμένης τοῖς νεύροις συσπει-
ραθέντων. Τὰ μὲν οὖν ἐκ νεύρου συνδρομῆς ἀγκυλωθέντα σώματα 4
οὐ δοκιμάζομεν ὑπάγειν χειρουργίᾳ διά τε τὸν κίνδυνον τὸν ἐξακο-
λουθοῦντα τῇ τῶν νεύρων διακοπῇ, διά τε τὸ ϖάντῃ ϖάντως ἀκίνη-
τον ἔσεσθαι τὸ μέρος ταύτην τὴν κίνησιν ἣν τὸ διακοπτόμενον εἰρ-

15. DE LA CONTRACTURE. — TIRÉ D'ANTYLLUS.

La maladie appelée contracture se rencontre dans presque toutes les 1
parties du corps susceptibles d'une flexion étendue : en effet, elle peut
survenir au cou, à l'aisselle, au coude et aux doigts; elle peut se déclarer
encore à l'aine, au jarret et à la réunion du pied avec la jambe. C'est 2
une rétraction de parties qui, par leur nature, sont susceptibles de se
fléchir et de s'étendre, mais qui, par l'effet d'une maladie, sont telle-
ment rapprochées l'une de l'autre, qu'elles ne peuvent s'étendre. La 3
contracture a lieu, soit lorsque les *nerfs* destinés naturellement à fléchir
les parties sont rétractés par suite d'une maladie ou d'un vice congénial,
ou lorsque, sans aucune affection des nerfs, la peau et la chair qui les
recouvrent sont retirées sur elles-mêmes. Nous ne sommes pas d'avis 4
de soumettre à une opération chirurgicale les parties contractées par
suite de la rétraction d'un nerf, à cause des conséquences dangereuses
qu'entraîne la division des nerfs, et parce que la partie sera à tout jamais
complétement privée du mouvement exécuté par le nerf qu'on coupe;

Ch. 15, l. 3. ὀγκῶμα R. — 6. γρ. φυσικὴ R marg.

Mai 44-45.
γάζετο νεῦρον· ὅσα δὲ ἐκ δέρματος καὶ σαρκὸς συντάσεως ἀγκύλια
45 5 γίνεται, πάντα ὑπὸ χειρουργίαν ἄγομεν. | Εἰ μὲν οὖν νεῦρον ᾖ τὸ
αἴτιον, τὸ δέρμα λιπαρὸν καὶ εὐεπίδοτον καὶ ὅμοιον κατὰ τὴν ἀφὴν
τῷ κατὰ φύσιν εὑρεθήσεται· ἡ δὲ τάσις βύθιος ὑποπεσεῖται καὶ διὰ
πολλῶν σωμάτων· ναρκώδης δὲ αἴσθησις ἀπαντήσεται θλιβομένου
τοῦ συντεταμένου νεύρου· εἰ δὲ ἐν τῷ δέρματι αὐτοῦ τὸ αἴτιον εἴη,
πρόχειρός τε καὶ ἐπιπόλαιος ὅ τε σκληρυσμὸς ἥ τε συνδρομὴ φα-
6 νεῖται. Πρὸς δὲ καὶ τὸ δέρμα συντεταμένον αὐτὸ καὶ τῷ κατὰ φύσιν
ἀνόμοιον, καὶ ὡς τὰ πολλὰ αἰτίαν προηγησαμένην ἐσχήκασιν, ἤτοι
7 καῦσιν ἐκ πυρὸς, ἢ ἐξ ἑλκώσεως οὐλὴν ἀμέτρως συνεληλυθυῖαν. Ὁ
δὲ τῆς χειρουργίας τρόπος ἁπλοῦς· χρὴ γὰρ ἐπικάρσιον τέμνειν τὸ
δέρμα κατὰ τὴν μεσότητα τῆς συνδρομῆς, ἐπὶ μὲν δακτύλων μίαν
ἐμβάλλοντας τομήν· ἐπὶ δὲ τραχήλου καὶ ἰγνύας καὶ βουβῶνος,
καὶ δυσὶ καὶ πλείοσι τομαῖς ἐνίοτε χρηστέον, ἐπικαρσίους τε καὶ
8 παραλλήλους τάσσοντας αὐτάς. Ἀλλὰ ἐπὶ μὲν τῶν ἠρέμα συντετα-

au contraire, nous soumettons à une section toutes les contractures qui
5 tiennent à une rétraction de la peau ou de la chair. Si la cause réside
dans un nerf, on trouve la peau luisante, souple, et donnant au toucher
la sensation de la peau normale; nous ne sentons de tension que dans la
profondeur et à travers une couche épaisse de parties interposées; et,
quand on comprime le nerf rétracté, il survient un sentiment de tor-
peur; si, au contraire, la cause de la contracture réside dans la peau,
on s'aperçoit que la dureté et la conglomération sont tout à fait superfi-
6 cielles. En outre, la peau se montre contractée et ne ressemble pas à la
peau saine; ordinairement, les malades ont eu précédemment un acci-
dent qui constitue la cause de leur maladie, et qui consiste soit en une
brûlure par le feu, soit dans la rétraction démesurée d'une cicatrice
7 provenant d'un ulcère. Le mode d'opérer est simple : il faut couper
transversalement la peau au milieu des parties rétractées, en ne faisant
qu'une seule incision, lorsqu'il s'agit des doigts, tandis qu'au cou, au
jarret et aux aines, on aura quelquefois recours à deux, ou même à plu-
8 sieurs incisions transversales et parallèles les unes aux autres. S'il s'agit

12. κατά ex em.; καί R.

Mai 45-46.

μένων μερῶν αὐτάρκεις διαιρέσεις αὗται μόναι· ἐπὶ δὲ τῶν ἰσχυρῶς
ἠγκυλωμένων, εἴ τι μετὰ τὴν διαίρεσιν ἐπαιωρεῖται, καθάπερ τινὰ
πτύγματα τοῦ δέρματος, περιαιρεῖται κἀκεῖνα. Ὁ δὲ τῆς ἀποθερα- 9
πείας τρόπος οὐκ ἔναιμος, ἀλλὰ συσσαρκωτικὸς ἐπαγέσθω, διαστελ-
λομένης σφόδρα τῆς διαιρέσεως, ἢ τῶν διαιρέσεων, πρὸς τὸ μὴ
παλιγγενεσίαν ἀπαντῆσαι· μετὰ δὲ τὴν διαπύησιν ἐγχρονιστέον
τῷ πυοποιῷ τῆς ἀγωγῆς τρόπῳ. Καὶ τοῖς μὲν ἐπιδεχομένοις μέρεσι 10
σωλῆν μολιβοῦς εἰς τὸ ἀπευθύνειν ἀνωτέρω τῶν φαρμάκων ἐπιδεί-
σθω· κατόπιν δὲ τοῦ σωλῆνος νάρθηξ ἐντιθέμενος καὶ συνεπιδεόμε-
νος ἀπευθυνέτω μετὰ τοῦ σωλῆνος τὸ μέρος. Τοῖς δὲ μὴ ἐπιδεχομένοις 11
σωλῆνας, ὥσπερ τραχήλῳ καὶ μασχάλῃ καὶ βουβῶνι, ἀντιστήριγμά
τι πρὸς ἀπευθυσμὸν ἢ σκύτινον, ἢ μολίβδινον προσβαλλέσθω. Χρὴ 12
δὲ ἐπὶ τῶν βυθίων ἀγκυλῶν μὴ πάνυ σπουδάζειν κατὰ τὴν πρώτην
ἐπιβολὴν πᾶσαν συντελέσαι τὴν χειρουργίαν· πολλοὶ γὰρ ἤδη
τοῦτο ἐπιβουλεύσαντες ὑμένας ἀπὸ τῶν νεύρων | πεφυκότας, οἱ δὲ 46

de parties légèrement contractées, ces incisions suffisent seules; au contraire, si la contracture est considérable, on extirpe aussi les brides, qui ressemblent à des plis de la peau, et qu'on voit quelquefois, après
avoir fait l'incision, flotter dans l'intérieur. Le mode de traitement con- 9
sécutif qu'on met en usage ne sera pas celui des plaies saignantes; on aura recours à la méthode par réunion charnue (*seconde intention*); seulement on aura soin de dilater fortement l'incision, ou les incisions, pour prévenir la reproduction de la maladie, et, après que la suppuration sera établie, on insistera pendant longtemps sur le mode
de traitement suppuratif. Pour les parties qui se prêtent à cette pra- 10
tique, on liera par-dessus les médicaments une gouttière de plomb destinée à redresser ces parties, et, le long de cette gouttière, en arrière, on placera une attelle qu'on comprendra dans le même bandage, et qui con-
courra avec la gouttière à ce redressement. Sil s'agit de parties qui ne 11
permettent pas l'emploi de gouttières, comme le cou, l'aisselle et l'aine,
on se servira de quelque contre-appui en cuir ou en plomb. Pour les con- 12
tractures profondes, on ne doit pas s'obstiner à achever du premier coup toute l'opération : en effet, il est arrivé à plusieurs médecins, qui se hâtaient trop, d'estropier ou de tuer le malade, pour avoir blessé, les

Mai 46.

αὐτὰ τὰ νεῦρα τρώσαντες, ἐπήρωσαν, ἢ ἀπέκτειναν τὸν ϖεπονθότα.
13 Χρὴ οὖν ταμιευομένους καὶ τὸ ϖρῶτον ἐπὶ ὀλίγον διελόντας, κἄπειτα ἀποθεραπεύσαντας, αὖθις καὶ αὖθις ὥσπερ ἐξ ἀρχῆς χειρίζοντας διελεῖν· οὗτος γὰρ ἀκίνδυνος ὁ τῆς χειρουργίας εὑρήσεται τρόπος.

ις'. Περὶ ἀγκυλογλώσσου.

1 Γλῶτlα δὲ ἡ μὲν κατὰ φύσιν ἐξαπλοῦται, καὶ ϖλέον γε ἢ τὸ ἥμισυ μέρος εὔλυτός ἐσlιν, ὑμέσι τε τρισὶ ϖροσδεῖται ϖρὸς τὴν κάτω γνάθον ϖροσεχέσι τῆς ἄλλης ϖροσφύσεως, ὧν εἷς μέν ἐσlι μέσος κατὰ μέσην αὐτὴν ἐμφανέσlατος· δύο δέ εἰσιν ἑκατέρωθεν τοῦ μέσου ϖαρὰ τὰς ῥίζας τῆς γλώτlης. 2 Τούτων δὲ τῶν ὑμένων ἐν τοῖς ἀγκύλοις καλουμένοις ὡς τὰ ϖολλὰ μὲν ὁ μέσος, ἢ βραχύτερος ϖαρὰ τὸ ϖροσῆκον γενόμενος, κατέχει τὴν γλῶτlαν κάτω, ἢ ὑπερϐὰς αὐ-

uns, des membranes provenant des nerfs, et d'autres, les nerfs eux-mêmes.
13 On fera donc l'opération en plusieurs temps; ainsi, après des incisions peu étendues, on passera au traitement consécutif; mais on reviendra à plusieurs reprises aux incisions, en agissant comme si on devait opérer pour la première fois le malade : c'est là un mode d'opération tout à fait exempt de danger.

16. DE LA CONTRACTURE DE LA LANGUE (FILET).

1 Dans l'état normal, on peut déployer la langue; plus de la moitié de cet organe se détache facilement [des parois de la bouche]; elle est attachée à la mâchoire inférieure par trois membranes voisines de ses autres attaches; une de ces membranes, la médiane, qui est en même temps la plus apparente, est placée à la partie moyenne de la langue; les deux autres, placées de chaque côté de cette membrane, avoisinent les racines de la langue. 2 Dans la maladie *dite contracture de la langue*, le cas le plus ordinaire est que la membrane du milieu, étant plus courte qu'elle ne doit l'être, maintient la langue en bas, ou bien cette même membrane, ayant dépassé la région moyenne de la langue, et s'étant

4. εἰρήσεται R. — Ch. 16, l. 8. ϖροσέχουσι R. — 9-10. τοῦ μέσου τοῦ ϖαρὰ R.

τὴν τὴν μεσότητα, πλατυνθείς τε τοῖς ἄκροις τῇ ἑαυτοῦ ἐμφύσει
συνδεῖ πρὸς τὴν κάτω γνάθον πᾶσαν αὐτήν· ἐνίοτε δὲ οἱ ἐκ τῶν
πλαγίων συνδεθέντες ποιοῦσι τὸ ἀγκύλιον· σπάνιον δὲ εἴ ποτε,
μεταξὺ τῶν τριῶν τῶν εἰρημένων ἄλλοι τινὲς ἐκφυέντες κατέχουσιν
αὐτήν. Ὁ μὲν οὖν τῆς χειρουργίας τρόπος ἁπλοῦς· δεῖ γὰρ ἀπο- 3
λύειν τοὺς ὑμένας τοὺς καταδέοντας τὴν γλῶτῖαν, οὔτε ἀγγείων,
οὔτε νεύρων προμηθουμένους· ἀκίνδυνα γὰρ τὰ ἐνταῦθά γε. Οὐ μὴν 4
οὐδὲ περὶ ἀποθεραπείας διαλεκτέον· εὐαλθέσῖατα γὰρ τὰ ἐνσῖόμια
πάντα· ὁ δὲ τῆς σημειώσεως τρόπος οὐ κατὰ τοὺς χειρουργούς
ἐσῖιν· οὐδὲ γὰρ αὐτοὺς οἷόν τε γινώσκειν, τίνες τῶν ὑμένων αἴτιοι
τῆς ἀγκυλώσεως· οὐδὲ γὰρ ὄψει ῥᾴδιον καταλαβεῖν αὐτούς· ἀκρι-
βολογητέον δὲ τὰ περὶ τῆς σημειώσεως. Εἰ μὲν οὖν δέλτα καὶ λάβδα 5
καὶ ῥῶ, καὶ ὅ|σοις ὀνόμασιν ἐμφέρεται ταῦτα τὰ γράμματα, μὴ δύ- 47
ναιτο λέγειν, ὁ μέσος ὑμὴν αἴτιος αὐτοῦ τῆς συνδέσεως, καὶ οὗτος
ὑποτμητέος· εἰ δὲ φῖ, ἢ πῖ, ἢ κάππα καὶ χῖ μὴ φωνοίη, οἱ ἐκ πλευ-

aplatie à son extrémité, fixe ainsi toute l'étendue de la langue sur la mâ-
choire inférieure; quelquefois ce sont les membranes latérales qui, se
trouvant nouées, donnent lieu à la contracture; c'est un cas rare, si même
il existe, que d'autres membranes, venant à pousser entre celles que nous
venons de décrire, retiennent la langue. Le mode d'opérer est simple : 3
il faut détacher les membranes qui lient la langue, sans s'inquiéter des
vaisseaux ou des nerfs, car, dans cette région, on les divise impunément.
Il n'y a donc pas lieu non plus de disserter sur le traitement consécutif; 4
car toutes les plaies de la bouche guérissent très-facilement; quant au
diagnostic [des diverses espèces], cette maladie n'est pas du ressort
de la chirurgie : en effet, on ne saurait distinguer quelles sont les mem-
branes qui donnent lieu à la contracture, attendu qu'il n'est pas facile
de les voir; il faut, toutefois, entrer dans des détails minutieux par rap-
port au diagnostic. Si donc on ne peut prononcer les lettres *d*, *l* et *r*, 5
ainsi que tous les mots où entrent ces lettres, c'est la membrane du mi-
lieu qui retient la langue emprisonnée, et c'est aussi celle-là qu'il faut
couper; si, au contraire, les lettres *f* ou *p*, ou *k* et *ch* ne se font pas en-
tendre, on devra couper les membranes latérales; car c'est l'affection de

1. τῇ ἑαυτοῦ conj.; αὐτῆς R 1ª m.; αὐτοῖς 2ª m. — 5. αὐτόν R. — 15. φῖ] ει R.

Mai 47.
6 ρῶν ὑμένες ὑποτμητέοι· οὗτοι γὰρ αἴτιοι τῆς τούτων ἀφωνίας. Χρὴ
δὲ καὶ βραχύτητα καὶ πλατύτητα γλώτῖης ἐπισκοπεῖν, καὶ πάχος
ἄμετρον, καὶ τὸ λίαν ὑγρὸν, καὶ τὸ τῆς γνώμης τοῦ φθεγγομένου
νεναρκηκός· πολλοὶ γὰρ ἐχόμενοι τούτων τινὶ τῶν αἰτίων ἐξαπα-
τῶσι τοὺς ἰατροὺς, ὡς οὐ δυνάμενοι κατὰ φύσιν φθέγγεσθαι διὰ
7 τὸ ἠγκυλωμένον τῆς γλώτῖης αὐτῶν. Μαρτυρεῖ δὲ τῷ λόγῳ τῷδε
καὶ ὅλα ἔθνη ψελλίζοντα ἐξ ἔθους, ὥσπερ τό τε τῶν Σύρων καὶ τῶν
Αἰγυπτίων.

ιζ'. Περὶ χοιράδων.

1 Χοιράδες γίνονται καὶ περὶ ἄλλα μέν τινα μέρη τοῦ σώματος,
πλεισῖάκις δὲ καὶ μέγισῖαι εὑρίσκονται περὶ τράχηλον καὶ μασχά-
2 λας, ἔτι δὲ καὶ βουβῶνας. Ἡ δὲ σημείωσις αὐτῶν εὔκολος· νασῖὰ
γὰρ τὰ σώματα καὶ ἀνώμαλα καὶ πολλὰ ὑποπίπῖει μετὰ ὁμοχροίας
3 τὰ πολλά. Τούτων δὲ αἱ μὲν ἀγγείοις ἐπίκεινται καὶ τρόπον τινὰ

6 ces membranes qui empêche la prononciation de ces lettres. On doit
aussi faire attention au défaut de longueur, à l'aplatissement, à l'épais-
seur démesurée et à l'excès d'humidité de la langue, ainsi qu'à l'état de
l'intelligence, qui peut être engourdie; car plusieurs malades, qui se
trouvent sous l'influence de quelqu'une de ces causes, induisent les mé-
decins en erreur, en cherchant à leur persuader qu'ils ne peuvent parler
comme la nature le comporte, à cause de la contracture de leur langue.
7 Une preuve en faveur de cette manière de voir, c'est qu'il existe des peu-
ples entiers qui balbutient par habitude, par exemple les Syriens et les
Égyptiens.

17. DES SCROFULES.

1 C'est au cou, aux aisselles et aussi aux aines, qu'on rencontre le plus
souvent des scrofules, et que ces tumeurs acquièrent le volume le plus
considérable; cependant, il s'en forme aussi dans certaines autres parties
2 du corps. Le diagnostic de ces affections est facile: elles se révèlent comme
des corps denses, inégaux et nombreux, qui ont ordinairement la même
3 couleur que les parties saines. Parmi ces tumeurs, il y en a qui sont

Ch. 17, l. 13. ὑπόκεινται R.

ἐκπεφύκασιν, ἃς δὴ καὶ προσφυεῖς προσαγορεύομεν· αἱ δέ τινες προσηρτημέναι τοῖς ἀγγείοις, ῥᾳδίαν ἴσχουσι τὴν ἀποχώρισιν. Χρὴ τοίνυν κατακλίναντας τὸν κάμνοντα καὶ σχηματίσαντας ὅπως 4 πρὸς αὐγὴν ᾖ τὸ χειριζόμενον μέρος, διδόναι διαίρεσιν εὐθεῖαν ἐν τῷ τραχήλῳ. | Εἰ μὲν οὖν ὑπὸ αὐτῷ τῷ δέρματι εἶεν αἱ χοιράδες, 48 5 ἀφειδεστέρως τέμνειν· εἰ δὲ ἀγγεῖα ἐπεστορεσμένα τύχοι, μετάγειν τὴν χοιράδα πρὸ τῆς τομῆς εἰς τὰ ἀναγγείωτα χρὴ μέρη, καὶ ἐν ἐκείνοις ποιεῖσθαι τὴν διαίρεσιν κατὰ ἐπικόπου τῆς χοιράδος· εἰ δὲ μετάγεσθαι μὴ δύναιτο ἡ χοιρὰς διὰ τὸ προσφυές, ὥστε ἀδύνατον εἶναι καὶ τὴν διαίρεσιν χωρὶς τῆς διακοπῆς αὐτῶν γενέσθαι, ἐπὶ τούτων ἠρέμα χρὴ διελόντας τὸ δέρμα διασφίγγειν ἑκατέρωθεν τὸ ἀγγεῖον, εἶτα οὕτω διακόπτειν. Εἰ δὲ κατὰ τὴν καρωτὶν ἀρτη- 6 ρίαν, ἢ τὴν σφαγῖτιν φλέβα ἡ χοιρὰς συσταίη, εἰ μὲν ὥστε μὴ εἶναι χειρουργῆσαι χωρὶς τῆς τούτων διαιρέσεως, ἀπαγορεύσομεν τὴν ἐνέργειαν· ἥ τε γὰρ διαίρεσις αὐτῶν, ἥ τε διάσφιγξις θανα-

placées sur les vaisseaux, sur lesquels elles semblent pousser, et qu'on nomme aussi scrofules adhérentes; il y en a d'autres, au contraire, qui tiennent par des brides aux vaisseaux et qui s'en séparent facilement. Il faut faire coucher le malade et le placer de telle façon que la partie 4 sur laquelle doit porter l'opération soit tournée vers la lumière, et pratiquer sur le cou une incision rectiligne. Si les scrofules sont placées 5 immédiatement sous la peau, on coupera sans trop de ménagement; mais, s'il y a des vaisseaux étendus sur la tumeur, il faut, avant d'inciser, repousser cette tumeur vers les parties dépourvues de vaisseaux et faire l'incision dans ces parties-là, en prenant la tumeur elle-même comme point d'appui; si, au contraire, la tumeur ne peut être déplacée à cause de son adhérence, de sorte qu'il soit impossible de faire l'incision sans diviser les vaisseaux, on fera une petite incision à la peau, on appliquera des deux côtés une ligature sur le vaisseau, puis on incisera. Si la scro- 6 fule s'est formée sous l'artère carotide ou sous la veine jugulaire, et si l'implantation est telle, qu'il soit impossible de faire l'opération sans couper ces vaisseaux, on refusera d'opérer; car la division et la ligature

1-2. τινες μὴ προσηρτ. R.

Mai 48.
τηφόρος παραυτίκα· εἰ δὲ ἐπικέοιτο μετάγεσθαι δυνάμενα τὰ ἀγ-
γεῖα, ἐκ πλαγίων τὴν διαίρεσιν ἐμβαλοῦμεν· μετὰ δὲ τὸ διελεῖν
ἀγκίστροις ἀναπτύξαντες τὰ χείλη τῆς διαιρέσεως, προσαρτοῦς μὲν
οὔσης τῆς χοιράδος, λαβῇ σμιλίου τὴν προσάρτησιν διαλύσομεν,
ἢ καὶ τῷ δακτύλῳ, καθέντες τε αὐτὸν, ἔπειτα οὕτως ἀναβαλοῦμεν,
καὶ μετὰ τὴν ἀναβολὴν πάλιν καθέντες τὸν δάκτυλον, διερευνήσο-
μεν, εἰ καὶ ἀλλαχοῦ χοιράδες ὑποκέοιντο, καὶ πάσας τὸν προειρη-
7 μένον τρόπον ἀναβαλοῦμεν. Ὅσαις δὲ ἐπισπωμέναις εἰς τὸ ἐκτὸς
ἐξακολουθοῦσιν ὑμένες, ἐπὶ τούτων τοὺς ὑμένας ἀποκόψομεν ἀκμῇ·
ὅσαις δὲ διὰ τῶν ὑμένων καὶ ἀγγεῖα προσέχεται, εἰ εὔρωστα εἴη,
8 προδιασφίγξαντες ἀποκόψομεν αὐτά. Ἐπὶ δὲ τῶν προσφυῶν χοι-
ράδων, εἰ μεγάλαι σφόδρα εἶεν καὶ τὸ δέρμα λεπτὸν καὶ ἀκαταγγείω-
τον ὑποκείμενον, μυρσινοειδῶς περιελοῦμεν αὐτό· ἐπὶ δὲ τῶν μέσων

de ces vaisseaux est immédiatement mortelle; si, au contraire, ces vais-
seaux sont encore situés sur la tumeur, mais de telle façon qu'on puisse les
déplacer, nous pratiquerons une incision latérale, et, cela fait, nous ren-
verserons les lèvres de la plaie avec des crochets, après quoi, si la tumeur
est attachée aux vaisseaux, nous détruirons cette attache avec le manche
du scalpel, ou en introduisant le doigt; ensuite nous enlèverons la tumeur,
et, après l'avoir enlevée, nous introduirons de nouveau le doigt pour
examiner si, dans d'autres parties, il n'y a pas aussi d'autres tumeurs
placées sous les vaisseaux, et [dans ce cas] nous les enlèverons toutes
7 de la manière que nous venons de décrire. Quand des tumeurs scro-
fuleuses, au moment où on les attire vers l'extérieur, entraîneront après
elles des membranes, nous couperons ces membranes avec le scalpel; si,
par l'intermédiaire de ces membranes, des vaisseaux se rattachent aux
scrofules, on appliquera d'abord une ligature à ces vaisseaux, du moins
8 quand ils sont considérables, et on les divisera ensuite. Si, dans les cas de
scrofules adhérentes, les tumeurs sont très-considérables, et si la peau
à laquelle nous avons affaire est mince et non recouverte de vaisseaux,
on enlèvera un lambeau en forme de feuille de myrte sur cette peau;
s'il s'agit, au contraire, de tumeurs d'un volume moyen ou peu consi-

1. μεταγενέσθαι R. — 7. ἐπικέοιντο R.

καὶ μικρῶν τὸ μέγεθος ἢ ἀγγεῖα ὑπὲρ αὐτῶν ἐπεστορεσμένα ἐχου-
σῶν, εὐθεῖαν μὲν τὴν διαίρεσιν ἐμβαλοῦμεν· πολὺ δὲ μᾶλλον ἐπὶ
τούτων χρησόμεθα διαιρέσει ἤπερ ἐπὶ τῶν προσαρτῶν, δυσεργοῦς
γινομένης τῆς κομιδῆς ἐπὶ τῶν τοιούτων. Ἔπειτα ἀνατέλλοντες 9
τὸ δέρμα τοῖς ἀγκίστροις ἠρέμα ὑποδιαιροῦμεν, ὁμοιοτρόπου κατὰ
πάντα γινομένης τῆς ὑ|ποδορᾶς τῆς ἐπὶ μελικηρίδων καὶ ἐπὶ στεα- 49
τωμάτων παραλαμβανομένης, πλὴν ὅτι ἐνταῦθα μᾶλλον προεσκεμ-
μένως ἐνεργεῖν χρὴ διὰ τὸ πλῆθος καὶ μέγεθος τῶν ἀγγείων, ὥστε καὶ
τὰς βάσεις τῶν προσφυῶν χοιράδων τὰς ἐπὶ αὐτοῖς τοῖς ἀγγείοις,
εἴ ποτε, ὑπολείπεσθαι χρὴ, δυναμένων αὐτῶν διὰ φαρμακείας ὕστε-
ρον ἐκτακῆναι. Ἐπὶ ὧν δὲ ἐξ ἀμφοτέρων τῶν μερῶν τοῦ τραχήλου 10
χοιράδες εἰσὶν, ἐὰν μὲν μικραὶ καὶ προσαρτεῖς τυγχάνωσι καὶ ὀλί-
γαι, τὴν ἐνέργειαν αὐτῶν ἑκατέρωθεν ἐπὶ μιᾶς ποιησόμεθα· εἰ δὲ
μείζους, ἢ ἄλλην τινὰ περισκέλειαν ἔχουσαι τυγχάνοιεν, τὰς ἐκ τοῦ
ἑτέρου μέρους πρῶτον χειρουργήσαντες καὶ ἀποθεραπεύσαντες, οὐ-

dérable, ou si les tumeurs portent des vaisseaux étendus à leur surface,
on fera une incision rectiligne; car, dans ces cas, il y a plus de raison
encore pour recourir à une incision que dans celui d'écrouelles pédicu-
lées, vu que, dans le premier cas, l'enlèvement des tumeurs devient
difficile. On tirera la peau avec des crochets, on fera une petite in- 9
cision en dessous et on isolera ces tumeurs exactement de la même
manière que s'il s'agissait de stéatômes ou de méliceris; seulement
on opérera avec encore plus de précaution à cause du nombre et du
volume considérable des vaisseaux, raison pour laquelle il faut, si jamais
cette précaution est nécessaire, ne pas toucher à la base des tumeurs
adhérentes immédiatement aux vaisseaux, attendu qu'on peut fondre
plus tard ce qui en reste à l'aide de médicaments. Chez les malades 10
affectés de scrofules aux deux côtés du cou, si ces scrofules sont pe-
tites, pédiculées et peu nombreuses, nous ferons en même temps l'opé-
ration des deux côtés; mais, si ces tumeurs ont un volume considérable,
ou si elles présentent quelque autre circonstance grave, nous opérerons
d'abord celles d'un des deux côtés, après quoi nous leur appliquerons

1. αὐτῶν ἐπεστορεσάμενα (sic) R.

Mai 49.
11 τως ἐξ ὑστέρου μεταβησόμεθα καὶ ἐπὶ τὰς ἑτέρας. Ὁ δὲ τῆς ἀποθεραπείας τρόπος πρόδηλος· ὅμοιος γάρ ἐστι τῷ ἐπὶ τῶν στεατωμάτων, ἐναίμως ἡμῶν ἀγόντων διὰ παρακολλητικῆς ἀγωγῆς, εἰ πάσας ἐκ βάσεως τὰς χοιράδας κομισαίμεθα, ἢ κατὰ συσσάρκωσιν,
12 ἐὰν ὑπολειπόμεναι βάσεις τινὲς, ἢ χοιράδες δέωνται ἐκτακῆναι. Τὸ δὲ σχῆμα τῆς ἐπιδέσεως ἐν τῷ περὶ βρόχων εἰρήσεται καὶ ἐπιδέσμων.

ιη'. Περὶ κιρσῶν.

1 Οἱ κιρσοὶ συνίστανται φλεβῶν ἀνευρυνομένων, καὶ πλείονος αἵματος κατασκήπτοντος· συνίστανται δὲ καὶ ἐν κεφαλῇ καὶ ἐν ἐπι-
2 γαστρίῳ καὶ ἐν ὀσχέῳ καὶ ἐν σκέλεσιν. Καὶ ἐπειδὴ πλεῖστόν ἐστι τὸ
3 ἐνταῦθα πάθος, ἀπὸ τῶν ἐν τοῖς σκέλεσιν ἀρξώμεθα. Χρὴ τοίνυν πρὸ μιᾶς τῆς ἐνεργείας ἡμέρας ἀποξύραντα τὸ σκέλος λουσάμενον τὸν κάμνοντα, εὐθὺς ἔτι θερμὸν ὄντα στῆσαι ὀρθὸν ἀπερεισάμενον ὡς ὅτι μάλιστα ἐπὶ τοῦ κεκιρσωμένου σκέλους, καὶ σημειοῦσθαι

le traitement consécutif, et alors nous passerons plus tard aux autres.
11 La méthode du traitement consécutif est évidente : c'est la même que pour les stéatômes, c'est-à-dire nous agissons comme pour les plaies saignantes, en usant du traitement agglutinatif, au cas où nous avons enlevé toutes les tumeurs jusqu'au fond, ou bien nous opérons par réunion charnue, au cas où soit des tumeurs entières, soit la base seule-
12 ment, ont été laissées en place et ont besoin d'être fondues. On indiquera la forme du bandage dans le livre sur les lacs et les bandages.

18. DES VARICES.

1 Les varices se forment quand les veines se dilatent et qu'il s'y dépose une quantité de sang plus grande qu'auparavant; or les varices se forment
2 à la tête, au ventre, au scrotum et aux jambes. Commençons par les varices des jambes, attendu que la maladie s'y observe le plus fréquem-
3 ment. Après avoir rasé la jambe un jour avant l'opération, on administrera un bain au malade et on lui ordonnera immédiatement après, pendant qu'il est encore sous l'impression de la chaleur, de se tenir debout, en appuyant autant que possible sur la jambe affectée, et on marquera

5. δέοιντο R. — Ch. 18, l. 12. ἔτι ex em. Mai; ὅτι R.

κατὰ πάσας τῶν κιρσῶν τὰς ἐπαναστάσεις, ἐμβάλλοντας ἐπιπολῆς βραχείας ἀμυχάς· οὕτω γὰρ εἰ κατὰ αὐτὴν τὴν χειρουργίαν ἀφανῆ γένοιτο τὰ ἀγγεῖα διὰ δειλίαν, | ἢ διὰ ἄλλην τινὰ πρόφασιν, οὐ δια- 50
μαρτησόμεθα τῶν κιρσῶν τεκμαιρόμενοι ταῖς σημειώσεσιν. Τὰς δὲ 4
ἐπιπολῆς ἀμυχὰς εὐθυτενεῖς ποιησόμεθα, οὐ κατὰ τὴν τῶν κώλων φύσιν, ἀλλὰ κατὰ τὸ τῶν κιρσῶν σχῆμα, ὡς ἐπιπολάζειν τῷ μήκει τὰς ἀμυχάς. Μέλλοντες δὲ ἐνεργεῖν, κατακλινοῦμεν τὸν πάσχοντα πρηνῆ, 5
τὰ μὲν ἄλλα μέρη πρὸς τὸ βάθρον τῷ σχηματοδέσμῳ καταδέοντες, τὸ δὲ κιρσοτομούμενον σκέλος ἐκ μὲν τῶν δεσμῶν ἔκλυτον ἀφιέντες, ὑπηρέταις δὲ διακρατεῖν παραδόντες πρὸς τὸ μετασχηματίζειν ποτὲ μὲν ἐπὶ τὸ πρηνές, ποτὲ δὲ ἐπὶ τὸ ὕπτιον, ὅπως ἂν ἡ χρεία ἀπαιτῇ, ἔπειτα λαβόντες ἄγκιστρα τῶν σφόδρα μικροκαμπῶν, καλουμένων δὲ κιρσουλκῶν, γαμμοειδῆ κατὰ τὴν καμπὴν, καὶ καταπείραντες ἐπιπολῆς εἰς τὸ δέρμα κατὰ τὸ ἐπιφανέστατον τοῦ κιρσοῦ

d'un signe toutes les protubérances causées par les varices, en y faisant de petites vergetures superficielles : de cette manière, en effet, les varices ne nous échapperont pas, si, pendant l'opération, les vaisseaux se soustrayaient à la vue par suite de la peur du malade ou de quelque autre cause; car nous prendrons les marques artificielles pour guide dans nos
conjectures. Nous donnerons aux vergetures une direction rectiligne, 4
non en suivant la direction naturelle des membres, mais en nous tenant à la forme des varices, de telle manière que les vergetures restent dans
le sens de leur longueur. Au moment de commencer l'opération, nous 5
faisons coucher le malade sur le ventre, et, à l'exception de la partie affectée, nous fixons toutes les autres sur le banc à l'aide du bandage destiné à cet usage; nous laissons flotter librement en dehors des bandes la jambe affectée de varices, et nous la donnons à tenir à des aides, afin de pouvoir la faire changer de position, en la tournant tantôt dans le sens de la pronation et tantôt dans celui de la supination, suivant que les nécessités de l'opération l'exigent; ensuite nous prendrons des crochets à très-faible courbure appelés *tire-varices*, et qui ressemblent à la lettre Γ; avec ces crochets nous saisirons superficiellement la peau sur la partie la plus apparente de la varice, à côté de la vergeture qui sert

9. *εὔλυτον* R.

Mai 50.
μέρος παρὰ τὴν ἐγχάραξιν τὴν σημειώδη, πλάγιόν τε παρὰ τὸ σκέλος παρατείναντες αὐτὸ, καὶ ἐνειλήσαντες τῇ καμπῇ τὸ δέρμα, ὥστε περιτενὲς καὶ κυρτὸν γενέσθαι, κατὰ τῆς σημειώσεως ἐμβαλοῦμεν διαίρεσιν εὖ μάλα μικρὰν κατὰ τὸ μῆκος, καὶ μικροτέραν γε τῶν ἐν φλεβοτομίαις, διελοῦμέν τε τὸ δέρμα διὰ βάθους μέχρι
6 τοῦ κιρσοῦ. Ῥᾳδίως δὲ γνωριοῦμεν αὐτό· λεῖόν τε γὰρ καὶ κυανίζον
7 ὀφθήσεται διὰ τὴν τοῦ αἵματος ὑπαυγήν. Εἰ δὲ μετὰ τὴν τοῦ δέρματος τομὴν ὑμένες τινὲς ὑπεστορεσμένοι φαίνονται· δῆλοι δὲ ἔσονται τῇ τε δασύτητι καὶ τῇ λευκότητι· τὸ ἄγκιστρον ἐκ τοῦ δέρματος κομισόμεθα, διὰ δὲ τῆς γεγονυίας διαιρέσεως καθέντες αὐτοῦ τὴν καμπὴν, καταπείραντές τε εἰς τοὺς ὑμένας καὶ ἀνατείναντες, διελοῦμεν αὐτοὺς μέχρι τοῦ ἀγγείου, καὶ δίς γε καὶ τρὶς
8 μεταπείρομεν αὐτοὺς, εἰ πλείους ὑποπίπτοιεν ὑμένες. Ἔπειτα κάτω στρέψαντες τὸ ἄγκιστρον· ἔστω δὲ κατὰ τοῦτο μὴ ἔπακμον, ἀλλὰ ὡς οἱ χειρουργοὶ καλοῦσι, τυφλάγκιστρον· τούτῳ τὸν κιρσὸν ἀνα-

de signe; puis, attirant latéralement la peau à côté de la jambe et l'enroulant sur la courbure, de manière qu'elle se renfle et se tende de tous les côtés, nous ferons sur la vergeture une incision longitudinale extrêmement petite, plus petite encore que celle d'une saignée, et nous divise-
6 rons profondément la peau jusqu'à arriver sur la varice. Or on la reconnaîtra facilement : elle se présentera à nos yeux avec une surface lisse
7 et une couleur bleuâtre, car le sang apparaît à travers. Si, après l'incision de la peau, il se présente des membranes étendues au-dessous, (or ces membranes se révèleront par leur aspect rugueux et leur blancheur), nous retirerons le crochet de la peau, nous l'introduirons par sa courbure à travers l'incision que nous venons de faire, nous le fixerons dans les membranes, et, l'ayant attiré, nous diviserons ces membranes jusque sur le vaisseau; puis nous changerons deux ou trois fois le point d'insertion sur les membranes, si le nombre qui s'en pré-
8 sente est assez considérable. Ensuite nous tournerons le crochet en bas (seulement ce crochet ne doit pas être pointu, mais de l'espèce de ceux que les chirurgiens nomment *crochets mousses*), et nous soulèverons la

15-p. 34, l. 1. ἀναλαβοῦμεν R 2ª m.

βαλοῦμεν. Εἰ δὲ δυσχερῶς ἀναβάλλοιτο, καὶ ἕτερον τυφλὸν καθή- 9
σομεν οὐκ ἐκ τοῦ αὐτοῦ μέρους, ἀλλὰ ἐκ τοῦ ἀντικειμένου καὶ ἀν-
τεσῖραμμένου, ἀμφοτέροις τε περιλαμβάνον|τες ἀναβαλοῦμεν. Ἰσῖέον 51 10
μέντοι ὅτι ἀναβληθεὶς οὐκέτι κυανοῦς ὁ κιρσὸς, ἀλλὰ λευκὸς καὶ
νευρώδης φανήσεται, ἅτε τοῦ μὲν αἵματος ἐκθλιβομένου εἰς τὰ ἑκα-
τέρωθεν, μόνου δὲ τοῦ χιτῶνος ἐν τῇ περιτάσει καταλειπομένου· ὃς
δὴ νευρώδης τέ ἐσῖι καὶ λευκὸς αὐτὸς ἐπὶ ἑαυτοῦ. Εἰ δὲ μὴ ὑποπί- 11
πῖοι τὸ ἀγγεῖον· οὐχ ὑποπίπῖει δὲ πολλάκις, ἤτοι διὰ τὸ εἰς τὰ
πλάγια τῆς διαιρέσεως παρωλισθηκέναι, ἢ διὰ τὸ ἐν πολλῷ βάθει
τὴν θέσιν ἔχειν· τηνικαῦτα τῷ τυφλῷ πρῶτον μὲν τὰ πλάγια διε-
ρευνήσομεν, καθιέντες μὲν ὀρθὸν καὶ κατὰ ποσὸν ἐκκλίνοντες αὐ-
τοῦ τὴν κορυφὴν, ἐνερείσαντες δὲ τὸ κέρας τῷ δέρματι τῷ κατὰ
τὴν ἐπιφάνειαν, ἔξωθέν τε τῷ λιχανῷ τῆς ἀρισῖερᾶς χειρὸς ἐπιθλί-
βοντες τὸ δέρμα κατὰ τὴν κυρτότητα τὴν ὑπὸ τοῦ τυφλαγκίσῖρου
γινομένην, ὥσῖε μὴ διαλαθεῖν τὸ ἀγγεῖον· οὕτω γὰρ ὁ κιρσὸς ἡμᾶς
παρωλισθηκὼς εἰς τοῦτο τὸ μέρος οὐ διαφεύξεται. Εἰ δὲ μὴ ὑπο- 12

varice. Si la varice est difficile à soulever, nous introduirons un second 9
crochet mousse, non pas du même côté, mais du côté opposé; puis
nous soulèverons la varice, en l'entourant avec les deux crochets. Il faut 10
savoir cependant qu'après avoir été soulevée la varice n'offrira plus un
aspect bleu, mais un aspect blanc et *nerveux*, vu que le sang est exprimé
vers les deux côtés et que la tunique seule reste pendant le tiraillement
que le vaisseau éprouve dans tous les sens; or cette tunique, considérée
en elle-même, est *nerveuse* et blanche. Si on ne rencontre pas le vaisseau 11
(or il arrive souvent qu'il ne se rencontre pas, soit parce qu'il a glissé
vers les côtés de l'incision, soit parce qu'il est très-profondément situé),
nous explorons d'abord les côtés avec le crochet mousse, introduit direc-
tement, tout en donnant une légère inclinaison à son sommet; nous fixons
légèrement sa pointe dans la peau, et nous ramenons extérieurement,
avec le doigt indicateur de la main gauche, la peau qui se modèle sur la
convexité du crochet mousse, de manière que le vaisseau ne puisse pas
rester caché : en effet, de cette manière, la varice, au cas où elle au-
rait glissé de ce côté-là, ne nous échappera pas. Si on ne rencontre 12

6. καταλιπ. R. — 7. ἀπό R. — Ib. Εἴ γε R. — 12. κέρας conj.; μέρος R.

Mai 51-52.
πέσοι, πάλιν ἐπὶ τὰ ἕτερα σΊρέψαντες τὸ τυφλάγκισΊρον, τὴν
13 ὁμοίαν ἔρευναν ἐκ τῶν ἐναντίων ποιησόμεθα μερῶν. Οὐχ εὑρόντες
δὲ, τὰ χείλη τῆς ἐν τῷ δέρματι διαιρέσεως δύο καμπαῖς ἐπάκμων
ἀγκίσΊρων λαβόντες παραδόντες τε ὑπηρέταις διακρατεῖν ταῦτα,
αὐτοὶ καθήσομεν τρίτον ὀξυκαμπὲς εἰς τὴν τῶν ὑμένων διάσΊασιν,
διακόψομέν τε αὐτοὺς ἐντείνοντες μέχρι τῆς ἐντεύξεως τοῦ κιρσοῦ,
καὶ οὕτως ἀναβαλοῦμεν αὐτὸν ἢ ἑνὶ, ἢ δύο τυφλαγκίσΊροις, κατὰ τὰ
14 πρόσθεν δεδηλωμένα. Γίνεται δὲ ἡ δυσέργεια ὡς τὰ πολλὰ περὶ
τὴν πρώτην ἀναβολήν· αἱ δὲ λοιπαὶ πολλὴν εὐέργειαν ἔχουσιν·
εἴτε γὰρ εὐθὺς ἐν τῇ πρώτῃ διαιρέσει μετὰ αὐτὴν τὴν τοῦ δέρμα-
τος τομὴν ὁ κιρσὸς ὑπαντῆσαι τύχοι, καὶ ἐν ταῖς ἑξῆς ὁμοίως ὑπο-
πεσεῖται· εἴτε πολλοὺς, ἢ ὀλίγους ὑμένας ὑπεσΊορεσμένους εἶναι
τύχοι, εἴτε ἐν πολλῷ βάθει κείμενος, κατὰ πάσας τὰς διαιρέσεις
15 ὁμοίως ἔχων εὑρεθήσεται. Ἀναβαλόντες δὴ τὸν κιρσὸν διὰ τῶν | εἰ-
52 ρημένων ὀργάνων, εἰ πολλὰ παρεῖναι τύχοι, ἢ αὐτῶν τι τῶν ὀργά-

pas la varice, on tournera de nouveau le crochet mousse de l'autre
13 côté, et on fera la même recherche du côté opposé. Si la varice nous
échappe, nous saisirons les lèvres de la peau avec deux crochets aigus
recourbés, que nous confierons à des aides; nous introduirons nous-
même un troisième crochet à angle aigu dans l'espace qui sépare les
membranes, et nous les diviserons en les tendant, jusqu'à ce que nous
arrivions à la varice; alors nous la soulèverons soit avec un, soit avec
14 deux crochets mousses, comme nous avons dit plus haut. Ordinairement
l'opération présente des difficultés, quand il s'agit de soulever la première
varice, tandis qu'on arrive très-aisément sur les autres : en effet, si, dès
la première incision, immédiatement après que nous avons divisé la
peau, la varice se présente à nous, elle se présentera de la même façon
lors des incisions subséquentes; si, au contraire, des membranes nom-
breuses ou en petit nombre se trouvent étendues au-dessous de la peau,
ou si la varice est très-profondément située, on reconnaîtra qu'on se
trouve dans les mêmes conditions pour toutes les incisions subséquentes.
15 Donc, après avoir soulevé la varice à l'aide des instruments susdits,
nous placerons, si nous avons un grand nombre de ces instruments à

13. κειμένους R. — 14. Ἀναβάλλοντες R.

νων πλάγιον ὑποβαλοῦμεν τῷ κιρσῷ διὰ τῆς διαιρέσεως ἀνασπά-
σαντες αὐτὸν, ἢ πτερὸν, ἢ ἄλλο τι εὐαφὲς σῶμα, ἢ καὶ βελόνῃ
ῥάμμα ἐνείραντες ἀμβλείᾳ καὶ ὑποβαλόντες αὐτὸ διὰ τῆς βελόνης
τῷ κιρσῷ, κἄπειτα ψαλίσαντες πρὸς τῷ πυθμένι τῆς βελόνης τὸ
ῥάμμα. Γινέσθω δὲ ταῦτα τοῦ κιρσοῦ ὑπὸ τῶν τυφλαγκίστρων διὰ 16
τῆς διαιρέσεως εὖ μάλα ἀνατεινομένου· ἄλλως γὰρ οὐκ ἂν ἡ ὑπο-
βολὴ γενέσθαι δύναιτο. Μετὰ δὲ τὴν πρώτην διαίρεσίν τε καὶ ἔκλη- 17
ψιν τοῦ κιρσοῦ τὰς ἑξῆς ἐμβαλοῦμεν κατὰ τὸν αὐτὸν τρόπον, ἐκεῖνο
προδιορισάμενοι ὅτι, εἰ οἷόν τε εἴη, μάλιστα ἄρχεσθαι χρὴ τῆς
ἐκλήψεως οὐκ ἐκ τῶν κατωτάτω τοῦ σκέλους μερῶν. Καὶ εἰ μὲν 18
εὐθυτενεῖς εἶεν σφόδρα οἱ κιρσοὶ, τὰς διαιρέσεις ἐμβλητέον οὐχ
ἧττον διδακτυλιαίου διάστημα ἐχούσας ἀπὸ ἀλλήλων· εἰ δὲ ἐσκο-
λιωμένοι......, κατὰ πάσας τε τὰς διαιρέσεις καὶ τὰς ἐκλήψεις
ὑποβάλλοντες ἢ τὰ ἄγκιστρα, ἢ τὰ ῥάμματα, οὕτως ἐπὶ αὐτὴν ἥξο-
μεν τὴν κιρσοτομίαν. Ἀρξόμεθα δὲ πρῶτον ἐκ τῶν κατωτέρω με- 19

notre disposition, un d'entre eux à travers l'incision transversalement
au-dessous de la varice, tout en l'attirant; sinon, nous nous servirons à
cet effet d'une plume, ou de quelque autre objet poli, ou bien nous
mettrons un fil dans une aiguille mousse, et nous le ferons passer, à l'aide
de cette aiguille, au-dessous de la varice, après quoi nous couperons le
fil avec des ciseaux près de l'extrémité de l'aiguille. Cela doit se faire au 16
moment où la varice est très-fortement tirée en haut à travers l'incision
par les crochets mousses, car, sans cela, on ne pourrait rien faire passer
au-dessous. Après avoir pratiqué la première incision et dégagé la pre- 17
mière varice, nous ferons de la même manière les incisions suivantes,
en prenant nos mesures pour ne pas commencer, s'il est possible, à dé-
gager les varices par la partie la plus déclive de la jambe. Si les varices 18
sont rectilignes, il faut faire des incisions séparées l'une de l'autre par
un intervalle qui ne soit pas moindre de deux doigts; si, au contraire,
elles sont entortillées..... puis, à l'occasion de chaque incision que nous
pratiquerons, et de chaque varice que nous dégagerons, nous placerons
au-dessous, soit des crochets, soit des fils, et, de cette manière, nous en
viendrons à la section des varices proprement dite. Nous commencerons 19

7-8. ἔκλειψιν R; it. l. 10 et 13.

Mai 52-53.
20 ρῶν. Εἰ μὲν οὖν ἄγκιστρον ὑποϐεϐλῆσθαι τύχοι, λαϐόντες ἕτερον
ἄγκιστρον, καὶ κατὰ τοῦ κιρσοῦ ἐπὶ τῶν ἀντικειμένων παραλλήλως
ἐπιθέντες αὐτὸ τῷ προτέρῳ, μεσολαϐήσαντές τε τὸν κιρσὸν διὰ
ἀμφοτέρων, καὶ ταῖς χερσὶ συνερείσαντες ἰσχυρῶς αὐτὰ πρὸς ἄλ-
ληλα, καὶ συνέχοντες ὡς εἰ ἓν εἴη ἀμφότερα ἐν τούτῳ τῷ σχήματι,
τὸ μὲν κάτωθεν ἄγκιστρον ὑποστρεφόμενον ὡς πρὸς τὸ σφυρὸν, τὸ
δὲ ἄνωθεν ὡς πρὸς τὸ ἄνωθεν μέρος τῆς κνήμης, τοῦτόν τε τὸν
τρόπον ἐνειλοῦντες αὐτὰ ἐπισπασόμεθα, ὡς οἷόν τε, ἐπὶ πλεῖστον
21 τὸ μέρος τοῦ κιρσοῦ τὸ πρὸς τῷ σφυρῷ. Ἀποκόψαντες δὲ ἄνω τὸν
κιρσὸν, μεταϐησόμεθα ἐπὶ τὴν ἐξολκὴν τὴν διὰ τῆς δευτέρας τῶν
κάτω διαιρέσεων, οὐκέτι μὲν ἀποκόπτοντες τὸν κιρσὸν, ἐξέλκοντες
53
22 δὲ μόνον, κἄπειτα ἐπὶ τὴν τρίτην τε καὶ τὰς ἀνω|τέρας. Εἰ μὲν δὴ
ὁ κιρσὸς εἴη ὁλόκληρον ἀγγεῖον, διὰ τῆς ἀνωτάτω κομιούμεθα διαι-
ρέσεως· εἰ δὲ ἀποσχίδας ἔχοι, δισχιδὴς ὢν κατὰ τὸ υ γράμμα, ἢ
τρισχιδὴς κατὰ τὸ ψῖ, καὶ ἔτι πολυσχιδέστερος, τὰς ἀποσχίδας

20 d'abord par la partie la plus déclive. Si donc un crochet se trouve placé
en dessous, nous prendrons un second crochet, nous le placerons sur
la varice, du côté opposé parallèlement au premier; nous saisirons le
vaisseau entre ces deux crochets, en appuyant fortement l'un contre
l'autre [les manches] des crochets avec les mains et en les serrant comme
s'ils n'en formaient qu'un seul, de telle façon que le crochet inférieur
se trouve légèrement tourné vers la malléole et le crochet supérieur vers
le haut de la jambe, et, croisant les crochets, nous attirerons aussi forte-
ment et aussi loin que possible la partie de la varice située du côté de la
21 malléole. Puis, après avoir coupé la varice en haut, nous préparons les
voies à l'extraction du segment vasculaire à travers la seconde incision
à compter d'en bas; mais nous ne couperons plus la varice, nous l'at-
tirerons seulement, ensuite nous passerons à la troisième incision et
22 à celles qui sont situées encore plus haut. Si donc la varice est formée
par un vaisseau simple, nous l'enlèverons par l'incision la plus élevée;
mais, si elle a des rameaux, qu'elle soit bifide à l'instar de la lettre Υ,
trifide à l'instar de la lettre Ψ, ou qu'elle ait des ramifications encore
plus nombreuses, nous attirerons d'abord une à une toutes les ramifi-

8. ἐπισπασώμεθα R.

Mai 53.

πρῶτον κατὰ μίαν ἐπισπασάμενοι διακόψομεν πάσας, ἔπειτα οὕτω
κομισόμεθα διὰ τῆς ἐξολκῆς τῆς εἰς ἓν συστελλούσης. Εἰ δὲ ἀποκο- 23
ψάντων ἡμῶν τὰς προφανεῖς ἀποσχίδας, ἔπειτα ἐξελκόντων διὰ τοῦ
χορηγοῦ, μὴ ἕποιτο ὁ κιρσὸς, ἀλλὰ ἀντέχοιτο, ἐπισπασόμεθα μὲν
εὖ μάλα τὸν χορηγόν· καλῶ δὲ νῦν χορηγὸν οὐ τὸ ἀνωτέρω τῆς
ἰγνύας κεκιρσωμένον ἀγγεῖον, ἀλλὰ τὸ πολλὰς ἀποσχίδας ἀποστέλ-
λον· κατὰ δὲ τὴν βίαιον ἐξολκὴν αὐτοῦ εἰ σιμότης τε καὶ συνδρομὴ
τοῦ δέρματος φαίνοιτο ἐν ὁποίῳ δὴ μέρει τοῦ σκέλους, τεκμαιρό-
μενοι κατὰ τὴν σιμότητα εἶναί τινα ἀποσχίδα ἐκ τοῦ χορηγοῦ οὖ-
σαν μὴ γνώριμον ἡμῖν, διελοῦμεν κατὰ τὴν γενομένην σιμότητα,
εἰκάζοντες μὴ ἄνευ τάσεως ἀγγείου γεγενῆσθαι τὴν σιμότητα.
Κιρσοτομήσαντες δὴ τὰ κατὰ τὰ αὐτὰ, οὕτως ἐπισπασόμεθα τὸν 24
χορηγόν. Εἰ δὲ τῶν προφανῶν ἀποσχίδων διακεκομμένων ἁπασῶν, 25
ὁ χορηγὸς ἀνελκόμενος μὴ ὑπακούοι, σιμότης δὲ μηδεμία γένοιτο
ἐν τῷ σκέλει, διελοῦμεν τὸν χορηγὸν κατὰ ἐπικόπου τῆς ὑποβολῆς

cations et nous les couperons toutes; puis nous opérerons la traction
qui les réunit en un seul faisceau. Si, après avoir coupé les ramifica- 23
tions qui s'offrent à nos yeux, au moment où nous les attirons par l'in-
termédiaire du tronc, la varice n'obéit pas à la traction, mais se trouve
retenue, nous attirerons très-fortement le tronc (or j'appelle maintenant
tronc non le vaisseau situé au-dessus du jarret et affecté de varices, mais
celui qui émet un grand nombre de ramifications); et, si, pendant cette
attraction violente du vaisseau, on voit la peau se gonfler et se ramasser,
dans quelque partie de la jambe que ce soit, nous supposerons qu'au
niveau de cette convexité il y a un rameau provenant du tronc, mais que
nous ne pouvons reconnaître; nous ferons en conséquence une incision
sur cette convexité, car nous devons admettre que la convexité ne s'est
pas formée sans qu'il existe un vaisseau tendu. Donc, après avoir fait de la 24
même manière la section de la varice, nous attirerons le tronc. Si, après 25
qu'on a fait la dissection de tous les rameaux visibles, le tronc n'obéit
pas à la traction, et s'il ne se forme aucun bourrelet à la jambe, nous
faisons une incision sur ce tronc, en employant comme soutien le crochet

9-10. χορ. τὴν οὖσαν R. — 11. στάσεως R. — 15. ἐπιβολῆς R.

Mai 53-54.
τοῦ τυφλαγκίσῖρου· διελοῦμεν δὲ ἐλαφρῶς, ὥσῖε τὸν ἀνωτέρω τοῦ κιρσοῦ χιτῶνα μόνον διατεμεῖν· ἔπειτα διπύρηνον διὰ τῆς διαιρέσεως καθήσομεν εἰς τὸν κιρσὸν, ἀκολουθοῦντες τῇ κενεμβατήσει καὶ ἄλλοτε ἀλλαχοῦ ϖαράγοντες· οὕτω γὰρ διαιρόμενον, τοτὲ μὲν κατὰ τῶν κάτω διαιρέσεων εἰς τὸ ἐκτὸς ϖροκύψει, τοτὲ δὲ ἄλλοτε ἀλλα-
26 χοῦ ϖαραγενόμενον ἐνερείσει μέρει τινὶ τῆς ἀτμήτου σαρκός. Κατὰ τοῦτο δὴ μοχλεύσαντες καὶ κυρτώσαντες τῷ διπυρήνῳ τὸ δέρμα, διαίρεσίν τε κατὰ τῆς κυρτώσεως ἐμβαλόντες καὶ ἀπολύσαντες κατὰ τοῦτο τὸ μέρος, ἐπισπασόμεθα σὺν ταῖς ῥίζαις ϖάντα τὸν χορηγὸν, ἀνέλκοντες τοῦτον τὸν τρόπον ἐπὶ τὴν ἀρχὴν τοῦ κιρσοῦ, εἴτε
54 κατὰ ἰγνύας, εἴτε ἐν μηρῷ τύχοι, | εἶτα βιαίως ἢ διὰ τῆς τῶν δύο ἀγκίσῖρων ἐνειλήσεως, ἢ καὶ διὰ τῆς τοῦ κιρσουλκοῦ κατασκευῆς ἐπισπασάμενοι τὸν κιρσὸν ἐκ τῶν ἄνωθεν μερῶν, ὥσῖε ὑπερβίαιον γενέσθαι τὴν ἐξολκὴν, οὕτως ἀποκόψομεν τὸν κιρσόν· αἴτιος δὲ ἡ

mousse placé en dessous; mais nous couperons légèrement, de manière à n'atteindre que la paroi supérieure; ensuite nous introduirons dans la varice, à travers l'incision, une sonde à deux boutons, que nous rapprocherons tantôt d'un point et tantôt d'un autre, en nous guidant d'après ceux où elle rencontre un espace vide; car, si nous faisons traverser ainsi la varice par la sonde, elle formera quelquefois une saillie vers l'extérieur, au niveau des incisions [cutanées] qui sont placées plus bas; d'autres fois, arrivant tantôt à tel point et tantôt à tel autre, elle
26 s'appuiera sur quelque partie de la chair non coupée. Sur cette partie, nous nous servirons donc de la sonde pour soulever et pour faire saillir la peau comme avec un levier; après avoir pratiqué une incision sur la convexité et laissé le vaisseau s'affaisser dans cet endroit [en retirant la sonde], nous attirerons le tronc tout entier avec ses racines, opérant de cette manière une traction vers le point où commence la varice, que ce soit au jarret ou à la cuisse; puis, attirant violemment la varice à la partie supérieure, soit par l'enchevêtrement des deux crochets, soit par le tire-varice, de telle manière que la traction se fasse avec une violence extrême, nous couperons le vaisseau : car la violence de l'attraction

4. διαιρούμενον R. — 5. ἐντός R.

Mai 54.

βίαιος ἐξολκὴ γίνεται τοῦ μήτε αἱμοῤῥαγεῖν κατὰ τὴν διακοπὴν τὸν κιρσὸν, μήτε δεῖν ἡμᾶς ἀποσφίγξεσιν ἢ διαβροχισμοῖς χρῆσθαι. Ἐπὶ δὲ τῶν σφόδρα ἐνειλημένων καὶ βοτρυοειδῶν ὁ μὲν τῆς ἐξολκῆς τρόπος ἄχρηστος· εὐθυτενῆ δὲ χρὴ κατὰ μῆκος διαίρεσιν ἐμβαλόντας, διὰ ταύτης κομίσασθαι ϖᾶν τὸ βοτρυοειδὲς, τά τε τελευταῖα τοῦ κιρσοῦ μέρη, τά τε ἄνω καὶ τὰ κάτω, τὸν ϖαραπλήσιον ἐπισπάσασθαι τρόπον τῷ ϖρόσθεν εἰρημένῳ. Εἰσὶ δέ τινες ἐριώδεις τῶν κιρσῶν, οὕτως ὑπὸ τῶν χειρουργῶν καλούμενοι· τούτους οὐχ οἷόν τε κατὰ ἐξολκὴν κομίζεσθαι· ξαίνονται γὰρ καὶ διασπῶνται ταχέως· τοῦτο δὲ ϖάσχουσι μὲν καὶ φύσει τινὲς, καὶ διὰ ϖλῆθος δὲ τοῦ ϖεριεχομένου αἵματος δαπανωμένων τῶν χιτώνων. Ἐπὶ τούτων ὁ μὲν τῆς ἐξολκῆς τρόπος ἀδύνατος ῥᾳδίως ἀποσπωμένων· χρὴ τοίνυν ἐπὶ αὐτῶν μετὰ τὴν ὑποβολὴν τῶν ϖτερῶν, ἢ τῶν τυφλαγκίστρων, ἢ τῶν ἄλλων τῶν ϖροειρημένων σωμάτων, εἰ κατανοήσο-

(27 at line 3; 28 at line 7; 29 at line 11 of the Greek text correspond to the section numbers below.)

devient une cause qui empêche le sang de couler au moment où nous coupons le vaisseau, et qui nous dispense de la nécessité de recourir aux ligatures ou aux lacs. 27 Si les varices sont fortement entortillées et ressemblent à une grappe de raisin, la méthode de l'extraction est impraticable; mais, après avoir fait une incision droite longitudinale, on enlève par cette incision tout ce qui ressemble à une grappe de raisin, et on attire les parties terminales de la varice, aussi bien celles d'en haut que celles d'en bas, en suivant le même procédé que celui que nous avons décrit plus haut. 28 Il existe aussi des varices *laineuses*, pour nous servir du nom que leur donnent les chirurgiens; or il est impossible d'enlever ces varices par extraction; on les écorche et on les déchire facilement, et, pour quelques cas, l'accident dont il s'agit tient à leur nature, tandis que, dans d'autres, il dépend de la grande quantité de sang qu'elles contiennent et qui use les tuniques. 29 Pour ces varices, la méthode par extraction est de toute impossibilité, attendu qu'on les brise facilement; par conséquent, si, après avoir placé au-dessous de ces varices des tuyaux de plumes, des crochets mousses, ou quelqu'un des autres objets dont il a été question plus haut, nous nous apercevons qu'elles appartiennent à cette

1. *αἱμοῤῥαγεῖν* ex em. Mai; *αἱμοῤῥαγίαν* R. — 5. *τε* om. R.

Mai 54-55.
μεν αὐτοὺς, οὕτως ἐκκόπτειν κατὰ ἑκάστην διαίρεσιν πᾶν τὸ τῆς
διαιρέσεως προκύπτον, ὡς τὸ πτερὸν, ἢ ὡς τὸ τυφλάγκιστρον ὑπό-
κειται· οὐ μέντοι διακοπτέον αὐτὸ μόνον, ἀλλὰ ἐκκοπτέον, ἵνα μὴ
30 συμφυὲν τὸ ἀγγεῖον αὖθις εἰς τὴν ὁμοίαν κίρσωσιν ἐπανέλθῃ. Μετὰ
δὲ τὴν χειρουργίαν αἱμοῤῥαγίας μὲν οὐκ ἔσται δέος, οὐδὲ ἀπὸ τῶν
ἀνωτέρω τοῦ χορηγοῦ σωμάτων, οἷα δὴ ἐπιφραττομένης αὐτῶν τῆς
ὁδοῦ, τῶν ἀγγείων ἐπὶ πλέον ἑλκυσθέντων ἐκ τῆς γενομένης κιρ-
σουλκίας, θλιβομένων τε καὶ μυόντων ἐκ τῆς περιεχούσης σαρκὸς,
31 τῶν τε κατωτέρω τὸ παραπλήσιον πεπονθότων. Τὸ αἷμα οὖν εὖ
μάλα θλίψαντες καὶ ἐκθρομβώσαντες τὸ σκέλος, πολύ τε ἀνωτέρω
τῆς κατὰ τὴν ἰγνύαν τομῆς τὴν εἰς τὰ κάτω θλῖψιν ποιούμενοι,
πολύ τε κατωτέρω [τῆς] κατὰ τὸ σφυρὸν [τὴν εἰς τὰ ἄνω], αὐτήν
55 τε τὴν | κνήμην πιεζοῦντες εὖ μάλα, ὥστε πάντοθεν τὸ ἐν ταῖς το-
μαῖς συνδεδραμηκὸς αἷμα ἐκκριθῆναι· γινέσθω δὲ ἡ ἐκπίεσις καὶ

espèce, il faudra extirper au niveau de chaque division [de la peau] tout ce qui fait saillie à travers l'incision, à mesure que la plume ou le crochet mousse se trouvent placés en dessous; mais on extirpera la veine et on ne se bornera pas à une simple incision, de peur que le vaisseau, en se recollant, ne finisse par former de nouveau des varices de même
30 nature. Après l'opération, on n'aura pas à craindre l'écoulement de sang, ni de l'ouverture supérieure, [ni de l'ouverture inférieure des vaisseaux;] dans le premier cas, les vaisseaux ayant été, à la suite de la traction, fortement tiraillés, et se trouvant comprimés et obstrués par la chair qui les entoure, la route du sang est interceptée; dans le second cas, les
31 choses se passent de même. Donc, après avoir parfaitement exprimé le sang et enlevé les caillots de la jambe, on exercera la pression de haut en bas, [à partir de la cuisse,] beaucoup au-dessus de l'incision faite au jarret, et la pression de bas en haut, [à partir de la pointe du pied,] beaucoup au delà de celle que nous avons faite à la malléole; de même on comprimera exactement la jambe, de manière à évacuer sur tous les points le sang qui s'est rassemblé au niveau des incisions;

7. ὁδοῦ ἐκ τῆς τῶν R. — 7-8. κιρσουλκίας R 1ª m. — 12. [τῆς] om. R. — Ib. [τὴν εἰς τὰ ἄνω] om. R. — 14. ἐκπίεσις conj.; ἐπίδεσις R.

Mai 55.

διὰ τῶν χειρῶν μὲν ἠρέμα συμπιεζουσῶν, καὶ ἔτι μᾶλλον διὰ σπόγγων ἐνερειδομένων· δέος γὰρ ἐκ τῶν χειρῶν καὶ ϖερίθλασιν γίνεσθαι· διὰ τοῦτο οὔτε βιαίως θλίβομεν· ὅτι ἐκ ϖάσης ἀνάγκης εἰ καὶ μικρότατός τις θρόμβος αἵματος μετὰ τὴν χειρουργίαν καταλειφθείη, τούτου ἂν οἰδήσαντος διαπύησιν γίνεσθαι συμβαίνει, ὑγρόν τε ἀναβῆναι κατὰ τὰς διαιρέσεις, νευρικάς τε ἀπαντῆσαι συμπαθείας, ϖρός γε μὴν τούτοις ἀτευκτηθῆναι τὴν ἔναιμον ἀγωγὴν, ἧς οὐδέποτε ἀστοχήσομεν ἐκθρομβώσαντες ἐπιμελῶς· ἄγομεν δὲ ἐναίμως τοὺς κιρσουλκηθέντας ἢ σπληνίον ἐμπλάστρου τῶν ἐναίμων καλουμένων τινὸς ἐπιβάλλοντες καὶ κατὰ αὐτοῦ σπόγγον ὀξυκράτῳ διάβροχον ἐπιβάλλοντες, ἡσυχῇ τε δεσμῷ ϖιέζοντες, ἢ ἀντὶ τῆς ἐμπλάστρου ὀθόνιον ὀξυκράτῳ βεβρεγμένον ϖροϋποτιθέντες τοῖς σπόγγοις. Τοὺς δὲ ἐν κεφαλῇ κιρσοὺς οἱ μὲν ϖαλαιοὶ διακαίειν 32 ἠξίουν, φοβούμενοι τὴν ἐξολκὴν, μὴ διαγανακτήσαντος ἐν τῷδε τῷ

il faudra exprimer le sang avec les mains, qu'on rapprochera doucement l'une contre l'autre, mais surtout en pressant avec des éponges; car il est à craindre que les mains ne donnent lieu à une contusion sur tout le pourtour du membre : en conséquence, de toute façon, la pression doit être douce; [on ne doit pas manquer d'étancher le sang], parce que, si, après l'opération, on a laissé en place quelque caillot, il arrivera nécessairement que ce caillot, quelque petit qu'il soit, produira, en se gonflant, de la suppuration, que le liquide remontera par les incisions, et qu'il surviendra des accidents nerveux sympathiques; de plus, le traitement tel qu'on l'applique aux plaies saignantes échouera inévitablement; nous ne manquons jamais de réussir dans ce traitement, quand nous avons enlevé les caillots avec soin; après avoir extrait des varices, nous employons le traitement usité pour les plaies saignantes : nous plaçons un linge enduit d'un médicament emplastique du nombre de ceux qu'on appelle médicaments pour les plaies saignantes, et par-dessus cet emplâtre une éponge trempée dans le vinaigre et l'eau, puis nous comprimons doucement avec une bande; à l'emplâtre que recouvrent les éponges nous pouvons substituer un linge trempé dans le vinaigre et l'eau. Les anciens étaient d'avis de cautériser les varices qui siégent à la 32 tête, parce qu'ils redoutaient l'extraction, craignant que, dans cette ré-

Mai 55.
τόπῳ τοῦ περικρανίου, συμπάθειά τις γένηται τοῦ νευρώδους· ἡμεῖς
δὲ τὸν κατὰ ἐκκοπὴν ἐγκρινοῦμεν τρόπον, ὃν ἤδη τε ἐπὶ τῶν ἐριω-
δῶν κιρσῶν ἐξεθέμεθα, καὶ ἔτι σαφέστερον ἐν τῷ περὶ ἀγγειολο-
33 γίας παραδείξομεν τόπῳ. Καὶ μὴν ἐπὶ τῶν ἐν ἐπιγαστρίῳ κιρσῶν
ἀδύνατος ὁ τῆς ἐξολκῆς τρόπος, συντρέχοντος τοῦ δέρματος διὰ τὴν
ἰδίαν μαλακότητα καὶ διὰ τὸ μῆκος τῷ περιτενὲς εἶναι, ἀλλὰ οἱ
μὲν πρόσθεν εὐθείας κατὰ μῆκος τῶν κιρσῶν ἰσομήκεις τε αὐτοῖς
διαιρέσεις ἐμβάλλοντες, οὕτω κομίζονται αὐτούς· ἡμῖν δὲ, εἰ μὲν
βοτρυοειδῶς ἐνειλῆσθαι τύχοιεν, ὁ τῆς εὐθυτομίας ἀρκεῖ τρόπος,
καθάπερ οὖν καὶ ἐπὶ τῶν ἐν σκέλει βοτρυοειδῶς ἐσχηματισμένων
ἠξιοῦμεν· εἰ δὲ εὐθεῖς εἶεν, ἢ εὐθυσκόλιοι, παραιτούμεθα τὴν εὐθυ-
τομίαν, οὐχ ἧττον ἀπρεποῦς τῆς οὐλῆς γινομένης αὐτῶν τῶν κιρ-
σῶν· τὸν δὲ τῆς ἐκκοπῆς ἐγκρινοῦμεν τρόπον, καθάπερ καὶ ἐπὶ τῶν
ἐριωδῶν καλουμένων.

gion, le péricrâne, supportant difficilement cette opération, ne donnât
lieu à des accidents nerveux sympathiques; quant à nous, nous met-
trons en usage la méthode par excision, déjà exposée à propos des va-
rices laineuses (p. 40, l. 12) et que nous décrirons encore plus claire-
33 ment là où nous parlerons de l'*angéiologie*. Si les varices siégent au
ventre, la méthode de l'extraction est également impossible, attendu
que la peau revient sur la plaie, tant à cause de sa souplesse spéciale
que par suite de sa longueur, laquelle résulte de ce qu'on l'a tendue dans
tous les sens; nos prédécesseurs faisaient des incisions droites longitu-
dinales, dont la longueur égalait celle des varices, et enlevaient le vais-
seau variqueux; nous nous contentons, au contraire, si les varices sont
entortillées sous forme de grappe, de faire une [seule] incision droite,
comme, d'ailleurs, nous le recommandions pour les varices des jambes,
quand elles sont en grappe (p. 40, l. 4); si, au contraire, les varices sont
droites ou légèrement entortillées, nous rejetterons l'incision rectiligne
[unique], car la difformité que causerait la cicatrice d'une pareille inci-
sion ne serait pas moindre que celle produite par les varices; nous adopte-
rons la méthode par excision, recommandée pour les varices dites *laineuses*.

2. ἐκκριν. R; it. l. 13. — 6. περιτενεῖς R.

Mai 56.

| ιθ'. Περὶ τῶν ἐν τῷ ὀσχέῳ κιρσῶν. Ἐκ τῶν Ἡλιοδώρου. 56

Τοὺς ἐν τῷ ὀσχέῳ γενομένους κιρσοὺς ἢ τῷ κατὰ ἀποκοπὴν 1 τρόπῳ κομίσασθαι δεῖ, ἐκ δακτυλιαίων τῶν μεταξὺ διαστημάτων ἀνασπωμένων τῶν κιρσῶν, ἀποσφιγγομένων τε κατὰ μέρος καὶ ἀποτεμνομένων, ὡς ἐπὶ τῶν σκελῶν εἴρηται, ἢ τοῖς πυρηνοειδέσι καυτηρίοις καίειν ὁμοίως ἐκ συνεχῶν συμμέτρων τῶν μεταξὺ διαστημάτων πρὸς τὴν τῶν κεκιρσωμένων ἀγγείων ἐσχάρωσιν.

κ'. Περὶ κιρσῶν. Ἐκ τῶν Γαληνοῦ.

Πολλάκις ἡ φύσις εἰς τὰς κατὰ τὰ σκέλη φλέβας ἀποτίθεται τὸ 1 μελαγχολικὸν αἷμα ὑπὸ οὗ διατεινόμεναι κιρσώδεις ἀποτελοῦνται, καὶ μελαίνεταί γε τῷ χρόνῳ καὶ τὸ δέρμα τὸ κατὰ τὰς τοιαύτας φλέβας· ἐπὶ ὧν δὲ αἵματος πλῆθος μόνον ἄνευ τοῦ μελαγχολικὸν ὑπάρχειν ἀσθενεστέρας οὔσας φύσει τὰς τῇδε φλέβας ἀνευρύνει κα-

19. DES VARICES DU SCROTUM. — TIRÉ D'HÉLIODORE.

On enlève les varices qui se sont formées au scrotum par la résection, 1 en laissant des espaces intermédiaires de la longueur d'un doigt entre les incisions, à travers lesquelles on attire les varices, en les serrant une à une et en les coupant, suivant le procédé que nous avons décrit à propos des varices des jambes; on peut aussi les brûler avec des cautères en forme de bouton de sonde, en laissant également partout des espaces intermédiaires de même longueur entre les endroits où doit se produire une escarre sur les vaisseaux affectés de varices.

20. DES VARICES. — TIRÉ DE GALIEN.

Souvent la nature dépose le sang atrabilaire dans les veines des 1 jambes; ces veines, distendues par ce sang, deviennent variqueuses; la peau qui les recouvre se noircit aussi par l'effet du temps; rien de semblable n'a lieu quand, se trouvant naturellement trop faibles, les veines de cette région sont uniquement distendues par une surabondance de

Ch. 20, l. 7. τὰ σκέλη] τὴν κεφαλήν R.

τασκῆπτον, οὐδένος τοιούτου συμβαίνοντος, ὡς ἐπὶ ὧν γε ἂν τὸ μελαγχολικὸν αἷμα τοὺς κιρσοὺς ἐργάσηται, κίνδυνος ἐπὶ τούτων ἐστὶν, ἐὰν ἐκτέμῃ τις τὰς πεπονθυίας φλέβας, ἁλῶναι μελαγχολίᾳ· καὶ γὰρ καὶ τοῦτο πολλάκις ἑώρακά τε γινόμενον οὐ μόνον κατὰ τοὺς κιρσοὺς, ἀλλὰ καὶ κατὰ τὰς ὑπὸ τοῦ τοιούτου χυμοῦ γινομένας αἱμοῤῥοΐδας.
2 Ἕλκος δέ τις ἔχων ἐν κνήμῃ χρόνῳ παμπόλλῳ τὴν ὑπερκειμένην φλέβα κιρσωδεστέραν οὖσαν ἐκτμηθεὶς παραυτίκα μὲν ἐθεραπεύθη τὸ ἀρχαῖον ἕλκος, ὃ δὲ ἐκ τῆς τομῆς ἔσχεν ἐξαιρουμένης τῆς φλεβὸς, ἀνίατον ἔμεινεν.
3 Ὕστερον δέ ποτε μετὰ ἐνιαυτὸν εἷς τῶν ἐν Περγάμῳ διδασκάλων Στρατόνικος ὁ μαθητὴς Σαβίνου φλέβα τεμὼν ἐν ἀγκῶνι τἀνθρώπου, καὶ θεασάμενος ἐκκρινόμενον αἷμα παχὺ καὶ μέλαν, ἐπαφεῖλε κατὰ τὴν ὑστεραίαν ὀλίγον, καθήρας τε μετὰ ταῦτα φαρμάκῳ μέλανα χυμὸν ἐκκενοῦντι καὶ τὴν δίαιταν εὔχυμον αὐτῷ παρασκευάσας ἐπὶ τὴν θεραπείαν τοῦ ἕλκους ἦλθεν.

sang qui s'y dépose, sans que ce sang soit atrabilaire; mais, toutes les fois que les varices sont le produit d'un sang atrabilaire, les malades courent le danger d'être pris de *mélancolie,* si on excise les veines affectées : j'ai souvent vu arriver cela, non-seulement à l'occasion de varices, mais aussi à propos d'hémorroïdes produites par une pareille humeur.
2 Certain malade, qui avait depuis très-longtemps un ulcère à la jambe, s'étant fait exciser la veine superposée, qui était un peu variqueuse, fut immédiatement guéri de son ancien ulcère, mais celui qui succéda à l'incision exigée par l'excision de la veine resta incurable.
3 Une année plus tard à peu près, un de mes maîtres de Pergame, Stratonicus, le disciple de Sabinus, ayant fait une saignée au pli du bras à cet homme et s'étant aperçu que le sang coulait épais et noir, lui fit de nouveau une petite saignée le lendemain; puis, l'ayant purgé après cela avec un médicament capable d'évacuer les humeurs noires, et lui ayant ordonné un régime propre à produire de bonnes humeurs, il entreprit le traitement de l'ulcère.

1. σημαίνοντος R. — Ib. ἂν om. R. εἶτα κατὰ τὴν τρίτην τε καὶ τετάρτην — 5. τοῦ om. R 1ª m. — 12. ὀλίγον, ὁμοίως ὀλίγον Gal.

κα'. Περὶ χοιράδων.

Αἱ χοιράδες γίνονται μὲν σκιῤῥουμένων ἀδένων, ἡ θεραπεία δὲ 1
αὐτῶν, ὅσον μὲν ἐπὶ τῷ πάθει, κοινὴ τοῖς ἐν ἄλλῳ τινὶ μέρει γινομένοις σκίῤῥοις, ὅσον δὲ ἐπὶ τῇ φύσει τοῦ μορίου, κατά τινας ἀδένας ἑτέρους προσλαμβάνει σκοποὺς διττούς· τῶν γὰρ σίελον, ἢ γάλα παρασκευαζόντων, ἢ σπέρμα, καὶ μέντοι καὶ ὅσοι φλεγματώδη τινὰ γεννῶσιν ὑγρότητα κατὰ μεσεντέριον, ἢ φάρυγγα, ἢ λάρυγγα, μείζων τέ ἐστιν ἡ χρεία, καὶ σκιῤῥωθέντας θεραπευτέον αὐτοὺς ὡσαύτως τοῖς ἄλλοις ἅπασι μορίοις· ὅσοι δὲ ἀδένες ἀγγείων σχιζομένων, ἀναπληροῦσι τοὺν μέσῳ, στήριγμα γινόμενοι τῆς σχίσεως αὐτῶν, οὔτε μεγάλη τούτων ἡ χρεία τοῖς ζώοις ἐστὶ, καὶ σκοπὸς ἕτερος ἐπὶ αὐτῶν τῆς ἰάσεως προσέρχεται ἐν ᾧ συναναιρεῖται τῷ πάθει τὸ μέρος. Ἔστι δὲ καὶ αὐτὸς οὗτος διττὸς, ἤτοι γε ἐκκο- 2
πτόντων ἡμῶν σμίλῃ τὸ πεπονθὸς ὅλον, ὡς ἐπὶ τῶν καρκίνων, ἢ ση-

21. DES ÉCROUELLES.

Les écrouelles tiennent à ce que les glandes sont prises de squirre, et 1
le traitement de ces tumeurs est le même, eu égard à la maladie, que celui des squirres qui se forment dans une autre partie du corps; mais, eu égard à la nature de la partie, deux autres indications viennent s'y ajouter pour certaines glandes : les glandes qui préparent la salive, le lait ou le sperme, et de même toutes celles qui, soit au mésentère, soit dans le pharynx ou le larynx, produisent un liquide pituiteux, ont une assez grande utilité, et doivent être traitées, quand elles sont affectées de squirre, de la même manière que toutes les autres parties; au contraire, toutes les glandes qui remplissent l'espace laissé par la bifurcation des vaisseaux, et qui leur servent d'appui là où ils se bifurquent, n'ont pas une grande utilité pour les animaux; aussi, pour ces glandes, s'ajoute-t-il une autre indication de traitement, indication en vertu de laquelle on enlève la maladie en même temps que la partie. Cette indication est 2
elle-même double; car nous pouvons, ou exciser toute la partie malade avec l'instrument tranchant, comme pour le carcinôme, ou en obtenir

10. οὐ Gal. — 11. συναναιρεῖται ex em.; συναιρ. R Gal.

3 πόντων φαρμάκοις. Θέρμων πικρῶν ἄλευρον οὐ τὰ πελιδνὰ μόνον,
ἀλλὰ καὶ χοιράδας καὶ φύματα σκληρὰ θεραπεύει, ἐν ὄξει δὲ ἕψειν
αὐτὸ χρὴ τηνικαῦτα, ἢ ὀξυμέλιτι, ἢ ὀξυκράτῳ, κατὰ τὰς κράσεις
τῶν καμνόντων καὶ τῶν παθῶν τὰς διαφορὰς ἐξευρίσκοντας τὸ
4 δέον. Καππάρεως τῆς ῥίζης ὁ φλοιὸς χοιράδας καὶ ὄγκους σκληροὺς
διαφορεῖ, τοῖς ἐπιτηδείοις φαρμάκοις πρὸς ταῦτα μιγνυμένη, οἶδα
δέ ποτε τοῖς φύλλοις μόνοις διαφορήσας χοιραδώδη σκληρότητα·
μίγνυται δὲ αὐτοῖς τι τῶν ἀμβλυνόντων τὸ σφοδρὸν τῆς δυνάμεως.
5 Ὄνων ὄνυχας κεκαυμένας ἐλαίῳ φυραθέντας χοιράδας διαφορεῖν φα-
6 σιν. Ἰατρός τις ἐχρῆτο βοείᾳ κόπρῳ σὺν ὄξει πρὸς χοιράδας καὶ
7 τοὺς σκιρρώδεις ὄγκους ἅπαντας καταπλάττων. Ἀμμωνιακὸν δια-
φορεῖ καὶ ἀδίαντον.

κβ'. Περὶ ἐμφυσημάτων, καὶ μάλιστα ἐν μυσίν.

1 Εἴτε πνευματικὴν διάθεσιν, εἴτε ἐμφύσημά τις καλεῖν ἐθέλει τὸν

3 la putréfaction à l'aide de médicaments. La farine de lupins amers guérit
les écrouelles et les tubercules durs, aussi bien que les lividités; seule-
ment, dans ce cas, il faut la faire bouillir avec du vinaigre, de l'oxy-
mel, ou de l'oxycrat, en se guidant d'après les tempéraments des ma-
4 lades et les variétés de la maladie. L'écorce de la racine du câprier dis-
sipe les écrouelles et les tumeurs dures, pourvu qu'on l'associe aux mé-
dicaments qui conviennent contre ces maladies; or j'affirme avoir dis-
sipé quelquefois, avec les feuilles seules de cette plante, une tumeur
dure de la nature des écrouelles; mais on doit ajouter à ces feuilles
5 quelque ingrédient capable d'amortir leur action trop violente. On pré-
tend que le sabot brûlé du pied des ânes, associé à l'huile, dissipe les
6 écrouelles. Certain médecin employait contre les écrouelles et contre
toutes les tumeurs squirreuses, sous forme de cataplasme, des excré-
7 ments de bœuf, auxquels il ajoutait du vinaigre. La gomme ammo-
niaque et le capillaire dissipent [aussi les écrouelles].

22. DE L'EMPHYSÈME, ET SURTOUT DE CELUI DES MUSCLES.

1 On peut appeler *maladie gazeuse*, ou *emphysème*, la tumeur résistante

2. ἀλλὰ χοιρ. R.

*γινόμενον ὄγκον ἔν τισι μορίοις παρὰ φύσιν, ἀντίτυπον μὲν, οὐ
μὴν ὑπὸ χυμοῦ πλήθους εἰς τοῦτο ἠγμένον, ἀλλὰ ὑπὸ φυσώδους
πνεύματος, γίνεται δὲ ἐμφυσήματα τοιαῦτα καὶ κατὰ τὴν γαστέρα,
καὶ κατὰ τὰ σπλάγχνα· γίνεται δὲ καὶ κατὰ τοὺς μῦς ἐκ πληγῶν
τοὐπίπαν, ἐν οἷς ἐθλάσθη τι μόριον αὐτῶν.* Καὶ *δυσίατοί γε ἐνίοτε* 2
*γίνονται τῶν μυῶν αἱ τοιαῦται διαθέσεις, ἐπειδὴ κατὰ πολλὰ μό-
ρια τοῦ μυὸς διασπείρεται τὸ φυσῶδες πνεῦμα, στεγόμενον ὑπό τε
τῶν περιεχόντων σωμάτων αὐτὸ καὶ τῶν ἔξωθεν ἐπιβλημάτων ἄχρι
τοῦ δέρματος.* Ἴ*σχεται δὲ καὶ κατὰ τὰς λόγῳ θεωρητὰς χώρας ἐν* 3
τοῖς μυσὶ καὶ τοῖς ἄλλοις σώμασιν. Οὕ*τω γοῦν καὶ αὐτὸς ὁ μῦς* 4
*φυσᾶται, καὶ κατὰ τὸ τῆς γαστρὸς, ἢ τῶν ἐντέρων σῶμα κα-
τακλείεται πνεῦμα φυσῶδες· ὅταν δὲ καὶ ψυχρὸν ἱκανῶς ᾖ τοῦτο,
τὴν μεγίστην ὀδύνην παρέχει.* Τ*ῆς μὲν οὖν γενέσεως τῶν ἐμφυση-* 5
*μάτων ὕλη πνεῦμα φυσῶδες καὶ παχὺ καὶ ἀτμῶδες, συλλαμβάνει δὲ
εἰς τὸ μὴ διαπνεῖσθαι τὸ τοιοῦτον πνεῦμα καὶ ἡ τῶν σωμάτων*

et contre nature qui se forme dans certaines parties, et qui, loin de
devoir son origine à une surabondance d'humeurs, provient d'un souffle
flatulent; [quelque nom qu'on donne à de pareilles collections de gaz,]
elles se produisent [surtout] dans l'estomac et dans les viscères, mais
il s'en produit aussi dans les muscles, ordinairement à la suite de coups
qui entraînent la contusion de certaines parties de ces muscles. De pa- 2
reilles maladies des muscles deviennent quelquefois difficiles à guérir,
attendu que le souffle flatulent est dispersé dans plusieurs parties des
muscles, et qu'il est retenu par les corps qui l'environnent, ainsi que
par les téguments superposés, y compris la peau. Dans les muscles aussi 3
bien que dans les autres parties, ce souffle est également retenu dans les
espaces que nous ne connaissons que par le raisonnement. Ce n'est donc 4
pas seulement dans les muscles que l'on trouve des collections gazeuses,
mais le souffle flatulent est aussi emprisonné de la même manière
dans la substance de l'estomac ou des intestins; quand ce souffle est
très-froid, il produit une douleur très-forte. La cause matérielle des 5
emphysèmes est donc un souffle flatulent, épais et vaporeux; mais la
densité des parties contribue aussi à empêcher un tel souffle de se dis-

11. *ἐμφυσᾶται* Gal.

πύκνωσις, ὥστε καὶ ἡ ἴασις τοῦ πάθους σκοπὸν ἕνα κοινὸν ἀμφοῖν
ἕξει τῆς γε τῶν πεπυκνωμένων σωμάτων ἀραιώσεως καὶ τῆς τῶν
πεπαχυμμένων πνευμάτων λεπτύνσεως· θερμαίνων γὰρ ἱκανῶς διὰ
οὐσίας λεπτομεροῦς ἀραιώσεις μὲν τὸ πεπυκνωμένον, λεπτυνεῖς δὲ
6 τὸ πεπαχυμμένον. Ἡ δὲ τῶν πασχόντων μορίων φύσις συνενδείξε-
ταί σοι τήν τε ἐπιτήδειον ὕλην τῶν βοηθημάτων καὶ τὸ μᾶλλόν τε
7 καὶ ἧττον ἐν αὐτῇ. Τῶν γοῦν μυῶν τῶν διὰ θλάσιν ἐμπεφυσημέ-
νων ὅτι μὲν διαφορεῖσθαι χρὴ τὸ πνεῦμα, πρόδηλον· ἐπεὶ δὲ θερμὰ
καὶ δριμέα τοὐπίπαν ἐστὶ τὰ διαφοροῦντα φάρμακα, συμβαίνει
τοὺς μῦς ἀγανακτεῖν, καὶ διὰ τοῦτο τάς τε ὀδύνας ἴσχειν μείζους,
8 ἑπομένης γε φλεγμονῆς αὐταῖς. Μικτῆς οὖν διὰ τοῦτο δυνάμεως εἶ-
ναι χρὴ τὰ τοὺς ἐμπεφυσημένους μῦς ὠφελήσοντα, καὶ μάλιστα
ὅταν ἡ θλάσις αὐτῶν ἔχῃ τι καὶ φλεγμονῆς, ἐπικρατεῖν δὲ ἐν ἀρχῇ
μὲν τὸ παρηγορικὸν εἶδος τῶν φαρμάκων, ἐπὶ τελευτῇ δὲ τὸ δια-
9 φορητικόν. Ἐκ δὲ τοῦ παρηγορικοῦ πρὸς τὸ διαφορητικὸν οὐκ

siper : d'où il résulte que le traitement de cette maladie aura un but
unique, correspondant à la fois aux deux indications, à celle de raréfier
les parties condensées, et à celle d'atténuer les gaz épaissis; en effet, si
vous échauffez suffisamment à l'aide d'une substance subtile, vous raré-
6 fierez ce qui est condensé, et vous atténuerez ce qui est épaissi. La nature
des parties affectées vous indiquera en même temps la matière d'où
vous pourrez convenablement tirer vos remèdes, et la mesure dans la-
7 quelle il faudra les employer. Si donc les muscles sont gonflés par suite
d'une contusion, il est clair qu'il faut dissiper le gaz; mais, comme les
médicaments qui dissipent sont en général chauds et âcres, il arrive que
les muscles les supportent difficilement; pour cette raison, ils deviennent
le siége de douleurs assez fortes, surtout quand ces douleurs sont suivies
8 d'inflammation. Pour cette raison donc les médicaments destinés à com-
battre le gonflement des muscles devront être doués de propriétés mixtes,
surtout quand la contusion des muscles est accompagnée d'un certain de-
gré d'inflammation; au début, les médicaments calmants devront prédo-
miner; mais, vers la fin, ceux qui dissipent seront en plus forte propor-
9 tion. Cependant il ne faut pas passer brusquement, mais peu à peu, de la

3. πνευμάτων Gal.; σωμάτων R. — 10. ἴσχει R.

ἀθρόως χρὴ μεταβαίνειν, ἀλλὰ κατὰ βραχὺ, τῶν μὲν παρηγορικῶν
ἀφαιροῦντα, τῶν δὲ διαφορητικῶν προστιθέντα. Παρηγορικὰ μὲν 10
οὖν ἐστι τῆς τοιαύτης διαθέσεως τῶν μυῶν τό τε καλούμενον ἕψημα,
καὶ ὕσσωπος, ἔλαιόν τε βραχὺ τούτοις μιγνύμενον· ἐκ δὲ τῆς δια-
φορητικῆς δυνάμεως ὄξος καὶ νίτρον, ἔτι τε μᾶλλον ὁ ἀφρὸς αὐτοῦ,
καὶ ἡ καλουμένη κονία στακτή· διὸ καὶ κατὰ ἀρχὰς μὲν ἀρκεῖ μόνῳ
χρῆσθαι τῷ ἑψήματι, βραχέος ἐλαίου μιχθέντος, ἐνίοτε δὲ καὶ οἴ-
νου βραχέος, ἵνα ἔχῃ τι καὶ ἀποκρουστικὸν, ἀναλαμβάνεσθαι δὲ
ταῦτα θερμανθέντα τοῖς οἰσυπηροῖς ἐρίοις. Πρὸ πάντων δὲ φυλάτ- 11
τεσθαι χρὴ μήτε ψυχρὰν τὴν ἐπιβροχὴν ταύτην προσφέρειν, μήτε
ἐπὶ πλείονα χρόνον ἐπικειμένην ἐᾷν ψύχεσθαι. Περιβαλεῖν οὖν ἔξω- 12
θεν ἔρια θερμὰ προσῆκεν· ὅταν δὲ τῆς θερμασίας μηκέτι ὁμοίως
ὁ κάμνων αἰσθάνηται τῆς ἀπὸ τῶν ἐπικειμένων, αὖθις ἑτέραν ἐπι-
βροχὴν ὁμοίως ἐσκευασμένην προσφέρειν. Παρηγορηθέντος δὲ καὶ 13
ἀπονωτέρου τοῦ κάμνοντος γενομένου, τοῦ τε ὄξους παραμιγνύναι

classe des calmants à celle des médicaments qui dissipent, c'est-à-dire on
supprime une partie des calmants, et on ajoute des substances qui dis-
sipent. Le liquide dit *hepsema* (vin doux cuit) et l'*hyssope*, auxquels on 10
ajoute un peu d'huile, sont des calmants pour les muscles gonflés, tan-
dis que le vinaigre, la soude brute, et plus encore l'écume de soude,
ainsi que l'espèce de lessive dite *filtrée*, appartiennent aux médicaments
qui dissipent; voilà pourquoi il suffit d'employer, au commencement, du
vin doux cuit, auquel on ajoute seulement un peu d'huile, et quelque-
fois aussi un peu de vin, afin que le médicament contienne quelque chose
de répercussif; on incorpore ces ingrédients à chaud dans de la laine en
suint. Mais, ce qu'il faut éviter avant tout, c'est d'appliquer cette embro- 11
cation à froid, ainsi que de la laisser refroidir en la maintenant trop long-
temps en place. On l'enveloppera donc dans de la laine chaude, et, quand 12
le malade ne sent plus au même degré la chaleur qui lui vient du topique,
on pratiquera une nouvelle embrocation préparée de la même manière.
Quand le mal est adouci et qu'il cause moins de douleur, on ajoutera 13
du vinaigre et de la soude brute; s'il reste quelque chose de la maladie,

5. ἡ ἀφρός R.

καὶ τοῦ νίτρου, καὶ οὕτως αὐξάνοντα τὸ πλῆθος αὐτῶν, ἂν παραμένῃ τι λείψανον αὐτῆς, ἐπεμβάλλειν καὶ τῆς καλουμένης κονίας σλακτῆς, εἶτα τῶν μαλακτικῶν τε καὶ διαφορητικῶν φαρμάκων καὶ
14 ἐμπλασλρωδῶν εἰς ἀποκατάσλασιν ἐπιτιθέναι. Παράδειγμα ἐρῶ καὶ τῶνδε· γλοιὸν ἀναζέσας ἤθησον πρῶτον, ὡς γενέσθαι καθαρὸν, εἶτα αὖθις ἐπεμβαλὼν τῇ κακκάβῃ, τίτανον ἄσβεσλον λείαν ὡς ἄλευρον ἔμπατλε μέχρι πηλώδους συσλάσεως.

κγ'. Περὶ ἀνευρύσματος.

1 Ἀρτηρίας ἀνασλομωθείσης, τὸ πάθος ἀνεύρυσμα καλεῖται, γίνεται δὲ καὶ τρωθείσης, ἐπειδὰν εἰς οὐλὴν μὲν ἀφίκηται τὸ ἐπικείμενον αὐτῇ δέρμα, μένῃ δὲ τὸ τῆς ἀρτηρίας ἕλκος μηδὲ συμφύσης,
2 μήτε σαρκὶ φραχθείσης. Διαγινώσκεται δὲ τὰ τοιαῦτα πάθη τῷ σφυγμῷ τῶν ἀρτηριῶν, ἀλλὰ καὶ θλιβόντων ἀφανίζεται πᾶς ὁ

on mettra aussi de la lessive filtrée dans le médicament, tout en augmentant la quantité des autres ingrédients; ensuite on appliquera, pour ramener le malade à son état normal, quelque médicament emplastique
14 qui ramollisse et qui dissipe. Je vais citer un exemple de ces médicaments-là : faites bouillir de la crasse des baignoires, passez-la d'abord au tamis, afin de la purifier, remettez-la ensuite dans le pot, et jetez peu à peu sur ce médicament de la chaux vive triturée aussi finement que de la farine, jusqu'à ce qu'il ait acquis une consistance de boue.

23. DE L'ANÉVRISME.

1 Lorsqu'une artère est devenue béante, la maladie qui en résulte est appelée *anévrisme;* cette maladie a lieu aussi lorsque, le vaisseau ayant été blessé, la peau qui le recouvre s'est cicatrisée, tandis que la plaie de l'artère reste sans se recoller, ou sans être obstruée par de la chair.
2 Les signes diagnostiques sont la pulsation des artères, et aussi la disparition complète de la tumeur quand nous la comprimons, symp-

1. *αὐξάνον* R; *αὐξάνοντι* 2ª m. — 2. *ἐπεμβάλλει* R; *ἐπέμβαλλε* 2ª m. — 6. *ἐπεμβαλών* ex em.; *ἐπεμβάλλων* R; *ἐμβαλών* Gal. — CH. 23, l. 9. *καί* Paul.; om. R Gal. — 11-12. *τῷ σφυγμῷ* Paul.; *τῶν σφυγμῶν* R Gal.

Mai 56.

ὄγκος, παλινδρομούσης εἰς τὰς ἀρτηρίας τῆς ἐργαζομένης αὐτὸν
οὐσίας. Τρωθέντος δὲ τοῦ ἀνευρύσματος ἐξακοντίζεται τὸ αἷμα 3
δυσεπισχέτως. Ὑποχωρεῖ μὲν οὖν κἀν τοῖς οἰδήμασι θλιψάντων 4
ἡ ὕλη τοῖς δακτύλοις, καὶ βοθροῦται τὸ μέρος, ἀλλὰ οὔτε σφυγμός
ἐστιν ἐν τῷδε τῷ πάθει, καὶ ἡ χρόα λευκοτέρα, καὶ τὸ οἴδημα
πολλῷ πλατύτερόν τε καὶ μεῖζον ἀνευρύσματος, πλὴν εἴ ποτε
θρόμβος τις ἐγγενόμενος ἀνευρύσματι σφάκελον ἐργάζοιτο· καλῶ
δὲ οὕτω τὴν φθορὰν τῶν στερεῶν σωμάτων ἁπάντων.

| κδ'. Περὶ ἀνευρύσματος. Ἐκ τῶν Ἀντύλλου. 56

Διαφοραὶ τῶν ἀνευρυσμάτων δύο· τὸ μὲν γὰρ αὐτῶν γίνεται τῆς 1
κατὰ τόπον ἀρτηρίας ἀνευρυνθείσης· ἐντεῦθεν καὶ τὸ ὄνομα ἐτέθη
τῷ ἀνευρύσματι· τὸ δὲ ῥαγείσης ἀρτηρίας καὶ τὸ αἷμα ἐξερευγομέ-
νης εἰς τὴν ὑποκειμένην σάρκα. Ὅσα μὲν οὖν κατὰ ἀνευρυσμὸν ἀρ- 2
τηρίας γίνεται, προμηκέστερά ἐστιν· ὅσα δὲ κατὰ ῥῆξιν, ταῦτα
στρογγυλώτερα μὲν, καὶ πλείονα ἐπεστόρηται σώματα ἐπὶ τοῦ κατὰ

tôme qui tient à ce que la substance dont elle est formée reflue dans les
artères. Si on pique un anévrisme, le sang est lancé avec tant de force 3
qu'on a de la peine à l'arrêter. Dans les œdèmes, il est vrai, la tumeur 4
se soustrait aussi aux doigts, quand on la comprime, et la partie se dé-
prime; mais il n'y a pas de pulsation, et la couleur est plus blanche;
l'œdème est beaucoup plus aplati et plus étendu que l'anévrisme, à moins
qu'un caillot, en se formant dans un anévrisme, n'ait donné lieu au
sphacèle; or j'appelle *sphacèle* la corruption de toutes les parties solides.

24. DE L'ANÉVRISME. — TIRÉ D'ANTYLLUS.

Il existe deux espèces d'anévrismes : dans la première, l'artère a 1
éprouvé une dilatation locale (c'est de là que l'anévrisme tire son nom);
dans la seconde, l'artère a été déchirée et vomit le sang dans la chair
qui est au-dessous. Tous les anévrismes qui tiennent à la dilatation d'une 2
artère sont plus allongés que les autres; les anévrismes par rupture, au
contraire, sont plus arrondis; l'anévrisme qui provient de la dilatation

4. Τῶν δακτύλων R. — Ch. 24, l. 12. δι' ἀναστόμωσιν Paul.

Maï 56-57.
ἀνεύρυνσιν ἀρτηρίας γεγονότος ἀνευρύσματος, ἐπὶ δὲ τῶν κατὰ ῥῆξιν γεγονότων ἐν ταῖς διὰ τῶν δακτύλων θλίψεσιν ὥσπερ ψόφου τινὸς ἐξακουομένου, οὐδενὸς δὲ ἤχου κατὰ τὸ ἕτερον εἶδος τῶν ἀνευ-
3 ρυσμάτων. Τὸ μὲν οὖν πᾶν ἀνεύρυσμα, καθάπερ ἔδοξε τοῖς παλαιοῖς χειρουργοῖς, ἀπαγορεύειν ἠλίθιον· ἐπικίνδυνον δὲ καὶ τὸ πάντα χειρουργεῖν· ὅθεν τὸ μὲν ἐν μασχάλῃ καὶ βουβῶνι καὶ τραχήλῳ παραιτησόμεθα διά τε τὸ μέγεθος τῶν ἀγγείων καὶ τὸ ἀδύνατον καὶ ἐπικίνδυνον αὐτῶν τὴν ἔκληψιν καὶ τὸν ἀποβροχισμὸν γενέ-
57 σθαι· | ἀπαγορεύομεν δὲ καὶ τὸ ὑπερμέγεθες, κἂν ἐν ἄλλῳ τινὶ τόπῳ τύχῃ· τὰ δὲ ἐν τοῖς ἄκροις καὶ τοῖς κώλοις, ἐν κεφαλῇ τε τοῦτον
4 χειρουργήσομεν τὸν τρόπον. Ἐὰν μὲν οὖν κατὰ ἀνευρυσμὸν ὑποπέσῃ, διαίρεσιν εὐθεῖαν ἐμβαλοῦμεν τῷ δέρματι κατὰ μῆκος τοῦ ἀγγείου, ἔπειτα διαστείλαντες ἀγκίστροις τὰ χείλη τῆς διαιρέσεως, τοὺς ὑμένας πάντας πεφυλαγμένως τοὺς μεταξὺ τοῦ δέρματος τῆς τε ἀρτηρίας διελοῦμεν· τὴν φλέβα δὲ τὴν παρακειμένην τῇ ἀρτηρίᾳ τυφλαγκίστροις εἰς τὰ πλάγια παρώσαντες, γυμνώσομεν πάν-

d'une artère est recouvert par une couche plus épaisse de tissus; on entend comme une espèce de bruit (*crépitation*) quand on comprime avec les doigts ceux qui tirent leur origine d'une rupture; dans l'autre espèce
3 d'anévrisme, au contraire, aucun bruit ne se fait entendre. Refuser de traiter tout anévrisme, comme le voulaient les anciens chirurgiens, c'est une stupidité; mais il est dangereux aussi de les opérer tous; nous refuserons donc de traiter les anévrismes qui ont leur siége à l'aisselle, à l'aine et au cou, à cause du volume des vaisseaux, à cause de l'impossibilité et du danger qu'il y a à les isoler et à les lier; nous ne touchons pas non plus un anévrisme d'un volume considérable, même quand il a son siége dans quelque autre partie du corps; nous opérerons de la manière
4 suivante ceux qui existent aux extrémités, aux membres et à la tête. S'il se présente un anévrisme par dilatation, nous ferons sur la peau une incision droite, dans le sens de la longueur du vaisseau; ensuite, écartant, à l'aide de crochets, les lèvres de la plaie, nous couperons avec précaution toutes les membranes qui séparent la peau de l'artère; avec des crochets mousses nous isolerons la veine de l'artère, et nous mettrons à nu, de

11. Εἰ Paul. — 11-12. ὁ ὄγκος ἐγένετο Paul.

Mai 57.

τοθεν τὸ ἀνευρυσμένον μέρος τῆς ἀρτηρίας, ὑποβαλόντες τε ἐκ τοῦ κάτωθεν μέρους ϖυρῆνα μήλης, καὶ ἀνατείναντες ἄνω, βελόνην διώσομεν ϖαρὰ τὸν ϖυρῆνα ἔχουσαν διπλοῦν νενημένον ῥάμμα, ὡς ὑπὸ τῇ ἀρτηρίᾳ γενέσθαι, ψαλίσομέν τε ϖρὸς τῷ ϖυθμένι τὰ ῥάμματα, ὥστε δύο μὲν αὐτὰ γενέσθαι, τέσσαρας δὲ ἀρχὰς, ἔπειτα λαβόμενοι τῶν δυεῖν ἀρχῶν τοῦ ῥάμματος, ἀνάξομεν αὐτὰ ἠρέμα ϖρὸς τὸ ϖέρας τὸ ἕτερον τοῦ ἀνευρύσματος, ἀκριβῶς τε ἀφαμματίσομεν. Ὁμοίως δὲ καὶ τὸ ἕτερον ῥάμμα ἐπὶ τὸ ἀντικείμενον ϖέρας ἀγα- 5
γόντες, ἐκεῖσε διαδήσομεν τὴν ἀρτηρίαν, ὥστε τὸ ἀνεύρυσμα ϖᾶν ἐν μέσῳ τῶν διαβροχισμῶν ἀμφοτέρων γενέσθαι. Μετὰ δὲ τοῦτο 6
στομώσομεν κατὰ μέσον τὸ ἀνεύρυσμα διαιρέσει μικρᾷ· οὕτω γὰρ τὸ μὲν ϖαρακείμενον ἐκκριθήσεται ϖᾶν, κίνδυνος δὲ οὐκ ἔσται αἱμοῤῥαγίας. Ὅσοι δὲ ἀποβροχίζουσι μὲν ὥσπερ ἡμεῖς ἑκατέρωθεν 7
τὴν ἀρτηρίαν, τὸ δὲ μέσον τὸ ἀνευρυσμένον ἐκκόπτουσιν, ἐπικινδύνως ἐνεργοῦσιν· ὑπὸ γὰρ τῆς βίας καὶ τῆς τάσεως τοῦ ϖνεύματος ϖολλάκις ἐκπτύεται τὰ ῥάμματα. Εἰ δὲ κατὰ ῥῆξιν ἀρτηρίας γένοιτο 8

tous les côtés, la partie dilatée de ce dernier vaisseau; après avoir introduit au-dessous de l'artère le bouton d'une sonde, nous soulevons la tumeur, puis nous faisons passer le long de la sonde une aiguille munie d'un fil double, de telle manière que ce fil se trouve placé au-dessous de l'artère; nous coupons les fils, avec des ciseaux, près de l'extrémité de l'aiguille, de façon qu'il existe alors deux fils et quatre chefs; saisissant ensuite les deux chefs d'un des fils, nous les amenons doucement vers l'une des deux extrémités de l'anévrisme, et nous les nouons avec soin. De la même manière nous amenons aussi l'autre fil vers l'extrémité 5
opposée, et, dans cet endroit, nous lions l'artère; ainsi, l'anévrisme tout entier est placé entre les deux ligatures. Nous ouvrons ensuite le milieu 6
de la tumeur à l'aide d'une petite incision; de cette manière, tout ce qu'elle contient sera évacué, et il n'y aura pas de danger d'hémorragie. Lier, comme il vient d'être dit, l'artère des deux côtés, puis extirper la 7
partie dilatée qui se trouve au milieu, est une opération dangereuse; souvent, en effet, la violence et la tension du pneuma artériel repoussent les ligatures. Si l'anévrisme tire son origine de la rupture 8

1. ὑποβαλλόντες R.

Mai 57-58.
τὸ ἀνεύρυσμα, ἀπολαβεῖν δεῖ τοῖς δακτύλοις σὺν τῷ δέρματι πᾶν ὁπόσον δυνατὸν εἴη τοῦ ἀνευρύσματος, ἔπειτα βελόνην διείρειν κατωτέρω τοῦ ἀποληφθέντος ἔχουσαν διπλοῦν ῥάμμα ἢ λινοῦν, ἢ νευρὰν, καὶ μετὰ |
58 τὴν διεκβολὴν ψαλίσαι πρὸς τῷ πυθμένι, ὥστε δύο γενέσθαι ῥάμματα, εἶτα λαβέσθαι τοῦ ἑτέρου ῥάμματος τῶν ἀρχῶν ἀμφοτέρων, καὶ ἐπὶ τὰ δεξιὰ μέρη ἀναγαγεῖν, κἀκεῖ ἀφαμματίσαι εὐτόνως, ὥστε μὴ περιολισθῆσαι τὸ ῥάμμα, παραπλησίως δὲ καὶ
9 τὰς ἑτέρας ἀρχὰς ἐπὶ τὰ ἀριστερὰ τὰ ἀντικείμενα ἀναγαγεῖν. **Εἰ** δὲ φόβος εἴη τῆς περιολισθήσεως τῶν ῥαμμάτων, καὶ ἄλλην βελόνην διεκβλητέον διὰ τοῦ αὐτοῦ τόπου χιέζουσαν τὴν προτέραν τῷ χῖ σχήματι τῆς διεκβολῆς, ἔχουσαν ῥάμμα ὁμοίως νενημένον διπλοῦν.
10 Ψαλιστέον δὲ τά τε ῥάμματα παραπλησίως καὶ ἀφαπτέον ὥσπερ καὶ τὰ πρότερον, ὥστε διὰ ῥαμμάτων τεσσάρων τὴν διάσφιγξιν γενέσθαι, εἶτα οὕτω κατὰ κορυφὴν στομοῦν χρὴ τὸν ὄγκον, καὶ μετὰ τὴν ἔκκρισιν τοῦ παρακειμένου τὸ περιττὸν τοῦ δέρματος πε-

d'une artère, on isole avec les doigts une partie de la tumeur, aussi grande qu'on peut, en y comprenant la peau; après quoi on fait passer au-dessous de la partie isolée une aiguille pourvue d'un fil double, soit en lin, soit fait avec une corde de boyaux; après l'introduction du fil, on le coupe avec des ciseaux, près du chas de l'aiguille, de manière qu'il y ait deux fils; ensuite on saisit les deux chefs de l'un des fils, et on les amène à droite, où on les noue vigoureusement, de façon que le fil ne puisse pas glisser; nous amenons de la même manière les chefs de l'autre
9 fil au côté opposé, à gauche. Si on craint que les fils ne glissent, on fait, en outre, passer par le même endroit une autre aiguille qui coupe la première comme la lettre X, et les fils eux-mêmes présentent alors, dans leur entrecroisement, la forme de cette lettre; cette seconde aiguille sera
10 également munie d'un fil double. On coupe ces seconds fils avec des ciseaux, et on les noue de la même manière que les premiers, de façon que les quatre fils concourent à la ligature; ensuite on ouvre la tumeur à son sommet, et, après avoir évacué ce qui s'y trouve, on resèque la partie superflue de la peau, en laissant en place celle qu'on avait com-

3. ῥάμμα om. Paul. — Ib. ἢ λινοῦν conj.; ἠλινόν R; λινόν Paul.

ριαιρεῖν, καταλιπόντας ἐκεῖνο ὅπερ ὑπὸ τῶν ῥαμμάτων ἐσφίγγετο· οὕτω γὰρ ἀναιμοῤῥάγητος ἡ χειρουργία γίνεται.

κε′. Περὶ κολοβωμάτων. Ἐκ τῶν Ἀντύλλου.

Ἔστι μὲν τὸ κολόβωμα ἔλλειψις μορίου, ἢ τινος δέρματος κα- 1
λύπτοντος τὰ σώματα. Εἰ μὲν οὖν ἐν ὀφρύϊ γένοιτο τὸ κολόβωμα, 2
οὕτω χειρουργήσομεν· τετράγωνον ἐκκοπὴν ϖοιησόμεθα, εἰ μή
ϖως αὐτὸ κατὰ συντυχίαν τετράγωνον εἶναι τύχοι, ὥστε ἐν τῇ τε-
τραγώνῳ ἐκκοπῇ ϖεριειλῆφθαι τὸ κολόβωμα, ἔπειτα τὴν ἄνω ϖλευ-
ρὰν τοῦ τετραγωνίσματος, λέγω δὲ τὴν γενομένην ἐπὶ τῷ μετώπῳ,
ἐπὶ ἑκάτερα ἐκβαλοῦμεν, διαιροῦντες καὶ ὡς ϖρὸς τὴν ῥῖνα καὶ ὡς
ϖρὸς τὸ οὖς, ὥστε ϖολὺ ἐπιμηκεστέρας τῆς τοῦ τετραγώνου ϖλευ-
ρᾶς γενέσθαι τὰς ἑκατέρωθεν ἐπεκτεταμένας διαιρέσεις. Παραπλη- 3
σίως δὲ καὶ τὴν ἀντικειμένην ϖλευρὰν τὴν ἐπὶ τῇ ὀφρύϊ ἐπιδιελοῦ-
μεν ἐπὶ ἑκά|τερα, ὥστε τὸ σχῆμα γενέσθαι συμπάσης τῆς διαιρέσεως 59

prise dans les fils : par ce procédé, l'opération a lieu sans qu'il survienne d'hémorragie.

25. DU COLOBOME (PERTE DE SUBSTANCE ET ARRÊT DE DÉVELOPPEMENT). — TIRÉ D'ANTYLLUS.

Le colobome est un manque de substance intéressant une partie dans 1
toute son épaisseur, ou seulement la peau qui la recouvre. Si donc le 2
colobome existe au sourcil, nous pratiquons l'opération suivante : nous
faisons quatre incisions qui se réunissent à angle droit (à moins que
par hasard la mutilation elle-même ne constitue un rectangle), de telle
sorte que nous circonscrivons la mutilation dans un rectangle; ensuite
nous prolongeons à droite et à gauche le côté supérieur du rectangle, je
veux dire celui qui est sur le front, en dirigeant les incisions d'un côté
vers le nez, et de l'autre vers l'oreille, d'où il résulte que les incisions
prolongées de part et d'autre deviennent beaucoup plus longues que le
côté du rectangle [d'où elles partent]. De même, nous prolongeons 3
aussi de part et d'autre le côté opposé, celui qui occupe le sourcil;
ainsi, la figure de l'ensemble de toutes les incisions, y compris le

1. ἐπὶ R.

Mai 59.
σὺν τῷ τετραγωνίσματι παραπλήσιον τῷ ⌶ κατεσΊραμμένῳ σΊοιχείῳ, τῆς τετραγωνότητος νοουμένης ὅλης ἀντὶ τῆς μέσης γραμμῆς
4 τῆς ἐν τῷ Η. Γενομένου δὲ τούτου, μεταξὺ τῶν διαιρέσεων ὑποδεροῦμεν καὶ ἀναπΊύξομεν μέχρι τῶν κεραιῶν τῶν γραμμῶν, ἔπειτα ἐπισπάσαμενοι αὐτὰ μετὰ τὴν ὑποδορὰν συνάξομεν πρὸς ἄλληλα· ἔσΊαι δὲ αὐτῶν ἡ συμβολὴ κατὰ μέσην τὴν τετράγωνον ἐκκοπήν·
5 ἔπειτα ζυγώσαντες ἐναίμως ἄξομεν. Χρὴ δὲ ἐν τῇ ὑποδορᾷ μὴ ἐξ ἐπιβολῆς πάνυ ὑποδέρειν τὸ δέρμα· νεκροῦται γὰρ τὸ τοιοῦτον λεπΊυνόμενον· ἀλλὰ ποσόν τι καὶ τῆς σαρκὸς προσλαμβάνειν τῷ δέρ-
6 ματι. Παραπλησίως δὲ χειρουργητέον καὶ τὰ ἐν μετώπῳ καὶ τὰ ἐν μήλοις καὶ τὰ κατὰ μέσην τὴν ῥῖνα κολοβώματα· εἰ μέντοι μέχρι τοῦ ὀσΊοῦ τύχοι τὸ κολόβωμα εἶναι, ὥσΊε γεγυμνῶσθαι τὸ ὀσΊοῦν, τὰ μὲν ἄλλα πάντα παραπλησίως ποιήσομεν· πρὸ δὲ τοῦ ζυγοῦν ἐπιμελησόμεθα τοῦ ὀσΊοῦ, ξέσαντες αὐτὸ, ἢ κατατρήσαντες ἐξεπιπολῆς, ὥσΊε μὴ ἀτευκτηθῆναι τὴν παρακόλλησιν.

rectangle, est celle de la lettre ⌶ renversée, pourvu qu'on se repré-
4 sente le rectangle à la place de la ligne transversale de la lettre H. On dissèque ensuite la peau comprise entre les incisions, en la renversant jusqu'à l'extrémité de ces incisions; après la dissection, on tire sur les lambeaux et on les rapproche l'un de l'autre, sur la ligne médiane du rectangle, où ils se rejoignent; après cela on les réunit et on emploie
5 le traitement usité pour les plaies saignantes. Il ne faut pas chercher trop scrupuleusement à isoler la peau; car un lambeau trop aminci est exposé
6 à la gangrène, mais on y laissera aussi une petite portion de la chair. La même opération s'applique également au front, aux pommettes et au milieu du nez; cependant, si la défectuosité pénétrait jusqu'à l'os, de telle manière que l'os soit dénudé, nous opérerons comme précédemment, à cette exception près qu'avant de réunir les lambeaux, nous prendrons soin de l'os, en le ruginant ou en le trépanant superficiellement, de sorte que la réunion des parties molles n'échoue pas.

1. παραπλησίως R.

Mai 59-60.

κς'. Περὶ τῶν ἐν ῥισὶ καὶ ὠσὶ κολοβωμάτων.

Εἰ μὲν κατὰ τὸ σφαιρίον τῆς ῥινὸς γίνοιτο κολόβωμα, παραπλη- 1
σίως χειρουργήσομεν ὡς καὶ ἐπὶ τῶν κατὰ τὴν ὀφρὺν κολοβωμά-
των· μετὰ γὰρ τὴν τετράγωνον ἐκκοπὴν τὰς δύο πλευρὰς τὰς τοῦ
τετραγωνίσματος, οὐχὶ τὰς κατὰ μῆκος τῆς ῥινὸς, ἀλλὰ τὰς ἐγκαρ-
σίας ἐπὶ ἀμφότερα ἐκβαλοῦμεν, καταβιβάζοντες αὐτὰς εἰς τὰ πλά-
για τῆς ῥινὸς ἑκατέρωθεν πρὸς τὰ πλερυγώματα, ἔπειτα τὰ μεταξὺ
τῶν διαιρέσεων ταινίδια τοῦ δέρματος ὑποδείραντες καὶ ἐπισπασά-
μενοι ζυγώσομεν αὐτὰ ἄνω κατὰ τὸν τοῦ | σφαιρίου τόπον. Εἰ δὲ 60 2
κατὰ τὸ διάφραγμα τῆς ῥινὸς εἴη κολόβωμα, ἀπό τε τῶν ἄνωθεν
μερῶν τῆς ῥινὸς καὶ ἀπὸ τῶν κάτωθεν τῶν πρὸς τῷ χείλει τὰ ται-
νίδια περιγράψαντες καὶ ὑποδείραντες ἐπάγοντές τε τὸ διάφραγμα
ῥάψομεν. Κατὰ δὲ τὸ πλερύγιον εἰ γένοιτο κολόβωμα, παρὰ τὴν 3
ῥῖνα αὐτὴν δώσομεν διαίρεσιν, ἐπεκτείνοντες τὴν εὐθεῖαν πλευρὰν
τοῦ τετραγωνίσματος ἄνω τε ἀνιόντες ὡς πρὸς τὸν μέγαν κανθόν·

26. DU COLOBOME DU NEZ ET DES OREILLES.

S'il existe un colobome sur l'extrémité du nez, le mode opératoire est 1
le même que pour le colobome du sourcil : après avoir fait l'excision rec-
tangulaire, on prolonge de part et d'autre les deux côtés du rectangle;
seulement on ne choisit pas les côtés qui correspondent à la longueur
du nez, mais ceux qui ont une direction transversale, et on fait descendre
les incisions des deux côtés latéralement sur les ailes; disséquant ensuite
les lambeaux circonscrits par les incisions, et, les ayant attirés, on les
réunit en haut, sur le lobule. S'il existe un colobome à la cloison du 2
nez, on taille les lambeaux aux dépens de la partie supérieure du nez et
de la partie inférieure voisine de la lèvre; après les avoir disséqués, on
[les] attire [vers la] cloison et on réunit par une suture. Si le colobome 3
siége sur l'aile du nez, nous ferons une incision selon l'axe du nez lui-
même, et nous prolongerons le côté perpendiculaire du rectangle, en
remontant en haut, vers le grand angle de l'œil; de même, nous pro-

Ch. 26, l. 5. ἐπαμφοτέρας ἐμβαλοῦμεν R. — 6. τά (ante μετ.) om. R.

Mai 60.
ὁμοίως δὲ καὶ τὴν ἀντικειμένην αὐτῇ διαίρεσιν ἐπεκβαλοῦμεν ἄνω ὡς πρὸς τὸ ὑπώπιον, ὑποδείραντές τε καὶ ἐπάγοντες τὸ ταινίδιον τοῦτο, ζυγώσομεν αὐτὸ πρὸς τὰ ἑκατέρωθεν τῷ κολοβώματι παρακείμενα σώματα· οὐ γὰρ ἀποδεχόμεθα τοὺς ἀπὸ τοῦ σφαιρίου τῆς ῥινὸς πειρωμένους ἐπάγειν τὸ ταινίδιον· εἰ γάρ τις πείθοιτο ἐκείνοις, εἰς τὸ ἕτερον μέρος διαστρέψει τὴν ῥῖνα διὰ τὴν σύντασιν τοῦ
4 δέρματος. Παραπλησία δὲ ἡ κατὰ τὰ ὦτα τῶν κολοβωμάτων ἐστὶ διόρθωσις· ὁπόταν μέντοι γε μὴ μόνον τὸ δέρμα, ἀλλὰ καὶ ὁ χόνδρος αὐτὸς ἐλλείπῃ, εἴτε κατὰ τὰ ὦτα, εἴτε κατὰ τὰ ἄκρα τῆς ῥινός, χρὴ πρὸ τῆς ἐπαγωγῆς τοῦ δέρματος περικόπτειν τὸν χόνδρον αὐτόν, ὥστε ἀπευθύνεσθαι κατὰ ποσὸν τὴν γενομένην τοῦ κολοβώματος κοιλότητα· οὕτω γὰρ ἐπαχθέντος τοῦ δέρματος, οὐκ ἀπρεπὲς φανεῖται τὸ ἀποτέλεσμα.

κζ'. Περὶ ἐλεφαντιάσεως. Ἐκ τῶν Γαληνοῦ.

1 Μελαγχολικόν ἐστιν ὁ ἐλέφας πάθημα, τὴν μὲν πρώτην γένε-

longerons aussi en haut l'incision opposée à la précédente, vers la paupière inférieure; après avoir disséqué ce lambeau, nous l'attirerons et nous le réunirons avec les bords latéraux du colobome; car nous n'adoptons pas l'avis de ceux qui veulent tailler les lambeaux aux dépens du lobule du nez; en effet, si l'on se conformait à leur précepte, on produi-
4 rait une distorsion du nez par la tension de la peau. Pour remédier aux colobomes des oreilles, on procède de la même manière; toutefois, quand la perte de substance n'intéresse pas seulement la peau, mais aussi le cartilage lui-même, que ce soit aux oreilles, ou à l'extrémité du nez, il faut, avant d'attirer la peau, exciser le cartilage, de manière à niveler un peu l'excavation qui provient du colobome; car la peau ayant été alors attirée, la cicatrice qui en résulte ne sera pas difforme.

27. DE L'ÉLÉPHANTIASIS. — TIRÉ DE GALIEN.

1 L'éléphantiasis est une maladie atrabilaire, qui tire sa première ori-

1. ἐπεμβαλοῦμεν R. — 2. τε om. R. — 7. ὦτα] σώματα R.

σιν ἐξ αἵματος ἴσχων μελαγχολικοῦ, τῷ χρόνῳ δὲ πλείων ἡ μέ-
λαινα γίνεται τοῦ αἵματος, ἡνίκα δυσώδεις εἰσὶ καὶ εἰδεχθεῖς· ἐνίοις
δὲ αὐτῶν καὶ ἕλκη συμπίπlει. Ὅταν μὲν ἐπιεικὴς κατὰ τὰς ποιότη- 2
τας ὁ μέλας ᾖ χυμὸς αἵματί τε συμμιγὴς, τοὺς ὑπερύθρους ἐλέφαν-
τας ἐργάζεται, χρονίζοντες δὲ καὶ οὗτοι γίνονται μελάντεροι. Τοῦτο 3
τὸ πάθος ἀρχόμενον μὲν ὀνομάζουσι σατυριασμὸν, ἐπειδὴ τοῖς σα-
τύροις ὅμοιοι γίνονται· σιμοῦται μὲν γὰρ ἡ ῥὶς αὐτοῖς, τὰ χείλη
δὲ παχέα καὶ ἀπωξυσμένα τὰ ὦτα φαίνεται. Γίνονται μὲν ἐκ πα- 4
χέος καὶ μελαγχολικοῦ χυμοῦ τὴν ῥοπὴν τῆς φορᾶς πρὸς τὸ δέρμα
ἔχοντος, συμφέρουσι δὲ αἱ ἐπὶ τῶν καρκινωδῶν ἑλκῶν εἰρημέναι
καθάρσεις. Ἐὰν δὲ τὰ τῆς ἡλικίας καὶ δυνάμεως ἐπιτρέπῃ, φλεβο- 5
τομεῖν πρότερον. Θαυμασlὸν δέ ἐσlι τοῖς πάσχουσι βοήθημα ἡ 6
τῶν ἐχιδνῶν ἐδωδὴ, χρὴ δὲ ἐσθίειν αὐτὰς ὧδε σκευάζοντα· πρῶτον
μὲν ἀποκοπlομένης τῆς κεφαλῆς καὶ τῆς οὐρᾶς ἄχρι δακτύλων τεσ-
σάρων, εἶτα τῶν ἔνδον ἁπάντων ἐξαιρεθέντων, καὶ τοῦ δέρματος

gine d'un sang chargé de bile noire; mais, par l'effet du temps, la quan-
tité de la bile noire arrive à prédominer sur celle du sang, et alors les
malades ont une mauvaise odeur et sont horribles à voir; chez quelques-
uns d'entre eux il survient aussi des ulcères. Si l'humeur noire est 2
douée de propriétés bénignes, et si elle est mêlée à du sang, elle pro-
duit les éléphantiasis rougeâtres; cependant ceux-là deviennent noi-
râtres aussi s'ils persistent longtemps. Quand cette maladie commence, 3
on la nomme *satyriasis*, attendu que les malades sont alors semblables
aux satyres; car leur nez devient camus, leurs lèvres sont manifestement
épaisses, et leurs oreilles pointues. Ils tombent dans cet état par l'effet 4
d'une humeur épaisse et atrabilaire, qui a de la tendance à se porter
vers la peau; les purgations dont nous avons parlé à propos des ulcères
carcinomateux leur sont profitables. Mais, si l'âge et l'état des forces le 5
permettent, on doit d'abord faire une saignée. Manger des vipères est un 6
remède merveilleux; il faut les préparer de la manière suivante : on re-
tranche la tête et la queue dans une longueur de quatre doigts; ensuite
on ôte toutes les parties internes et on enlève la peau; on lave leur corps

4. τε om. R 1ª m. — 6. μέν om. R 1ª ξυσμένα R; ἀπεξυσμένα Gal. — 12. ἡ
m. Gal. — 8. ἀπωξυσμένα conj.; ἀπο- ʹ om. R.

ἀφαιρεθέντος, ὕδατί τε τοῦ σώματος αὐτῶν περιπλυθέντος, ἐν λο-
πάδι ταῖς ἐγχέλυσι παραπλησίως σκευάζοντας διὰ λευκοῦ ζωμοῦ.
7 Γίνεται δὲ οὗτος ὕδατος μὲν δαψιλοῦς ἐπιβληθέντος, ἐλαίου δὲ βρα-
8 χέος, καὶ σὺν αὐτῷ πράσου καὶ ἀνήθου. Πρόδηλον δὲ ὅτι μέχρι
τοσούτου τὰς σάρκας τῶν ἐχιδνῶν ἕψειν προσήκει, μέχρις ἂν ἀκρι-
9 βῶς γενηθῶσι μαλακαί. Καὶ αὐτὸ δὲ τὸ διὰ αὐτῶν σκευαζόμενον
φάρμακον, ὃ καλοῦσι θηριακὴν, ἐπιτήδειόν ἐστι πίνεσθαι δαψιλὲς
τοῖς οὕτω κάμνουσι, καὶ εἰ βούλοιτό τις αὐτῷ καὶ τὸ δέρμα χρίε-
σθαι· ταῦτα γὰρ ἅπαντα ποιούντων ἔστιν ὅτε λεπὶς ἀφίσταται τοῦ
10 δέρματος, ὁποῖόν ἐστι τῶν ὄφεων τὸ καλούμενον γῆρας. Ἐν οἴνῳ
γοῦν κατὰ τύχην πνιγείσης ἐχίδνης ἐλεφαντιῶν τις ἐκ τούτου πί-
νων ὑγιὴς ἐγένετο θαυμαστόν τινα τρόπον· ὅλον γὰρ αὐτοῦ τὸ τοῦ
δέρματος ὀχθῶδες ἀπέπεσεν, ὡς τῶν μαλακοστράκων τὸ σκέπασμα,
11 ὅσον δὲ ὑπόλοιπον ἦν αὐτῷ, μαλακὸν ἐφαίνετο. Καὶ ἕτερος δὲ
12 τοιοῦτον οἶνον πιὼν ὁμοίως ὑγιὴς ἐγένετο. Καὶ ἄλλος πυθόμενος
τὰ ἐκ τύχης τοῖς προειρημένοις συμβεβηκότα οἶνον οὕτω φαρ-

avec de l'eau, et on les prépare sur le plat à la sauce blanche, de la même
7 manière que les anguilles. Or on fait cette sauce en versant sur le plat
de l'eau en abondance, avec un peu d'huile, à laquelle on ajoute du
8 poireau et de l'aneth. Il est clair qu'il faut laisser bouillir la vipère assez
9 longtemps pour qu'elle devienne complétement tendre. Le médicament
qu'on prépare avec ces animaux, et qu'on appelle *thériaque,* convient
également aux malades qui sont affectés d'éléphantiasis, s'ils en boivent
abondamment, et aussi si on veut leur en frotter la peau; par suite de
tout ce traitement il se détache quelquefois de la peau une écaille sem-
10 blable à ce qu'on appelle la *vieillesse des serpents* (*mue des serpents*). Une
vipère ayant été par hasard étouffée dans du vin, un malade affecté
d'éléphantiasis but de ce vin et guérit d'une manière merveilleuse; toute
la partie bosselée de sa peau tomba comme le test des crustacés, et ce
11 qui en restait était manifestement mou. Un autre malade, qui avait bu
12 du vin semblable, guérit également. Un troisième, ayant appris ce qui
était arrivé par hasard aux gens dont nous venons de parler, devint *lé-*

1-2. λοπάδι *Syn., ad Eun.,* Aët.; λοπάσι R Gal. — 3. δέ om. R.

*μαχθέντα πιὼν λεπρώδης ἐγένετο, χρόνῳ δὲ ὕστερον ἰασάμεθα καὶ
τὴν λέπραν αὐτοῦ τοῖς συνήθεσι φαρμάκοις. Χρώμεθα δὲ ἐπὶ αὐτῶν 13
καὶ τοῖς ἁλσὶ τοῖς θηριακοῖς καὶ τῇ καλαμίνθῃ· ἀγαθὸν γὰρ καὶ
τοῦτο μὴ μόνον γενναίως διαφοροῦν τοὺς λεπτοὺς χυμοὺς, ἀλλὰ καὶ
λεπτῦνον ἰσχυρῶς καὶ τέμνον τοὺς παχεῖς τοὺς τοῦτο τὸ νόσημα
γεννῶντας. Οὐ μὴν ἁπλῶς ἐπὶ ἕκαστον τούτων ἐρχόμεθα, προ- 14
καθαίρομεν δὲ, ὡς εἴρηται, πάντως, ἔστιν ὅτε καὶ προφλεβοτομοῦ-
μεν. Τὸ δὲ ἐν ἦρι τῆς θεραπείας ἄρχεσθαι κοινὸν ἐστι πρὸς τὰ 15
πλεῖστα τῶν χρονίων παθῶν. Ἐπεὶ δὲ ἔνιοι τῶν φαγόντων ἐχίδνας 16
ἑάλωσαν δίψει σφοδροτάτῳ, φασὶ δὲ τοῦτο ποιεῖν τὰς παρὰ θα-
λάττῃ καὶ τόποις ἁλμυρίδα πολλὴν ἔχουσι διαιτωμένας, ἀσφαλέ-
στατόν ἐστι φυλάττεσθαι τὰς ἐν τοῖς τοιούτοις χωρίοις εἰς ἐδωδὴν,
ἢ φαρμάκου κατασκευήν. Ἔγραψαν δέ τινες καὶ τὴν τοῦ χερσαίου 17
ἐχίνου σάρκα σκελετευθεῖσαν, εἰ ποθείη, βοηθεῖν ἐλεφαντιῶσι καὶ
καχέκταις.*

preux après avoir bu du vin ainsi préparé; plus tard et avec le temps, nous
guérîmes aussi sa *lèpre* à l'aide des médicaments habituels. Chez ces ma- 13
lades nous employons aussi les sels thériaques et la *calaminthe;* c'est un
bon remède, non-seulement parce qu'elle dissipe fortement les humeurs
ténues, mais aussi parce qu'elle exerce une action efficace pour atténuer
et inciser les humeurs épaisses qui produisent cette maladie. Cependant 14
il ne faut pas se contenter de ces remèdes; au contraire, ainsi que nous
l'avons dit, nous purgeons toujours auparavant, et quelquefois nous fai-
sons aussi une saignée préalable. Commencer un traitement au printemps 15
est un précepte commun à la plupart des maladies chroniques. Quelques- 16
uns de ceux qui avaient mangé des vipères furent pris de soif très-intense;
on prétend que cela tenait à ce que ces vipères vivaient près de la mer, et
là où il existe beaucoup d'efflorescences salines; donc le plus sûr est de se
tenir en garde contre les vipères qui proviennent de pareilles contrées,
qu'il s'agisse de les manger ou d'en préparer un médicament. Quelques- 17
uns ont écrit que la chair desséchée du hérisson est profitable aux ma-
lades affectés d'éléphantiasis, ainsi qu'à ceux qui ont mauvaise appa-
rence, s'ils en prennent une décoction.

12. *τοῖς* om. R 1ª m. — 13. *ἢ* om. R.

Mai 60-61.

60 | κη'. Περὶ ἐλεφαντιάσεως. Ἐκ τῶν Ῥούφου.

1 Οὐδὲν μὲν παρὰ τῶν παλαιῶν περὶ τῆς ἐλεφαντιάσεως ἀκηκόα-
μεν, καὶ θαυμάζειν ἄξιον εἰ οὕτω μέγα καὶ χαλεπὸν νόσημα καὶ
πολλοῖς γινόμενον παρεῖδον ἱκανοὶ ἄνδρες πᾶν καὶ τὸ βραχύτατον
κατασκέψασθαι· μόνος ἡμῖν Στράτων ὁ τοῦ Ἐρασιστράτου μαθητὴς
61 ἐννοίας παρέσχε τοῦ πάθους, κακοχυ|μίαν αὐτὸ ὀνομάζων· τὸ γὰρ
εἰς Δημόκριτον ἀναφερόμενον βιβλίον περὶ τοῦ νοσήματος φανε-
2 ρῶς κατέψευσται. Οἱ δὲ ὀλίγον πρὸ ἡμῶν καὶ διαφορὰς εἰσηγή-
σαντο τοῦ πάθους, τὴν μὲν ἀρχὴν αὐτοῦ λεοντίασιν καλοῦντες, ὅτι
τὸ σῶμα δυσῶδες γίνεται, καὶ ὅτι χαλῶνται αἱ γνάθοι, καὶ παχύ-
νεται τὰ χείλη· ὅταν δὲ [αἱ] ὀφρύες διεγείρωνται, καὶ τὰ μῆλα ἐρυ-
θραίνηται, καί τις ὁρμὴ καταλαμβάνῃ τοὺς πεπονθότας πρὸς ἀφρο-
δίσια, τότε σατυρίασιν καλοῦσιν, ἕτερόν τι τοῦτο τοῦ κατὰ αἰδοῖα
πάθους· ἐκεῖνο μὲν γὰρ ἀπὸ τῆς συνεχοῦς ἐντάσεως τῶν μορίων
ὠνόμασται, τοῦτο δὲ καὶ ἀπὸ τῆς μορφῆς· διαβαινόντων δὲ τῶν

28. DE L'ÉLÉPHANTIASIS. — TIRÉ DE RUFUS.

1 Les anciens ne nous ont rien appris sur l'éléphantiasis; et il y a lieu de s'étonner qu'une maladie aussi grave, aussi sérieuse et aussi fréquente, ait échappé à des hommes capables de méditer sur tout, même sur les détails les plus petits; il n'y a que Straton, le disciple d'Érasistrate, qui nous ait fourni des notions sur cette maladie, en l'appelant *cacochymie;* car le livre qui traite de cette maladie, et qu'on attribue à Démocrite,
2 est manifestement apocryphe. Les médecins qui vécurent peu de temps avant nous établirent aussi des espèces dans cette maladie; ils l'appelèrent, à son début, *léontiasis,* parce que les malades prennent une mauvaise odeur, que leurs joues se relâchent, et que leurs lèvres s'épaississent; mais, quand les sourcils se gonflent, quand les pommettes rougissent, et que les malades sont pris d'ardeur pour le coït, ces médecins donnent le nom de *satyriasis* à la maladie, qui, cependant, est autre chose que l'affection des parties génitales [appelée du même nom]; car cette dernière a tiré son nom de l'érection continuelle des parties, tandis que la première la tire aussi de sa forme; quand les symptômes envahis-

Ch. 28, l. 10. [αἱ] om. R. — 11. καταλαμβάνει R.

Mai 61.

συμπλωμάτων ἐπὶ πᾶσαν τὴν ἕξιν, ἐλέφαντα καλοῦσιν. Τὰ δὲ 3
συμπλώματα οὐκ ἄδηλα, ὄχθοι πελιδνοὶ καὶ μέλανες μώλωψι μά-
λισλα ὅμοιοι, ἄλλοι περὶ τὴν ὄψιν, ἄλλοι περὶ χεῖρα, ἄλλοι περὶ
σκέλη· καὶ περὶ νῶτα δὲ καὶ σλῆθος καὶ γασλέρα πολλοὶ ἀνίσλαν-
ται, τὰ μὲν πρῶτα ἀνέλκωτοι, εἶτα καὶ ἑλκούμενοι τρόπον τὸν πο-
νηρότατον μετὰ χειλῶν ἐπανασλάσεως, μετὰ σηπεδόνος βαθείας,
ὥσλε ἐνίοις καὶ ἄκρους δακτύλους ἀποπίπλειν, καὶ τὰ ἕλκη μηδέποτε
εἰς οὐλὴν ἀφικνεῖσθαι. Δοκεῖ μὲν οὖν ἐπιπόλαιον εἶναι τὸ νόσημα, 4
ὅτι ἐν τῷ δέρματι φαίνεται· τὸ δὲ περὶ τὴν ἴασιν δύσκολον καὶ
ἐγγυτάτω τοῦ ἀδυνάτου βαθυτέραν τὴν ἀρχὴν ὑποϐάλλει καὶ ἧς οὐ
ῥάδιον ἅψασθαι, οἷόν τι καὶ περὶ τὰ καρκινώματα πεπίσλευται
εἶναι· καὶ γὰρ τούτων ὁ Πραξαγόρας βύθιον τὴν ἀρχὴν ποιεῖ μά-
λισλα.

sent toute l'habitude du corps, les médecins dont il s'agit se servent du
nom d'*éléphantiasis*. Or les symptômes ne sont pas obscurs : ils consistent 3
en bosselures livides et noires, ressemblant surtout à des ecchymoses; les
unes siégent sur la face, d'autres au bras, d'autres encore aux jambes;
il s'en développe beaucoup aussi au dos, à la poitrine et au ventre; d'a-
bord ces bosselures ne sont pas ulcérées; plus tard, elles s'ulcèrent aussi
de la manière la plus hideuse, puisque cette ulcération est accompagnée
de tuméfaction des lèvres et d'une pourriture tellement profonde, que,
chez quelques-uns, les extrémités des doigts tombent, et que les ulcères
ne parviennent jamais à se cicatriser. Il semble donc que c'est une ma- 4
ladie superficielle, parce qu'elle se manifeste à la peau; mais la difficulté
de sa guérison, difficulté qui touche de très-près à l'impossibilité, nous
suggère l'opinion qu'elle a une origine plus profonde, origine qu'il n'est
pas facile d'atteindre; elle est même aussi profonde que l'est celle du
carcinome, suivant l'opinion générale; en effet, c'est surtout pour le
carcinome que Praxagore admet une origine profonde.

9-10. καὶ τὸ ἐγγ. R.

Mai 61-62.

κθ'. Τίς θεραπεία ἐλεφαντιάσεως; Ἐκ τῶν Φιλουμένου.

1 Φλεβοτομία μὲν οὖν πρῶτόν ἐστι βοήθημα, καὶ ὁπότε τῆς ὅλης
ἐναρχόμεθα θεραπείας, καὶ ὁπότε τῆς ἐπετείου· μεμερίσθω δὲ καὶ
εἰς ἐπαφαίρεσιν, καὶ ἡ πᾶσα κένωσις γενηθήτω σύμμετρος· φεί-
δεσθαι γὰρ ἐν τῇ διαθέσει ταύτῃ τοῦ αἵματος ἀναγκαῖόν ἐστιν· πλέον
62 γὰρ τὸ οἰκεῖον τοῦ ἀνοικείου διὰ τῆς φλε|βοτομίας κενοῦται, τῷ πε-
παχύνθαι μὲν ὑπὸ τῆς θρομβώσεως, καθὰ προείρηται, τὸ αἷμα,
2 περιῤῥεῖν δὲ αὐτοῦ πρὸς τὴν ἔκκρισιν τὸ λεπτότερον. Ὅσον οὖν εἰς
χαλασμὸν τῶν σωμάτων καὶ διακίνησιν τῆς ἐσφηνωμένης ὕλης, τῇ
φλεβοτομίᾳ χρηστέον· μετὰ διάστημα δὲ σύμμετρον ἀπὸ αὐτῆς ἐπὶ
τὰ καθαρτήρια χωρητέον, καὶ πρώτῳ γε τούτῳ χρηστέον· κολο-
κυνθίδας δύο συμμέτρους τῷ μεγέθει περιγλύψαι δεῖ κατὰ τὸ ἕτερον
μέρος τοσοῦτον, ὅσον αὔταρκες ἐπιπωματίσαι· εἶτα τὸ μὲν σπέρμα
πᾶν αὐτῆς ἐκκενῶσαι· περιωδυνίας γὰρ εἴωθεν ἰσχυρὰς ἐπιφέρειν·
τὴν δὲ ἐντεριώνην ἐᾶσαι, γεμίσαι τε τὰς κολοκυνθίδας ἐλαίου γλυ-

29. TRAITEMENT DE L'ÉLÉPHANTIASIS. — TIRÉ DE PHILUMÈNE.

1 Le premier remède est la saignée, aussi bien lorsque nous commen-
çons le traitement pour la première fois qu'au début du traitement
annuel; mais on fera de petites saignées successives; et, en somme,
l'évacuation totale sera modérée, puisque, dans cette maladie, il est né-
cessaire de ménager le sang; en effet, par la saignée, on évacue plus
d'éléments qui ont de l'affinité avec l'économie, que d'éléments con-
traires, vu que le sang s'est épaissi par coagulation ainsi que nous l'avons
dit plus haut, et que la partie plus ténue de ce liquide se porte vers
2 l'incision, en laissant par derrière la partie coagulée. On aura donc re-
cours à la saignée, autant qu'il faut pour relâcher les parties et pour
mettre en mouvement la matière enclavée; mais, après un petit inter-
valle, on passera aux purgatifs, et on emploiera d'abord le suivant : on
détache d'un seul côté, sur deux coloquintes de grandeur moyenne, un
segment assez grand pour former une espèce de couvercle; ensuite on
enlève toutes les graines (car habituellement elles causent des douleurs
excessivement vives), et on laisse en place la pulpe; on remplit les colo-
quintes d'huile douce, ensuite on se sert comme d'un couvercle du

Mai 62.
κέος, καὶ περιπωμάσαι τῷ περιγλυφέντι σώματι, νύκτα δὲ ἐᾶσαι
μίαν. Τῇ δὲ ἑξῆς, τοῦ ἐλαίου κενωθέντος, ἑψῆσαι δεῖ τὰς κολοκυνθί- 3
δας ἐν ὕδατι ἄχρι τακερωθῶσιν, εἶτα αὐτὰς μὲν ἐκρίψαι, τοῦ δὲ
ἐλαίου τῷ ὕδατι παραχυθέντος, προσεπιβάλλειν μέλανος μὲν ἐλλε-
βόρου τριώβολον, σκαμμωνίας δὲ μήτε δραχμῆς πλέον, μήτε ὀβολῶν
τεσσάρων ἔλασσον· συνεψῆσαι δὲ τούτοις πολτάριον ἐκ σεμιδά-
λεως· ἔπειτα ἀπὸ τούτου τῷ πάσχοντι διδόναι λιτῶς προδιητη-
μένῳ μεγέθει καρύων ποντικῶν τεσσάρων καὶ εἴκοσι, καὶ ποτὸν
ὕδωρ· ἐᾶσαι. δὲ αὐτὸν καθαίρεσθαι· συντελεσθείσης δὲ τῆς κενώ-
σεως περὶ τὴν ἑσπέραν λουτρῷ θεραπεύειν, καὶ ἀναλαμβάνειν χόν-
δρῳ διὰ κράματος σΊρυφνοτέρου καὶ ἐλαίαις ἁλμάσιν. Εἰ δὲ εὔτονος 4
τυγχάνει, καὶ τῇ ἑξῆς κάθαρσιν συναπΊέον δευτέραν· δώδεκα δὲ
τοῦ πολταρίου δοτέον οἷα προείρηκα μεγέθει· καὶ τὴν ἀνάληψιν
ποιητέον ὁμοίαν. Παρεθείσης δὲ τῆς καθάρσεως ταύτης, τὴν ἱερὰν 5
δοτέον τὴν διὰ τῆς κολοκυνθίδος, ἔχουσαν βραχὺ σκαμμωνίας ἐν

segment qu'on a détaché et on abandonne les coloquintes à elles-mêmes
pendant une nuit. Le lendemain, après avoir enlevé l'huile, on fait 3
bouillir les coloquintes dans de l'eau jusqu'à ce qu'elles deviennent
tendres; puis on les jette, mais on réunit l'eau à l'huile; on y ajoute
trois oboles d'ellébore noir et une quantité de scammonée qui ne dé-
passe pas une drachme, et qui ne soit pas moindre de quatre oboles;
on fait cuire avec ces ingrédients une bouillie de fleur de farine, et de
cette préparation on donne au malade, qu'on soumet préalablement
à un régime simple, vingt-quatre fois le volume d'une noisette, et de
l'eau pour boisson; puis on laisse la purgation opérer son effet; quand
la purgation est terminée, on administre le soir un bain au malade, et
on le restaure avec de l'alica, pris avec du vin assez fortement astrin-
gent et coupé d'eau, ainsi qu'avec des olives marinées. Si le malade est 4
robuste, on prescrit le lendemain une seconde purgation; cette fois elle
consiste en douze portions de la grandeur que j'ai déterminée plus haut,
et on restaure de la même manière les forces du malade. Si cette pur- 5
gation a été négligée, on administre le purgatif sacré à la coloquinte à la
dose de deux drachmes, pourvu que dans cette dose soit comprise une
petite quantité de scammonée, afin que la purgation agisse avec plus d'ef-

Mai 62-63.
6 ταῖς δυσὶ δραχμαῖς, ὅπως ἡ κένωσις ἐμπρακτοτέρα γίνηται. Δυνα-
τὸν δὲ τὴν μὲν σκαμμωνίαν περιελεῖν, τρισὶ δὲ χρῆσθαι δραχμαῖς
7 τοῦ φαρμάκου. Καθαίρει δὲ ὠφελίμως τοὺς ἐλεφαντιῶντας καὶ ὁ
63 γλυκὺς ὁ ἐννυκτερεύων | τῇ κολοκυνθίδι, καθὼς ἐπὶ τῶν ἰκτερικῶν
8 ὑπεδείξαμεν. Τῆς δυνάμεως δὲ ἀναληφθείσης μετὰ τὰς τοιαύτας κε-
νώσεις διὰ ὑδροποσίας καὶ διαίτης εὐσταλοῦς τῆς ἀπὸ ἰχθύων τε καὶ
πτηνῶν, μετὰ ἡμέρας ὅσον δέκα ἐπὶ τὴν διὰ τοῦ γάλακτος κάθαρσιν
ἐλθετέον, ἥ τις οὐ κενοῖ μόνον, ἀλλὰ καὶ ἐπικίρνησι τὰς ὕλας καὶ
9 ἐπιγλυκαίνει τὰς δριμύτητας. Ἔστω δὲ καὶ μάλιστα μὲν ὄνειον τὸ
10 γάλα· εἰ δὲ μή γε, τὸ αἴγειον. Καὶ καλαμίνθην τὸ ζῷον, εἰ οἷόν τε
εἴη, προσεσιτήσθω, καὶ ἡ σχίσις τοῦ γάλακτος μετὰ τὴν ἕψησιν
διὰ καλαμίνθης ἀποβαπτομένης εἰς ὄξος γεγενήσθω· τὴν γὰρ πρώ-
11 την σχιστῷ χρηστέον τῷ γάλακτι. Διδόσθω δὲ πρὸς δύναμιν μήτε
ἔλασσον τριῶν, μήτε ὑπὲρ τὰς πέντε κοτύλας ἔστω τὸ πλῆθος.
12 Ταῖς δὲ ἐφεξῆς ἡμέραις ἀσχίστῳ τῷ γάλακτι τὴν ἕξιν ἀναθρεπτέον,

6 ficacité. On peut supprimer la scammonée et employer trois drachmes
7 du médicament. Les malades affectés d'éléphantiasis sont aussi purgés
avec succès par le vin d'un goût sucré qu'on a laissé séjourner la nuit
dans une coloquinte, ainsi que nous l'avons dit à propos des malades
8 frappés de jaunisse. Après ces évacuations, on répare les forces en
faisant boire de l'eau et en prescrivant un régime léger composé de
poissons et d'oiseaux; puis on passe, environ dix jours plus tard, à la
purgation par le lait, laquelle n'évacue pas seulement, mais opère aussi
9 un nouveau mélange des matières et adoucit les acrimonies. Que ce soit
surtout le lait d'ânesse qu'on emploie, et, si ce lait fait défaut, celui de
10 chèvre. Nourrissez l'animal, s'il est possible, avec de la *calaminthe*, et
coagulez le lait, après qu'il a bouilli, avec de la *calaminthe* trempée dans
11 du vinaigre; car, le premier jour, on doit se servir de lait coagulé. On
proportionnera la quantité du lait aux forces du malade, et on en don-
nera une quantité qui ne restera pas en deçà de trois cotyles et qui ne
12 dépassera pas cinq. Les jours suivants, on rétablira la nutrition dans l'en-
semble du corps avec du lait non coagulé et d'une température modérée,

7. ἐπὶ . . . . τοῦ] ὀρῷ X. — 15. σχιστῷ νεομελγεῖ X.

διδόντας μὴ ἔλασσον κοτύλης μιᾶς μετὰ τοὺς ἑωθινοὺς περιπάτους
θερμὸν προσηνῶς, ἢ ἅμα τῷ ἀμελχθῆναι τὴν ἰδίαν ἔτι θερμασίαν
ἔχον. Μετὰ δὲ τεσσαρεσκαίδεκα ἡμέρας ἀποστῆναι μὲν προσήκει 13
τοῦ γάλακτος, ἐλθεῖν δὲ ἐπὶ δριμυφαγίαν, ὥστε διακινῆσαι τὴν
σύγκρισιν, καὶ λεπτῦναι τὸ πάχος, εἴ τι ἐγκαθήμενον ὑπάρχοι· διὸ
καὶ συναπτέον δευτέραν καὶ τρίτην δριμυφαγίαν. Τῇ τετάρτῃ δὲ 14
ἀνέδην διαιτηθεῖσιν αὐτοῖς ἔμετον συντακτέον· ὕλη δὲ οἰκεία πρὸς
ἔμετον ὁποία τις πρόσθεν ὑπεδείχθη. Καὶ δεύτερον δὲ ἐκ διαστή- 15
ματος ἀπὸ δείπνου παραληπτέον ἔμετον, καὶ τρίτον, μελέτης τε καὶ
ὠφελείας χάριν, εἶτα τὸν ἀπὸ ῥαφανίδων, καὶ λοιπὸν εὐκολίας πρὸς
τὰς ἀπεράσεις γεγενημένης, ἐπὶ τὸν ἐλλεβορισμὸν ἐλθετέον, ὅσον
μετὰ τέσσαρας, ἢ πέντε ἡμέρας. Καὶ τούτου δὲ ἐντελῶς ὁ τρόπος 16
ἐν ἄλλοις εἴρηται. | Μετὰ τὸ βοήθημα δὲ ἐκ προσαγωγῆς ἡ ἀνάληψις 17
ἐγκρινέσθω, καὶ ῥωσθέντος αὐτάρκως τοῦ σώματος, ἐπιμέλειά τις 64
γινέσθω τῶν μέσων διά τε τοῦ ἀπὸ τῆς ὠμηλύσεως καταπλάσμα-

ou pris au moment même où on le trait, quand il a encore sa chaleur
propre; on n'en prescrira pas moins d'un cotyle, et cela après les pro-
menades du matin. Quatorze jours s'étant écoulés, on cesse l'emploi du 13
lait et on en vient au traitement par les aliments âcres, de manière à
émouvoir les molécules intimes du corps et à atténuer les matières
épaisses, s'il y en avait d'enclavées; pour cette raison on fera suivre aussi
un deuxième et un troisième jour de régime par les aliments âcres. Le 14
quatrième, après avoir laissé les malades manger ce qu'ils veulent, et
comme ils veulent, on leur ordonnera de vomir; or j'ai indiqué plus
haut quelles sont les substances qui favorisent le vomissement. Peu après, 15
on aura recours à un second et à un troisième vomissement après dîner,
tant pour s'exercer qu'en vue du profit qu'on en retire; ensuite on passe
au vomissement avec le raifort, et, du reste, environ quatre ou cinq jours
plus tard, quand on a acquis de la facilité pour vomir, on en viendra à
l'elléborisme. Cette méthode de traitement a été exposée complétement 16
dans un autre endroit. Après le remède, on s'attachera à réparer peu 17
à peu les forces; et, le corps du malade étant suffisamment renforcé, on
consacrera quelques soins aux parties centrales à l'aide du cataplasme

3. τρεῖς ἢ τέσσαρας X.

Mai 64.
τος καὶ κούφων σικυῶν στόματι κοιλίας καὶ σπλάγχνων ἑκατέρωθεν
προσβαλλομένων μετὰ φλογὸς μείζονος καὶ βιαιότερον ἀποσπωμέ-
νων, ἕνεκα τοῦ κινῆσαι τὰς διοικητικὰς τῆς τροφῆς ἐνεργείας, καὶ
περιολκῆς δὲ τῆς ἀπὸ τῶν ἄκρων χάριν· ὅθεν καὶ κατὰ μεταφρέ-
18 νου τὰ αὐτὰ ποιητέον. Μετὰ δὲ τρεῖς ἡμέρας εἰς τὴν αὐτὴν χρείαν
καὶ δρώπακα κολλητέον τοῖς μέσοις, μετὰ δὲ μίαν ἡμέραν καὶ τοῖς
ἄκροις, ἀλλὰ τούτοις μὲν χωρὶς ἀποσπασμοῦ βιαίου πρὸς τὸ μα-
λάξαι μόνον καὶ διαχέαι τὰς ὀχθώδεις ἐπαναστάσεις, τοῖς δὲ μέσοις
19 μετὰ ἀποσπασμοῦ πλέονος. Τῆς δὲ πρώτης περιόδου τῶν βοηθη-
μάτων μέχρι τούτου συντελεσθείσης, ἀνακαμπτέον πάλιν ἐπὶ τὰς
κενώσεις, καὶ τὴν μὲν φλεβοτομίαν παραιτητέον, ἀπὸ δὲ τῆς διὰ
20 κολοκυνθίδος ἱερᾶς τὴν ἀρχὴν τῆς καθάρσεως ποιητέον. Ἡ μὲν οὖν
στοιχειώδης θεραπεία τῆς διαθέσεως τοιαύτη τίς ἐστι, καὶ δὶς καὶ
τρὶς αὐτὴν κατὰ ἕκαστον ἔτος ἐπαναλαμβάνων τις τέλεον ἀπαλλάξει
τοῦ πάθους, ἐκ παραλλήλου ταῖς κενώσεσι τὰς ἀναθρέψεις ποιού-

de farine d'orge non grillée et de ventouses non scarifiées, qu'on appli-
quera des deux côtés sur l'orifice de l'estomac et des viscères, en fai-
sant usage d'une flamme assez considérable et en retirant violemment
les ventouses pour exciter le travail de distribution de la nourriture et
pour opérer une révulsion des extrémités vers le centre : pour cette rai-
18 son on usera du même traitement pour la partie moyenne du dos. Trois
jours plus tard, on appliquera, dans la même intention, un emplâtre de
goudron sur les parties centrales, et un jour plus tard sur les extrémités;
mais, dans ce dernier cas, on ne retirera pas l'emplâtre avec violence;
car, pour les extrémités, on se sert de cet emplâtre uniquement dans le but
de ramollir et de dissoudre les tumeurs bosselées; aux parties centrales
19 on enlèvera l'emplâtre avec plus de violence. Après avoir rempli ce pre-
mier cycle de remèdes, on reviendra de nouveau aux évacuations, mais
on laissera de côté la saignée, et on débutera dans la purgation par
20 l'administration du purgatif sacré à la coloquinte. Tel est à peu près le
traitement de cette maladie, résumé dans ses éléments, et, si on y re-
vient deux ou trois fois chaque année, on délivrera complétement le
malade en employant parallèlement les évacuations et la réparation des
forces, afin que, par les évacuations, tout ce qui est devenu étranger à

μενος, ἵνα διὰ ὧν μὲν ἀποτήκηται πᾶν τὸ ἠλλοτριωμένον, διὰ ὧν
δὲ ἡ σύγκρισις νεοπλασ7εῖ σαρκὶ κατασκευάζηται καινοτέρα. Φάρ- 21
μακα δὲ πρὸς τὸ πάθος, εἴ τις ἀποκνοίη χρῆσθαι τοῖς προειρημέ-
νοις κύκλοις, ἔσ7ιν οὐκ ὀλίγα, καὶ σφόδρα γε πρακτικά· τούτων
δέ τινα μὲν δύσποτα καθέσ7ηκε, τινὰ δὲ ληφθέντα πεφθῆναι ῥᾴδια·
πάντα δὲ ἐνδελεχισμῷ περιγίνεται τῆς θεραπείας. Ὄξους τοίνυν 22
αἰγυπ7ίου, ἢ ἄλλου ὡς δριμυτάτου, κύαθος εἷς, καὶ κράμβης τῶν
φύλλων κεκομμένων καὶ ἀποτεθλιμμένων τοῦ χυλοῦ κύαθοι δύο
συγκιρνάμενα εἰς ἓν ἕωθεν δίδοται τῷ πάσχοντι πιεῖν, εἶτα πρὸς
ἑσπέραν ἄρτος μάλισ7α μὲν κρίθινος· εἰ δὲ μὴ, πύρινος συγκομι-
σ7ός. Συνεισφέρεται δὲ ἐπὶ αὐτῷ τι τῶν κουφο|τέρων π7ηνῶν, καὶ 23 65
παρὰ ἡμέρας δύο, ἢ τρεῖς τὰς πλείσ7ας, τὸ αὐτὸ γίνεται μέχρι
πολλοῦ, καὶ θεραπεύονται. Τῆς δὲ κράμβης αὐτῆς τοῦ ἀφεψήματος 24
κύαθοι τρεῖς κατὰ ἑκάσ7ην ἡμέραν πινόμενοι καλῶς ὠφελοῦσι,
καὶ ταῖς τε μέσαις μετὰ τὸ προειρημένον ἐπάνω φάρμακον τῇ

l'économie soit fondu, et que, par la réparation, on transforme la struc-
ture intime du corps en renouvelant la chair. Si quelqu'un éprouvait de 21
la répugnance à recourir aux cycles que nous venons de décrire, il
existe contre la maladie un assez grand nombre de médicaments très-
efficaces; mais quelques-uns de ces médicaments sont difficiles à boire;
d'autres se digèrent facilement quand on les a pris; cependant on ne vient
à bout de la guérison que par la persistance qu'on met dans leur em-
ploi. Prenez donc un cyathe de vinaigre d'Égypte ou de quelque autre 22
espèce aussi âcre que possible, et deux cyathes de suc de feuilles de
chou pilées et exprimées; mêlant ces ingrédients, on les administre le
matin à boire au malade; ensuite, vers le soir, on lui prescrit de préfé-
rence du pain d'orge, ou, à son défaut, du pain de ménage fait avec du
froment. Après ce pain on donne à manger quelque oiseau d'une espèce 23
assez légère, et on continue pendant longtemps les mêmes prescriptions
deux jours de suite ou trois au plus, [en laissant des jours d'intervalle;]
les malades guérissent. Trois cyathes de la décoction de chou prise 24
chaque jour produisent un effet avantageux, et il faut employer cons-
tamment cette potion les jours qui ne sont pas occupés par la médica-

9. πρός Aët.; om. RX Paul.

Mai 65.
25 πόσει ταύτῃ συνεχῶς χρηστέον. Ἀντίδοτός τε ἡ διὰ τῶν ἐχιδνῶν
συνεχῶς καὶ ἐπὶ μήκιστον λαμβανομένη πολλῶν ἐξέκοψε τὴν διά-
θεσιν, αὐταί τε αἱ ἐχίδναι ἐσθιόμεναι· οὐ γὰρ ἄβρωτοι τυγχάνουσι
σκευασθεῖσαί τινα τρόπον, ὥστε καὶ ἄλλως λοπαδεύοντες ἐσθίουσιν
26 ἔνιοι τῶν ἐπὶ ἐρημίας βιούντων. Ἱστοροῦσι δέ τινες καὶ ῥίνημα
ἐλέφαντος ἁρμόζειν πρὸς τὴν διάθεσιν· διδόασι δὲ δραχμὴν α'
27 ἐν μελικράτῳ κυάθους τρεῖς. Τὸ δὲ τῆς ἐλάφου κέρας καιόμενον
καὶ διδόμενον ὡσαύτως ἐπὶ πλεῖστον ἔγνωμεν ἁρμόζον, καὶ τῆς
σιδηρίτιδος βοτάνης τῶν φύλλων ξηρῶν τὸν ἴσον σταθμὸν ὡσαύ-
τως διδόμενον, καὶ τῆς τριφύλλου πόας, καὶ μάλιστα τῆς ἀσφαλτί-
τιδος, δραχμὴν α', οὐχ ὡσαύτως δὲ πινόμενον, ἀλλὰ δεῖ ποιῆσαι
κυάθους τρεῖς, τὸν μὲν ἕνα μέλιτος, τὸν δὲ οἴνου βελτίστου, τὸν δὲ
28 ὄξους σκιλλίνου καὶ μίξαντα τὴν βοτάνην προσφέρειν. Καὶ κατὰ
ἰδίαν δὲ τὸ σκίλλινον διδόμενον αὐτοῖς κατὰ ἡμέραν μετὰ τοὺς ἑω-

25 tion dont nous avons parlé. L'antidote aux vipères, pris constamment
et pendant un temps très-long, a aussi triomphé de la maladie chez
beaucoup d'individus, et on guérit également, si on mange les vipères
elles-mêmes, car ces animaux peuvent être mangés, pourvu qu'on les
prépare d'une certaine manière, et, parmi les hommes qui vivent dans
la solitude, il y en a quelques-uns qui les mangent, même sans être ma-
26 lades, en les préparant sur le plat. On raconte que la raclure d'ivoire
convient aussi contre l'éléphantiasis; on en donne une drachme dans
27 trois cyathes d'eau miellée. Nous avons reconnu que la corne de cerf
brûlée et qu'un poids égal de feuilles desséchées de l'herbe dite *sidéritis*,
administrés de la même façon, étaient des remèdes souverains; c'est
encore un remède souverain que l'herbe dite *trèfle*, et surtout que le
trèfle bitumineux, à la dose d'une drachme; seulement on ne boit pas
cette préparation de la même manière, mais il faut avoir trois cyathes,
un de miel, un de vin de qualité tout à fait supérieure, et un de vinaigre
28 scillitique; on y met l'herbe et on l'administre. Si on donne chaque jour
l'acide scillitique seul aux malades après les promenades du matin, ce

5. βιούντων. Καὶ θηριακῶν δὴ καλουμένων ἀρτίσκων δραχμὴ α' λειοτριβηθεῖσα ζεννύσθω δὶς ἢ τρὶς ἐν οἴνῳ καλῷ ἀκράτῳ κυάθῳ ἑνὶ καὶ οὕτω προσφερέσθω. Ἱστοροῦσι R. — 12. τρεῖς] εἴκοσι R 2ª m.

Mai 65-66.
θινοὺς περιπάτους ἄκρως ποιεῖ· τὸ πλῆθος δὲ ἔστω κυ. α'. Ἔνιοι δὲ 29
τοὺς ὄνους τοὺς ὑπὸ ταῖς ὑδρίαις λεγομένους πέντε ἢ ἓξ λεάναντες
ἐν μελικράτῳ κυάθοις τρισὶ διδόασιν αὐτοῖς· ἁρμόσαι δὲ ἂν τὸ
τοιοῦτον πρὸς τὰς δυσπνοίας μᾶλλον τὰς συμβαινούσας τοῖς ἤδη
κεκρατημένοις ὑπὸ τοῦ πάθους· καὶ γὰρ ἐνίοις τῶν ἀσθματικῶν
ἄκρως βοηθεῖ. Τοῦτο δὲ τῆς σκίλλης σπέρματος ὀβολὸν ἐπιδοτέον 30
τοῖς ἐλεφαντιῶσιν ἐν μέλιτι ἡμιέφθῳ κυάθῳ ἑνί· ἐσκευάσθω δὲ
τρόπῳ ἐκλείγματος. Ὡσαύτως δὲ καὶ αἰθιοπικοῦ κυμίνου δραχμαὶ γ' 31
|μέλιτι συγκαταπλεκόμεναι. Διδόσθω καὶ ὀποῦ κυρηναϊκοῦ μέγεθος 66 32
ὀροβιαῖον βουτύρῳ καὶ μέλιτι διειμένον. [Ἡ δὲ δίαιτα ἔστω τοιαύτη· 33
ἀπὸ τῶν ὕπνων ψηλαφάσθω, εἶτα τῆς κοιλίας ἀποπειράσθω· καὶ
περιπατείτω ὕπαιθρος, ἢ ἐν στοᾷ, ὑποδεδεμένος μαλθακὴν ὑπόδησιν
ἕως σταδίων τριάκοντα, εἶτα αἰωρισθεὶς τινι αἰώρᾳ πάλιν περιπα-
τείτω συντόνῳ βαδίσματι χρώμενος ὡς δέκα σταδίους, διαστήσας

médicament agit très-efficacement; la quantité doit être d'un cyathe.
Quelques-uns triturent cinq ou six des animaux qu'on nomme mille- 29
pieds et qu'on trouve sous les seaux, dans trois cyathes d'eau miellée et
les donnent aux malades; un pareil médicament conviendra surtout
contre les embarras de la respiration qu'éprouvent ceux qui sont déjà
subjugués par la maladie; car il agit éminemment bien aussi chez quel-
ques asthmatiques. On donne ensuite aux malades, sous forme d'éclegme, 30
une obole de graine de scille dans un cyathe de miel à moitié cuit, at-
tendu que la scille agit quelquefois énergiquement contre l'asthme. Trois 31
drachmes de cumin d'Éthiopie, unies au miel, sont également efficaces.
On donne encore avec succès, gros comme une graine d'ers, du suc de 32
Cyrène délayé dans du beurre et du miel. Voici quel doit être le ré- 33
gime : après le sommeil on se fera chatouiller, ensuite on tâchera d'aller à la selle et on fera une promenade au grand air, ou sous une colonnade, chaussé de chaussures molles, promenade qui se prolongera jusqu'à trente stades environ; puis, après s'être livré à quelque mouvement passif, on fera une nouvelle promenade de la longueur d'environ dix stades, et dans laquelle on se livrera à une marche forcée; après un

2. ὑδρείαις R. — 5. πλῆθους R. — 6. σπέρμ.] πεπλυμένης Paul. — 9. Διδόσθω α' R. — 10-p. 73, l. 1. Ἡ δὲ... ἀναφωνείτω e X Aët. Paul.; om. R.

Mai 66.
34 δὲ ἐπὶ ἡσυχίας, ἢ τινος βιωτικῆς πράξεως ἀναφωνείτω.] Φαρμά-
κου δὲ καιρός ἐστιν, εἰ πρὸς τὴν διάθεσιν δοκιμάζοιτό τι τῶν εἰρη-
35 μένων, ὁ μετὰ τοὺς ἑωθινοὺς περιπάτους. Ἀπὸ δὲ τῆς ἀναφωνήσεως
36 διαστήσαντες ἐπὶ τὰ γυμνάσια καὶ τὴν τρίψιν ἀπίτωσαν. Ἡγείσθω
δὲ τούτων ὁ ἐν ἀναβολῇ καλπασμὸς, ἢ καὶ δρόμος· ἔπειτα ἀναρπασθείσης τῆς νοτίδος, εἴ τις ἐπηνθηκυῖα διὰ τὸν σάλον ὑπάρχοι, λίπει χριέσθωσαν ἀρκείῳ, ἢ ἀλωπεκείῳ· τρίτην δὲ ἔχει χώραν λεόντειόν τε καὶ ταύρειον· εἰ δὲ μηδὲν τούτων παρείη, τῶν πτηνῶν τινὸς, ἢ βουτύρῳ προσφάτῳ· καίτοι γε Θεμίσων πᾶν ἄλειμμα πολεμιώτατον τοῖς ἐλεφαντιῶσιν εἶναί φησι, λόγῳ καὶ οὐχὶ τῇ πείρᾳ προσεσχηκώς· μαλάσσεται μὲν γὰρ ὑπὸ τῶν ἀλειμμάτων ἡ σύγκρισις· αὐχμηρὰ δὲ μένουσα καὶ περίξηρος ῥήγνυται ῥᾳδίως· ὥστε τοὺς κατὰ τῆς ἐπιφανείας ὄχθους δυσαλθῶς ἑλκοῦσθαι παρὰ
37 τὴν αἰτίαν ταύτην συμβαίνει. Τά τε οὖν γυμνάσια καὶ ἡ τρίψις ἐν

intervalle consacré au repos, ou à quelque occupation professionnelle,
34 on déclamera. Si on a jugé devoir employer contre la maladie quelques-
uns des médicaments énumérés plus haut, le temps opportun pour les
35 administrer est celui qui vient après les promenades du matin. Après la
déclamation on attendra quelque temps, et on passera aux exercices et
36 à la friction. Pour les exercices, on débutera, étant revêtu d'un manteau, soit par le *calpasme* (Pausanias, V, IX), soit par la course; puis, quand la transpiration que les secousses auraient fait sortir a été enlevée, on fait des onctions avec de la graisse d'ours ou de renard (la graisse de lion ou de taureau occupe le troisième rang); ou, à défaut de ces graisses, avec celle de quelque oiseau, ou avec du beurre frais, bien que Thémison prétende que toute onction est éminemment nuisible aux malades affectés d'éléphantiasis; mais, sur ce point, il s'en rapporte plutôt au raisonnement qu'à l'expérience: en effet, par les onguents, la structure intime du corps se ramollit; si, au contraire, elle reste aride et extrêmement sèche, elle se désagrége facilement, d'où il résulte que, pour cette raison, les bosselures de la surface du corps se couvrent d'ulcères diffi-
37 ciles à guérir. Les exercices et la friction doivent donc être combinés

5. καλπάσας ὑπ' ἀναβολέω X. — 6. ἢ τις ἀπενθηκυῖα vel ἀπειθηκυῖα R. — Ib. εἰ ὑπάρχοι R. — 7. χριέσθω X. — 8. λεόντειόν] αἴγειόν X.

τινι λίπει τῶν προειρημένων ἐπιτελείσθω, καὶ τὸ πλέον μὲν ἅφαλ-
σις ἔστω καὶ τῶν σκελῶν ἀνάτασις καὶ βολαὶ χειρῶν πρὸς κώρυ-
κον, ἢ καὶ διακρατουμένων ἁλτηρίων· ἤδη δὲ καὶ πάλη τις παι-
διώδης πρὸς ἀσθενέστερόν τε καὶ ἔμπειρον. Μετὰ δὲ τὰ γυμνάσια 38
τήλεως αὐτοῖς ἀφέψημα περιχείσθω, ἢ χυλὸς πτισάνης ἀμμωνια-
κοῦ βραχὺ συντετηκότος ἔχων· ὄξει δὲ τὸ ἀμμωνιακὸν λελυμένον
τῷ χυλῷ παραπλεκέσθω. Καὶ τοῦτον τὸν τρόπον ἀπολυέσθωσαν εἰς 39
τὸ βαλανεῖον· ἐπιβλαβεῖς γὰρ αἱ ἀλουσίαι. Καὶ βέλτιον μὲν ξηραῖς 40
χρῆσθαι πυρίαις αὐτοφυέσιν, εἰ παρείησαν· εἰ δὲ μὴ, ἐπιτεχνη-
ταῖς· ὕστερον δὲ καὶ ὕδασι θει|ώδεσιν, ἢ στυπτηριώδεσι ψυχροῖς, 67
οἷά ἐστι τὰ τῆς Ἰταλίας Ἄλβουλα, καὶ τὰ Νεπίσινα, καὶ τὰ ἐν Μα-
κεδονίᾳ, καὶ τὰ ἐν Κρήτῃ, καὶ ἐπὶ Θρᾴκης τὰ ἐν Ἀγχιαλῷ καὶ
ἄλλοις τόποις· εἰκὸς γὰρ εἶναι πολλὰ τοιουτότροπα. Τὰ δὲ Ἄλβουλα 41
καὶ πινόμενα θαυμαστῶς ὠφελεῖ τοὺς ἐλεφαντιῶντας. Εἰ δὲ μὴ 42

avec l'emploi de quelques-unes des substances grasses énumérées plus
haut, et ces exercices consisteront surtout à sauter de haut en bas, à
soulever les jambes, enfin à balancer les bras, soit en frappant le cory-
cos, soit en tenant dans ses mains des haltères; on pourra aussi lutter,
comme font les enfants, contre un adversaire plus faible, ou habile
dans la gymnastique. Après les exercices, on fera des affusions avec 38
une décoction de fenugrec, ou de la crème de ptisane qui devra con-
tenir un peu de gomme ammoniaque fondue; on dissoudra cette gomme
dans du vinaigre pour la combiner au liquide destiné à l'affusion. Après 39
cela on enverra les malades au bain; car la privation des bains leur est
nuisible. Le meilleur est de recourir aux étuves sèches naturelles (*fuma-* 40
roles), si on en a à sa disposition; dans le cas contraire, aux étuves artifi-
cielles, et plus tard aussi aux eaux sulfureuses, ou alumineuses froides:
telles sont, en Italie, les sources d'Albula et de Népète, les sources de
Macédoine et de Crète, et, dans la Thrace, celles d'Anchialus et d'autres
encore; car il est probable qu'il en existe un grand nombre de cette es-
pèce. Les eaux d'Albula soulagent merveilleusement aussi les malades 41
affectés d'éléphantiasis, quand on les administre sous forme de boisson.
Si on n'a pas de sources froides à sa disposition, on aura recours aux 42

2. ἀνάστασις R.

Mai 67. παρείη ψυχρὰ, θερμοῖς αὐτοφυέσι χρηστέον· ἢ μετὰ τὰ κοινὰ βα-
43 λανεῖα θαλάσσῃ ἐννηχέσθωσαν, ἢ καταχείσθωσαν. Λυσιτελέστατον
δὲ καὶ τῷ ἀφεψήματι περιαντλεῖσθαι περδικίου, ἢ ἀρνογλώσσου,
44 ἢ σεύτλου. Περιμαξάμενοι γοῦν ἀπὸ οὑτινοσοῦν τῶν προειρημένων
45 λουτρῶν, ἐπαλειφέσθωσαν σχινίνῳ, ἢ οἰνανθίνῳ. Σπουδαιότατον δὲ
ἄλειμμα καὶ τὸ διὰ βουτύρου καὶ τὸ διὰ μυρσινίνου καὶ οἴνου ἴσον
καὶ ᾠοῦ εἰς γλοιοῦ πάχος πεπονημένον· τῷ δὲ οἴνῳ βραχὺ παρα-
46 πεπλέχθω ἀμμωνιακοῦ, ἢ στυπτηρίας στρογγύλης. Καταψυχθέν-
τες δὲ πρᾴως ἀπὸ τῶν συγχρισμάτων ῥάκεσι τρυφεροῖς, ὥστε μὴ
τραχυνθῆναι τὴν ἐπιφάνειαν ἀπὸ τῶν ὠμολίνων, ἡσυχίᾳ μακροτέρᾳ
παραδιδόσθωσαν· ἔπειτα προπινέτωσαν ὕδωρ εἰς τὸ ἀποκλύσαι τὸν
στόμαχον· καὶ εἰ τοῦτο ἐπιπολάζοι, καθέσει δακτύλων ἀποῤῥίψον-
47 τες τὸ ποθέν. Συναποπτύεται δὲ αὐτῷ πολλάκις χολίον, καὶ πάν-
48 τως γοῦν φλέγμα ἀφρῶδες ὑπόδριμυ πικρόν. Λαμϐανέτωσαν δὲ

sources minérales chaudes; ou bien, après avoir fait prendre un bain
ordinaire aux malades, on leur ordonnera de nager dans l'eau de mer,
43 ou de se faire faire des affusions avec cette eau. Il est très-avantageux
aussi de pratiquer des affusions avec une décoction de pariétaire de
44 Judée, de plantain ou de bette. Mais, quelle que soit l'espèce de bains
qu'on aura mise en usage, à la suite du bain on devra faire sur les
malades, après qu'ils se sont essuyés, des onctions avec l'huile au len-
45 tisque, ou l'huile aux fleurs de vigne. L'onguent qui se compose de
parties égales de beurre ou d'huile aux feuilles de myrte et de vin, et,
de plus, d'un œuf, onguent auquel on donne l'épaisseur de la crasse des
baignoires, est aussi un excellent médicament; on ajoutera au vin un
46 peu de gomme ammoniaque ou d'alun rond. Après l'emploi de ces on-
guents, les malades, doucement séchés avec un vieux linge fin, de ma-
nière à ne pas irriter la surface de leur corps par l'effet de la toile écrue,
seront abandonnés à un repos assez prolongé; ensuite ils boiront
avant le repas de l'eau pour laver l'orifice de l'estomac, et, si cette eau
remonte à la surface, ils devront rejeter ce qu'ils auront bu, en enfon-
47 çant les doigts dans la gorge. Souvent on rejette avec cette eau une pe-
tite quantité de bile, et toujours, du moins, de la pituite écumeuse, amère
48 et légèrement âcre. Les malades prendront du vin à l'absinthe ou à

ἀψινθίτου κεκραμένου, ἢ ὀριγανίτου συμμέτρου κύλικος μὴ πλέον,
καὶ σύμμετρον ἐπιδιαστήσαντες προσφερέσθωσαν τὴν τροφὴν, οἴ-
νου τε λοιπὸν ἀπεχόμενοι γλυκέος καὶ οἰνομέλιτος καὶ παντὸς τοῦ
ἐγκαθίζειν καὶ δυσχερῶς ἐξοικονομεῖσθαι πεφυκότος· διὸ καὶ ψυ-
χροποσίας ἀποσχετέον αὐτούς· ἀντιπίπτει γὰρ ταῖς πέψεσιν. Αἱ 49
τροφαὶ δὲ ἐν μὲν τοῖς τῶν καθάρσεων καιροῖς εὐέκκριτοι παραλαμ-
βανέσθωσαν, ὅπως μὴ ἐξ ἀποκοπῆς ἐπίσχεσιν αἱ ὗλαι λαμβάνωσιν,
ἀλλὰ ἐκκριθῇ πᾶν τὸ ἐφθακὸς μεταβεβληκέναι ὑπὸ τῆς φαρμα-
κείας. Ἄρτος μὲν οὖν κρίθινος, ἢ συγκομιστὸς, ἢ μᾶζα ἐξ ἀλφίτων 50
εὖ κατωπτημένων, | ἐπιτήδειος· λαχάνων δὲ σεῦτλον, καὶ ῥαφανὶς 68
ἑφθὴ, καὶ κεφαλωτὸν πράσον δυσὶν ὕδασιν ἀπογλυκανθὲν, καὶ
κράμβη κάθεφθος, θριδακίνη τε ἐξ ἅλμης, καὶ κάππαρις ἡ ἐξηνθη-
κυῖα σελίνῳ καὶ μαράθρῳ καὶ ὄξει τμητικωτέρῳ ἡδυσμένη· τῶν δὲ
ἐκ θαλάσσης ὄστρεα, καὶ κτένες, ἐχῖνοί τε καὶ πελωρίδες καὶ τελ-
λῖναι σεύτλοις συνηψημέναι· καὶ γὰρ ἰδιαίτερον ὁ ζωμὸς αὐτῶν

l'origan et trempé d'eau; la quantité ne dépassera pas celle d'une coupe de grandeur moyenne; puis, après quelque intervalle, ils prendront leur repas, en s'abstenant, du reste, de vin d'un goût sucré, de vin miellé et de tout ce qui est de nature à séjourner ou à être difficilement éliminé : pour cette raison on évitera aussi de boire de l'eau froide, car c'est un
obstacle pour la digestion. Durant l'époque des purgations, on pren- 49
dra des aliments qui passent facilement par les excrétions, afin que les matériaux ne soient pas retenus par suite d'interception des voies, et que tout ce qui a été préalablement transformé par l'action du médica-
ment purgatif soit évacué. Aussi le pain d'orge, le pain de ménage ou 50
la maza préparée avec de l'alphiton bien grillé seront des mets convenables; il en est de même, pour les légumes, de la bette, du raifort bouilli, des oignons de poireau deux fois adoucis par l'ébullition dans l'eau, du chou fortement bouilli, de la laitue prise avec de l'eau salée, des câpres cueillies après la floraison et assaisonnées avec de l'ache, du fenouil et du vinaigre assez fortement incisif; en fait d'aliments tirés de la mer, les huîtres, les peignes, les oursins, les *pélorides* et les *tellines*, bouillis avec de la bette, ont la même propriété; car le bouillon de ces

9. ἢ πυρινὸς συγκ. X. — 10. ῥάφανος R. — 12-13. γρ. ἡ ἐξηθενηκ. R marg.

Mai 68.
51 χρησίμως τὰς ἐκκρίσεις κινεῖ. Νῦν δὲ καὶ τάριχος ἐπιτήδειος πα-
52 λαιότερος. Ἐν δὲ τοῖς τῶν ἐπικράσεων καιροῖς καὶ τῶν μετὰ τὰς καθάρσεις ἀναλήψεων πᾶν μὲν τὸ μετέχον δριμύτητος περιαιρετέον δίχα τῶν εἰς τὰς ἀρτύσεις καὶ τὰς συμμέτρους εὐστομίας ἐπιτηδείων· τὸ δὲ ποσῶς ἐπιγλυκαῖνον παραληπτέον, καθάπερ ᾠὰ καὶ χόνδρους πλυτοὺς καὶ γάλα καὶ μέλι σὺν ἄρτῳ καὶ μαλάχην καὶ λάπαθον καὶ σίσαρον, καὶ τῶν ἐν θαλάσσῃ φυκίδας, κίχλας, βούγλωσσα, νάρκας, καὶ τὰ πλεῖστα τῶν πτηνῶν, ὅσα μὴ τὰς διατριβὰς ἐν ὕδασι ποιεῖται, κρεῶν δὲ ἐρίφεια καὶ λάγεια καὶ δορκάδεια, ὀπώρας δὲ σῦκον εὐγενὲς, καὶ σταφυλὴν συμπεπτωκυῖαν ποσῶς καὶ σταφίδα τὴν λιπαρωτέραν, μελιτωμάτων δὲ κοπτὴν διὰ στροβίλων
53 καὶ ἀμυγδάλων φρυκτῶν καὶ ἀλεύρου κικίνου πεποιημένην. Τῷ τε ἄρτῳ κατὰ αὐτὴν τὴν δίαιταν χρηστέον ἐκ τῶν βελτίστων πυρῶν,
54 καθαρῶν μὲν ἄκρως, ἐγχύλως δὲ ὠπτημένων. Καὶ τοιαῦτα μὲν τὰ ἐν τῇ προσφορᾷ· τὰ πλεῖστα δὲ τῶν λοιπῶν ἀποδοκιμαστέον χω-

51 animaux a plus spécialement la vertu de favoriser les excrétions. Dans
52 cette circonstance, une salaison assez vieille convient aussi. Aux époques du renouvellement du mélange des éléments du corps et à celles de la réparation des forces après les purgations, on supprime tout ce qui a quelque chose de piquant, à l'exception des substances données comme assaisonnement ou qui flattent un peu le goût, et on prend ce qui a une certaine propriété adoucissante : tels sont les œufs, l'alica lavé, le lait, le miel uni au pain, la mauve, la patience et le chervis; en fait d'animaux marins, les boulereaux, les tourdes, les soles et les torpilles; la plupart des oiseaux, à l'exception de ceux qui passent leur vie dans l'eau; la viande de chevreau, de lièvre et d'antilope; comme fruits d'arrière-saison, les bonnes figues, les raisins déjà légèrement affaissés, les raisins secs plus ou moins onctueux, et, parmi les fritures au miel, un gâteau pilé fait avec des pignons doux, des amandes grillées et de la farine de
53 ricin. Durant le régime, on se servira de pain fait avec le meilleur froment possible, pourvu qu'il soit parfaitement pur et qu'on le cuise de façon
54 à ce qu'il conserve du liquide. Voilà quels doivent être les aliments; on repoussera la plupart des autres, à l'exception de ceux qui ont quelque

4. γρ. εὐσταθμίας R marg.

Mai 68-69.

ρὶς τῶν ἐμφέρειάν τινα ἐχόντων πρὸς τὰ κατηριθμημένα. Τὸ δὲ 55
δὶς σιτεῖσθαι μονοσιτίας αἱρετώτερον· ἔστω δὲ τὸ μὲν ἄριστον καὶ
τῷ πλήθει εὐσταλὲς καὶ ταῖς ποιότησιν ἀποίκιλον· ἢ γὰρ ξηρὸς
ἄρτος ὀλίγος, ἢ ἕν τι μετὰ αὐτοῦ προσέψημα· τὸ δεῖπνον δὲ καὶ
ἐκτενέστερον καὶ ποικιλώτερον. Οἶνος δὲ κατὰ μὲν τὴν λοιπὴν | θε- 56 69
ραπείαν ἄθετος· ἐν δὲ ταῖς ἀναλήψεσιν ὀλίγος λεπτὸς εὐώδης λευ-
κὸς μετὰ τὰ σιτία παραλαμβανέσθω. Ὕπνος δὲ ὁ μετὰ ἡμέραν ἀνε- 57
πιτήδειος, καὶ μάλιστα ὁ ἐν φωτί· νυκτερινὸς δὲ ἀπερίσπαστος ἐπι-
τηδευέσθω, καὶ μετὰ πολὺ τοῦ δείπνου διάστημα. Τοιοῦτος μὲν οὖν 58
ὁ τύπος τῆς διαίτης ἔν τε ποιουμένοις καὶ προσφερομένοις· λοιπὸν
δὲ ἐπὶ τὰ ἔξωθεν προσπίπτοντα μεταβάντες, ὅσα συγχρίσματα καὶ
σμήγματα κατάλληλα τῷ πάθει λέγωμεν. Ἐν αὐτῷ οὖν τῷ βαλα- 59
νείῳ σμηχέσθωσαν ἀφεψήματι τήλεως καὶ σευτλίων, ἀφροῦ νίτρου
[συμ]πεπλεγμένου, ἢ τῷ γερμανικῷ σμήγματι, καλεῖται δὲ σάπων·
ἢ τῷ μυροβαλάνῳ· πρὸ δὲ τοῦ λουτροῦ ψίλωθρον καταχριέσθωσαν,

ressemblance avec les mets que nous venons d'énumérer. Il vaut mieux 55
prendre deux repas par jour que de manger une fois seulement; mais
le déjeuner devra être léger, sous le rapport de la quantité, et peu varié
sous celui de la qualité : il consistera donc en un peu de pain sec, ou
bien on y ajoutera un plat bouilli; le dîner, au contraire, sera plus long
et plus varié. Durant tout le traitement, le vin doit être proscrit, sauf à 56
l'époque de la réparation des forces; alors on prendra, après le repas, une
petite quantité de vin odoriférant, blanc et ténu. Le sommeil diurne ne 57
convient pas, surtout celui qu'on prend sans se mettre dans l'obscurité;
pour la nuit, on devra ménager aux malades un sommeil sans interrup-
tion et laisser un long intervalle entre ce sommeil et le dîner. Tel est 58
le type du régime, tant pour les choses qu'on doit faire que pour les
substances qu'on prend à l'intérieur; passant aux influences qui agissent
extérieurement, il nous reste à énumérer les onguents et les détersifs
qui conviennent contre la maladie. Dans le bain, les malades se déter- 59
geront avec une décoction de fenugrec ou de bette, combinée à l'écume
de soude brute, ou avec le détersif germanique qu'on appelle *savon*, ou
avec le gland d'Égypte; mais, avant le bain, ils se frotteront avec un

5. ἐντελέστερον X. — Ib. κοινήν R inter l. — 14. πεπλεγμένου R.

Mai 69.
60 ἤτοι κατὰ ἰδίαν, ἢ μετὰ χυλοῦ πτισάνης. Φυλάσσεσθαι δὲ δεῖ τὴν
εἰς τὰ ὄμματα κατάῤῥυσιν, ἐπεὶ καὶ τὸ πρόσωπον ἀνάγκη κατα-
χρίειν, πλεῖον ὑπὸ τοῦ πάθους ἤπερ τὰ λοιπὰ μέρη τοῦ σώματος
61 ἐπηρεαζόμενον. Καὶ ἐπιμένειν μὲν τῷ χρίσματι πλείονα προσήκει
χρόνον, μὴ μέντοι μέχρις ἑλκώσεως· τὰ φθάσαντα δὲ ἀποδέρεσθαι
62 λιθαργύρῳ μετὰ ῥοδίνου γλοιώδει θεραπεύειν. Ἱκανῶς δὲ αὐτῶν
ἀποκαθαίρει τοὺς χρῶτας καὶ ἀνδράχνη μετὰ ὄξους λειωθεῖσα, καὶ
63 τὸ λεπτὸν ἀείζωον, καὶ λαπάθου ῥίζα ἑψηθεῖσα ἐν ὄξει. Καὶ στυπτη-
ρία μετὰ ἁλῶν καὶ σανδαράχης ἴσον σὺν οἴνῳ καὶ σχινίνῳ λελειο-
τριβημένον σπουδαίως ἀποσμήχει, καὶ τὸ πρὸς ἀλφοὺς φάρμακον·
ἔστι δὲ ἀλκυόνιον, καὶ νίτρον, καὶ θεῖον ἄπυρον, καὶ μυῤῥίνη, καὶ
64 συκῆς φύλλα ἀγρίας. Πάντα δὲ ὁμοῦ διὰ ὄξους γλοιοῦ πάχος ποιού-
65 μενα καταχρίεται. Θαυμαστὸν δὲ φάρμακον καὶ τοῦτό ἐστιν· λα-
πάθου τῶν ῥιζῶν, καὶ ὀξυλαπάθου δεσμίδιον χειρόπληθες, νίτρου

60 épilatoire, soit seul, soit combiné avec la crème de ptisane. Comme il
est nécessaire d'oindre aussi la face, qui est plus gravement compromise
par la maladie que les autres parties du corps, on prendra garde que
61 le médicament ne coule dans les yeux. On insistera assez longtemps sur
l'emploi des onguents, mais on n'ira pas jusqu'à ce qu'il se produise de
l'ulcération, et on traitera les parties qui se seront excoriées avec de la
litharge à laquelle on donne la consistance de la crasse des baignoires,
62 en la combinant avec l'huile aux roses. Le pourpier trituré avec du vi-
naigre, la petite joubarbe et la racine de patience bouillies dans du
63 vinaigre, suffisent pour détacher les pellicules. L'alun combiné au sel,
et une quantité égale de réalgar, réduit en poudre impalbable par la tri-
turation avec du vin et de l'huile au lentisque, détergent aussi efficace-
ment; il en est de même du médicament contre l'*alphos*, qui se compose
d'alcyonium, de soude brute, de soufre natif, de feuilles de myrte et
64 de feuilles de figuier sauvage. En les traitant par le vinaigre, on donne
à tous ces ingrédients réunis la consistance de la crasse des baignoires,
65 et on emploie le médicament comme onguent. C'est encore un médi-
cament admirable que le suivant : racines de patience cultivée et
de patience sauvage en bottes une poignée ; soude brute, quarante

8. Καί] Χρηστέον καί R. — 9-10. λελειοτριβημένων R.

Mai 69-70.

δραχμαὶ μʹ, θείου ἀπύρου δραχμαὶ κεʹ, λιβάνου δραχμαὶ ιεʹ, κόστου
δραχμαὶ ιβʹ. Τὰ ξηρὰ λεαίνεται μετὰ ὄξους αἰγυπτίου καὶ κατα- 66
χρίεται. | Πρακτικὸν δὲ ἐπίχρισμα καὶ τὸ τοιοῦτο· ἀρσενικοῦ ∠ ιδʹ, 67 70
θείου ἀπύρου ∠ ηʹ, καστορίου ∠ ιβʹ, δαφνίδων ξηρῶν [∠] ιβʹ,
ἀσβέστου ∠ δʹ, κεδρίας δραχμὴ αʹ. Ταῦτα πάντα φυρᾶται λεύκης 68
τῶν φύλλων χυλίσματι, ἢ τῷ ἀφεψήματι παχεῖ καὶ σύστασιν ἔχοντι
μέλιτος, [καὶ] παραλαμβάνεται. Καταχρίεται καὶ ἡ τεκτονικὴ κόλλα 69
διαλυθεῖσα ἐν ὄξει, καὶ μετὰ τὸ παγῆναι ἀφαιρεῖται, καὶ δὶς καὶ
τρὶς καὶ πλειστάκις τὸ αὐτὸ δεῖ ποιεῖν. Σκευάζεται δὲ καὶ ὑπὸ ἡμῶν 70
φάρμακον ἄκρως ἐπὶ πάντων ἡρμοκὸς τοιοῦτο· ῥιζῶν λαπάθου δε-
σμίδια δύο καθέψονται ἐν ὄξει, ἔπειτα ὀλμοκοποῦνται· μετὰ τοῦτο
δὲ ἐν θυίᾳ λειοτριβοῦνται, παραχεομένου ὄξους, ἢ ἐν ᾧ ἡψήθησαν,
εἴ τι περισσὸν εἴη, ἢ ἑτέρου, καὶ προσεμβάλλονται ἀλκυονίου λίτρα αʹ,
θείου ἀπύρου οὐγγίας ϛʹ, χαμαιλέοντος μέλανος ῥίζης οὐγγίας δʹ,

drachmes; soufre natif, vingt-cinq drachmes; encens, quinze drachmes;
costus, douze drachmes. On triture les ingrédients secs avec du vinaigre 66
d'Égypte et on se sert du médicament comme d'un onguent. C'est en- 67
core un onguent efficace que le suivant : orpiment, quatorze drachmes;
soufre natif, huit drachmes; castoréum, douze drachmes; baies de lau-
rier sèches, douze drachmes; chaux vive, quatre drachmes; résine de
cèdre, une drachme. Ces ingrédients sont mélangés à l'aide du suc des 68
feuilles de peuplier blanc ou d'une décoction épaisse de ces mêmes feuilles
qui ait la consistance du miel; puis on use du médicament. On fait aussi 69
des onctions avec la colle de charpentier dissoute dans du vinaigre,
et on l'enlève après qu'elle s'est figée; mais il faut répéter cette opéra-
tion deux, trois, et même un très-grand nombre de fois. Nous prescrivons 70
aussi le médicament suivant, qui convient éminemment bien dans tous
les cas : Deux bottes de racines de patience sont fortement bouillies dans
du vinaigre et ensuite pilées dans un mortier; on les réduit en poudre
impalpable par la trituration dans un autre mortier, en versant dessus
du vinaigre, soit celui dans lequel on les a fait bouillir, s'il en reste,
soit quelque autre, et on ajoute : alcyonium, une livre; soufre natif,
six onces; racine de carthame à corymbes, quatre onces; coquilles d'es-

4. [∠] ex. em.; om. R. — 5. κεδρίας Aët.; κέδρου R; κηροῦ Paul. — 7. [καί] ex em.; om. R Aët., Paul. — 10-11. δεσμίδια Aët., Paul.; δέσμα R.

Mai 70.
καὶ κοχλιῶν ὀστράκων κεκαυμένων οὐγγίας δ', ἀφρονίτρου οὐγγίας
71 η'. Συνεκλεαίνεταί τε πάντα ὁμοῦ μέχρι γλοιοῦ σχῇ πάχος, εἶτα
καταχρίεται, θέρους μὲν ἐν ἡλίῳ πλεονάκις ψυχόμενον, καὶ μετὰ
δύο ὥρας ἀπομασσόμενον· χειμῶνος δὲ ἐν βαλανείῳ μέχρι ἀφιδρώσῃ.
72 Καὶ αὐταὶ δὲ αἱ ὀχθώδεις ἐπαναστάσεις, φλεγμαίνουσαι μὲν, ἢ καὶ
προεξηλκωμέναι, γλαυκίῳ καταχριέσθωσαν, ἢ λυκίῳ, ἢ ἀλόῃ· κα-
ταπλασσέσθωσαν δὲ, εἰ καὶ τούτου δέοι, χόνδρῳ μετὰ χυλίσμα-
τος ἀρνογλώσσου, ἢ πολυγόνου, ἢ κράμβης· ἄλλως δὲ μετὰ ἀμμω-
73 νιακοῦ οἴνῳ διειμένου, ἢ πρασίου χυλῷ. Θαυμαστῶς δὲ ὠφελεῖ τὰς
ἐπαναστάσεις τὰς κατὰ τοῦ προσώπου κατάπλασμα τὸ διὰ τῆς μι-
λησίας βοτάνης· κόπτεται δὲ μετὰ ἀξουγγίου παλαιοῦ χλωρᾶς τῆς
74 πόας τὰ φύλλα καὶ ἐπιῤῥίπτεται. Καὶ φοινίσσεται μὲν ἱκανῶς κα-
ταλειφθέντα τὰ μέρη, στέλλεται δὲ ῥᾳδίως ἄρτου ἐπιπλασθέντος, ἢ

71 cargots brûlées, quatre onces; *aphronitron*, huit onces. On triture ces ingrédients ensemble jusqu'à ce qu'ils aient acquis la consistance de la crasse des baignoires; ensuite on s'en sert comme d'un onguent; en été on l'applique au soleil en le laissant se dessécher pendant deux heures, après quoi on enlève en essuyant; on répète plusieurs fois cette application; en hiver, on met cet onguent dans un bain [de vapeur], et on le
72 laisse en place jusqu'à ce que la sueur commence. On frottera les tumeurs bosselées, si elles sont enflammées ou si elles se sont préalablement ulcérées, avec du glaucium, du *lycium*, ou de l'aloès, et, s'il est nécessaire d'appliquer aussi des cataplasmes sur ces tumeurs, on se servira à cet effet d'alica combinée au suc de plantain, de renouée, ou de chou; on pourra aussi la combiner avec de la gomme ammoniaque délayée dans
73 du vin, ou dans du suc de marrube. Les tumeurs qui recouvrent la face se trouvent admirablement bien d'un cataplasme d'herbe milésienne : on pile les feuilles de cette herbe, quand elle est encore verte,
74 avec de la vieille axonge, et on l'applique sur les tumeurs. Les parties qui en sont recouvertes rougissent, il est vrai, assez fortement, mais, si on applique un cataplasme de pain, ou du cérat fait avec l'huile d'amandes,

4-5. ἀφιδρώσει R; ἱδρώσεως Aët. — 5. αὗται R. — 11-12. τῆς μηλίας βοτ. Aët.; γρ. κόστου R marg. — 12-13. καταληφθέντα R.

κηρωτῆς διὰ ἀμυγδαλίνου πεποιημένης, καὶ ἐπὶ τὴν κατὰ φύσιν
εὔχροιαν ἀποκαθίσταται. Συγχρίσματά τε ἐπὶ τοῦ πάθους τά τε 75
ἤδη παραδεδομένα τῶν θηρίων στέατα εὐδόκιμα καὶ τὸ ἀμυγδά-
|λινον αὐτό· πρακτικωτάτη δέ ἐστιν ἡ κεδρέα καὶ φώκης λίπος 71
εἰς ἓν συντακέντα. Πρὸς μέντοι τὰς ἑλκώδεις καὶ ἐμπλάστροις 76
χρηστέον τῇ διὰ τοῦ διφρυγοῦς καὶ τῇ διὰ τοῦ οἴνου μηλίνῃ, καὶ
πρὸς τὰς τυλώδεις καὶ ὀχθώδεις τῇ διὰ τῶν ἁλῶν καὶ ψιμμιθίου καὶ
ἐλαίου παλαιοῦ. Λαμβάνει δὲ τῶν μὲν ξηρῶν ἀνὰ δραχμὴν α', τοῦ 77
δὲ ἐλαίου δραχμὰς β', καὶ μετὰ τὸ πάντα ὁμοῦ συλλεανθῆναι ἕψε-
ται. Διαφορεῖ δὲ καὶ αὐτὴ τὰς σκληρίας, καὶ ἀποτήκει τοὺς τύλους. 78
Τοσαῦτα μὲν καὶ τὰ κατὰ τῆς ἐπιφανείας φάρμακα τοῖς ἐλεφαν- 79
τιῶσιν· συνουσίας δὲ αὐτοῖς παντελῶς ἀφεκτέον, ὡς πολεμιωτάτης
πρὸς τὴν διάθεσιν· τεκμήριον δὲ ὅτι γυναῖκες μὲν ἥκιστα ἐλεφαν-
τιῶσιν, εὐνοῦχοι δὲ σπανιώτατα, καὶ θεραπεύονται ῥᾳδίως.

cette rougeur s'efface aisément et la peau revient à sa couleur natu-
relle. Les graisses des animaux sauvages que nous avons mentionnées 75
plus haut (p. 73, l. 7), ainsi que l'huile d'amandes, constituent encore
des onguents estimés pour cette maladie; mais l'onguent le plus efficace
est la résine de cèdre et la graisse de phoque fondues ensemble. Cepen- 76
dant, contre les tumeurs ulcérées, on emploiera aussi l'emplâtre au deu-
toxyde de cuivre ainsi que l'emplâtre couleur pomme au vin, et contre
les tumeurs caleuses et bosselées l'emplâtre composé de sel, de céruse
et de vieille huile. Cet emplâtre contient une drachme de chacun des 77
ingrédients secs et deux drachmes d'huile; après qu'on a trituré tous les
ingrédients ensemble, on les fait bouillir. Il dissipe aussi les duretés et 78
fond les callosités. Tels sont donc les médicaments qu'on applique à la 79
surface du corps chez les gens affectés d'éléphantiasis; mais on devra
s'abstenir complétement du coït, vu que cet acte est très-pernicieux pour
la maladie; la preuve en est que les femmes sont très-peu sujettes à l'élé-
phantiasis, que les eunuques en sont très-rarement affectés et qu'ils gué-
rissent vite.

4. δέ Aët.; om. R. — 5. ἑλκώσεις R.

Mai 71-72.

λʹ. Περὶ ἀποσκημμάτων. Ἐκ τῶν Ῥούφου.

87 δέρματος, ἕλκωσιν γίνεσθαι. Καταντλεῖν οὖν ὕδατος εὐκράτου το-
88 σοῦτον, ὅσον ἱκανόν ἐστι διαφορῆσαι τοὺς τοιούτους ἰχῶρας. Ἢν δὲ
δὴ καὶ αὖθις ὁμοίως πράξῃς, ἑβδόμη μὲν ἂν εἴη μετὰ τὴν πρώτην
ἀρχὴν ἡμέρα, φαίνοιτο δὲ ἂν ἤδη, μηδενὸς ἐμποδὼν γενομένου,
πάντα ἀφλέγμαντα, καὶ αὐτοῦ γε τοῦ κατὰ φύσιν ἐνίοτε μᾶλλον
ἰσχνά· τότε οὖν ἐγχωρεῖ καὶ νάρθηκας περιτιθέναι, διαπλάσαντα
νῦν δηλονότι τὸ κῶλον ἐπιμελέστερον, ὡς ἂν καὶ τῶν ὀστῶν ὄντων
89 χαλαρῶν. Ἡ δὲ χρεία τῶν ναρθήκων ἐστὶν, ἥπερ δὴ καὶ τῶν σπλη-
νῶν, κρατεῖσθαι τὸ κατεαγὸς ὀστοῦν, ὡς ἀκίνητον διαμένειν, εἰ καὶ

86 l'indication du degré plus ou moins prononcé de cette position. On lèvera
l'appareil tous les trois (*deux*) jours, afin qu'il ne survienne pas de ma-
laise, que la partie recouverte contre son habitude ne soit pas prise de
démangeaison, et que l'accès de l'air aux humeurs qui se sont déjà fixées
dans la fracture ne trouve pas de trop grands obstacles, obstacles d'où
il résulte non-seulement que quelques malades sont pris de démangeai-
son accompagnée de malaise, mais aussi quelquefois qu'il se forme une
ulcération, quand la peau a été corrodée par l'âcreté des humeurs sé-
87 reuses. On fera donc une affusion d'eau tiède en quantité assez abon-
88 dante pour dissiper ces humeurs. Quand vous aurez agi de la même
manière pour la seconde fois [et que vous levez l'appareil pour la troi-
sième], ce sera le septième jour après le premier pansement, et, dès
lors, si rien n'est venu se mettre à la traverse, toutes les parties se mon-
treront exemptes d'inflammation ; quelquefois même elles seront moins
volumineuses que dans l'état normal : c'est donc alors qu'on peut aussi
placer les attelles autour du membre, après avoir fait la coaptation, cette
fois-ci, bien entendu, avec plus de soin que les autres fois, attendu qu'à
89 ce moment les os sont dans le relâchement. Les attelles ont la même uti-
lité que les compresses : retenir l'os fracturé de façon qu'il reste immo-
bile, même quand on imprime du mouvement à tout l'ensemble du

Cocchi 73.

τὸ κῶλον ἅπαν κινοῖτο· σεισθέντων γὰρ καὶ κινηθέντων τῶν χει-
λῶν τοῦ κατάγματος, ἡ πῆξις τοῦ πώρου κωλυθήσεται. Ἀξιοῖ δὲ 90
Ἱπποκράτης λείους τε εἶναι καὶ ὁμαλοὺς τοὺς νάρθηκας καὶ σιμοὺς
κατὰ τὰ ἄκρα, τουτέστιν ἀπεξεσμένους ἀτρέμα κατὰ τὴν κάτω χώ-
ραν· οἱ γὰρ ἰσοπαχεῖς ἄχρι τοῦ πέρατος ἴσην ἐνταῦθα τὴν ἐπίδεσιν
ἐργάζονται παντὶ τῷ ἄλλῳ μέρει τῷ τῆς ἐπιδέσεως, ὅπερ οὐ χρὴ
γίνεσθαι· βούλεται γὰρ ἐν τῷ μέσῳ τὴν ἐπίδεσιν ἐσφίγχθαι μᾶλ-
λον, ἐκλύεσθαι δὲ ἐντεῦθεν ἄχρι τῶν περάτων, ἐκεῖνα δὲ ἁπάντων
ἐκλύεσθαι μᾶλλον. Ἀλλὰ καὶ μικροτέρους αὐτοὺς κατὰ τὸ μῆκος εἶναι 91
κελεύει τῆς ἐπιδέσεως, ὅπως μὴ ψαύσειάν ποτε τοῦ μετὰ τὴν ἐπί-
δεσιν δέρματος ὑψουμένου πολλάκις ἐκ τοῦ δέχεσθαι τοὺς ὑπὸ τῶν
ἐπιδέσμων ἐκθλιβομένους χυμούς. Ἀλλὰ καὶ κατὰ αὐτὸ τὸ κάταγμα 92
παχυτέρους εἶναι συμβουλεύει τοὺς νάρθηκας, ἐπειδὴ τὸ χωρίον
τοῦτο μάλιστα τῆς ὑπὸ αὐτῶν ἰπώσεως δεῖται. Φυλάττεσθαι δὲ χρὴ 93
καὶ κατὰ τὰς ἐξοχὰς τῶν ὀστῶν, ὁποῖαι κατά τε τῆς κνήμης εἰσὶ καὶ

membre : car, si les fragments de l'os sont secoués et mis en mouvement,
la solidification du cal rencontrera des obstacles. Hippocrate (*Offic.* § 12) 90
veut que les attelles soient lisses, régulières et creuses à leurs extrémités,
c'est-à-dire légèrement amincies par le rabot à la partie inférieure : car
celles qui conservent la même épaisseur jusqu'à leur extrémité font que
la déligation est la même dans cet endroit que pour tout le reste de
l'appareil ; ce qui ne doit pas avoir lieu : en effet, Hippocrate (*Offic.* § 12)
veut que l'appareil soit plus fortement serré au milieu, qu'il se relâche,
à partir de là, jusqu'aux extrémités, où l'appareil doit être plus relâché
que sur toutes les autres parties. Mais il est aussi d'avis que la longueur 91
des attelles soit moindre que celle de l'appareil, afin qu'elles ne touchent
jamais la peau qui se trouve au delà, laquelle peau se soulève souvent
parce qu'elle accueille les humeurs exprimées par les bandes. Il con- 92
seille encore de faire en sorte que les attelles soient plus épaisses sur la
fracture elle-même, parce que cette région a principalement besoin de
la pression qu'elles exercent. Il faut se garder aussi de placer les attelles 93
sur les protubérances des os, telles qu'il en existe aux extrémités infé-

14. ἐπώσεως U; ἐπιδέσεως Gal. — 15. κατά τε om. Gal.

Cocchi 73-74.
περόνης τὰ κάτω πέρατα, τίθεσθαι τοὺς νάρθηκας· ἔσται δὲ τοῦτο
κατὰ δύο τρόπους· ἢ μηδὲ ὅλως ἡμῶν τιθέντων αὐτοὺς κατὰ ἐκεῖνα
τὰ μέρη τῆς ἐπιδέσεως, ἢ βραχυτέρους τιθέντων, ὡς μὴ παραγί-
νεσθαι πρὸς τὸ κυρτὸν, ἀλλὰ προκαταπαύεσθαι πρὶν ἐκείνου ψαῦ-
94 σαι. Καὶ βέλτιόν γε πράττειν οὕτως· θλίβονται γὰρ ὑπὸ αὐτῶν.
95 Μᾶλλον δὲ οὐκ αὐτὰ χρὴ θλίβεσθαι λέγειν, ἀλλὰ τοὺς ἐπικειμένους
96 μῦς ἢ ὑμένας αὐτοῖς, καί τινας ἀπονευρώσεις καὶ τὸ δέρμα. Μετὰ
δὲ τὴν ἐπίθεσιν τῶν ναρθήκων, εἴ τί που χαλαρὸν γίνοιτο τῆς ἐπι-
δέσεως, ἐπισφίγγειν αὐτοὺς χρὴ διὰ τρίτης, οὐ λύειν ὅλην τὴν
ἐπίδεσιν ἄχρι τῆς εἰκόστης, ὥστε βεβαίαν γενέσθαι τὴν οἷον κρη-
πῖδα τῷ πώρῳ, πλὴν εἰ μή τις ὀδύνης αἴσθησις, ἢ κνῆσις σφοδρὰ
74 καὶ τῆς ἑλκώσεως φόβος, καὶ ὑποψία τοῦ μὴ καλῶς | πεπλάσθαι τὸ
κάταγμα, καὶ κίνησις σφοδρὰ κατά τινα συντυχίαν ἐν τῷ κώλῳ
97 γενομένη, λύειν ἡμᾶς ἀναγκάσει. Γενομένης δὲ τῆς πωρώσεως,

rieures du tibia et du péroné; or nous obtiendrons ce résultat de deux
manières, soit en ne plaçant pas d'attelles du tout sur ces parties de l'ap-
pareil, soit en appliquant des attelles plus courtes, de manière qu'elles
n'atteignent pas la partie bombée de l'os, mais finissent avant d'y tou-
94 cher. Il est préférable d'agir ainsi; car ces parties sont foulées par les
95 attelles. Cependant il vaudrait mieux dire que ce ne sont pas ces par-
ties elles-mêmes qui sont foulées, mais les muscles ou les membranes
96 placés sur elles, ainsi que certaines aponévroses et la peau. Si, après
l'application des attelles, quelque partie de l'appareil venait à se relâ-
cher, il faudrait les serrer plus fortement tous les trois (*deux*) jours,
mais non pas défaire entièrement l'appareil, jusqu'au vingtième jour, de
manière qu'il y ait, pour ainsi dire, un fondement solide pour le cal,
en exceptant cependant les cas où nous sommes forcés de lever l'ap-
pareil à cause d'une sensation douloureuse, d'une démangeaison très-
forte, de la crainte d'une ulcération, et si nous soupçonnons que la coap-
tation de la fracture n'a pas été bien faite, ou si le membre, par suite
97 de quelque accident, a été soumis à un mouvement violent. Quand la

1. τείνεσθαι RU. — 4. πρὸς..... προκαταπαύεσθαι om. U. — 9. διὰ τριῶν R 1ᵃ m. U. — 12. τις R. — Ib. καὶ ἡ ὑποψία R. — Ib. τοῦ om. R.

Cocchi 74.

οὐκ ἔτι ἐν ἡσυχίᾳ παντελεῖ τηρεῖν χρὴ τὸ κάταγμα· προσήκει γὰρ ἀνατρέφειν τὸν πῶρον ὅταν ἀσφαλῶς ῥιζωθῇ, τὸ δὲ ἀνατρέφειν γίνεται τῇ χορηγίᾳ τῆς ὕλης, ἣν ὥσπερ ἀπεσΊρέψαμεν ἐξ ἀρχῆς ἀπὸ τοῦ πεπονθότος εἰς ἕτερα μόρια τοῦ σώματος, οὕτω νῦν δεῖ προσκαλεῖσθαι, καταντλοῦντας ὕδωρ Θερμὸν ἄχρι τῆς εἰς ὄγκον ἐρυθρὸν ἐπάρσεως τῆς σαρκός. Τινὲς δὲ πΊελέας ῥιζῶν τῷ ἀφεψή- 98
ματι καταντλοῦσιν ὅσα πωρώσεως δεῖται κατάγματα. Καὶ μέντοι 99
καὶ ὥσπερ ἐν ἀρχῇ παντάπασιν αὐτὴν ἐκωλύομεν εἰς τὸ πεπονθὸς ἔρχεσθαι τῇ πιέσει καὶ τῷ πλήθει τῶν ὀθονίων, οὕτω νῦν προσήκει μὴ κωλύειν ἐπιῤῥεῖν, ἀφαιροῦντας κατὰ βραχὺ τοῦ πλήθους τῶν ὀθο-νίων ἅμα τῷ καὶ τὴν πίεσιν ἐκλύειν. Ἐπὶ ὧν δὲ ὑγρότης ἐσΊὶ πλείων 100
καὶ διὰ αὐτὴν οὐ πωροῦται τὰ κατεαγότα, ξηραίνειν αὐτὴν, ὡς ἔμπροσθεν εἴρηται, πειρᾶσθαι διὰ ἐπιδέσεως προσηκούσης καὶ καταντλήσεως, ἤτοι γε ἐλαχίσΊης παντάπασιν, ἢ πλείσΊης· ἡ μὲν

formation du cal a eu lieu, il ne faut pas encore abandonner complétement la fracture à elle-même; car, lorsque le cal a poussé des racines solides, il convient de le nourrir; or cela se fait en lui amenant des matériaux, et, de même qu'au commencement nous avons détourné ces matériaux de la partie affectée vers d'autres parties du corps, de même, il s'agit maintenant de les appeler, en faisant des affusions d'eau chaude, jusqu'à ce que la chair, en se soulevant, produise une tuméfaction
rouge. Quelques-uns font des affusions avec une décoction de racines 98
d'orme sur les fractures qui exigent qu'il se forme un cal. En outre, 99
de même qu'au commencement, à l'aide de la pression et de la grande quantité des linges, nous empêchions complétement les matériaux de se rendre à la partie malade, il faut maintenant, en diminuant peu à peu la quantité des linges et en modérant simultanément la pression, faire
en sorte de ne pas mettre d'obstacle à leur afflux. Quand l'humidité est 100
trop abondante et que, pour cette raison, les os fracturés ne se couvrent pas de cal, on essayera, ainsi que nous l'avons dit plus haut (cf. p. 107, l. 4), de dessécher cette humidité à l'aide d'une déligation appropriée et d'une affusion dont la quantité soit ou extrêmement restreinte, ou très-exagérée: car une affusion très-peu abondante et qui cesse avant

5. καταχέοντας Gal. — 10. ἀφαιροῦντα R.

Cocchi 74.
γὰρ ἐλαχίστη πρὶν ἐπιῤῥυῆναί τι παυομένη τά τε πρόχειρα τῶν
ὑγρῶν διαφορεῖ, τά τε ἐν βάθει διαχεῖ μετρίως, συμφέρει δὲ οὕτω
κεχύσθαι τοῖς ὑπὸ τῆς ἐπιδέσεως ἐκθλίβεσθαι μέλλουσιν· ἡ δὲ
101 πλείστη διαφορεῖ μᾶλλον ἢ ἕλκει. Εὔδηλον δὲ δήπου καὶ ὡς ἐπὶ
μὲν τῆς ἐκθλιβούσης ἐπιδέσεως ἧττον χρὴ πιέζειν τὰ τελευταῖα τῶν
ὀθονίων, ἐπὶ δὲ τῆς ἀνατρεφούσης οὔτε ἧττον ταῦτα, καὶ συμπάσας
102 τὰς περιβολὰς χαλαρωτέρας ποιεῖσθαι. — Διαιτᾷν δὲ ἐν ἀρχῇ λε-
πτοτάτως χρὴ, καὶ φλεβοτομεῖν ἐνίοτε καὶ διὰ γαστρὸς ἐκκενοῦν
τὰ περιττὰ, ὡς ἐν τῇ τῶν φλεγμονῶν οἰκείᾳ θεραπείᾳ λέλεκται·
κατὰ δὲ τὸν τῆς πωρώσεως καιρὸν ἀνατρέφειν χρὴ τὸ σῶμα σιτίοις
εὐχύμοις καὶ τροφίμοις, ἐξ ὧν εἴωθε γεννᾶσθαι χυμὸς, οὐ μόνον
χρηστὸς, ἀλλὰ καὶ γλίσχρος, ἐξ οἵου δεῖ μάλιστα γίνεσθαι τὸν πῶ-
103 ρον. Καὶ τῶν φαρμάκων δὲ ὅσα μὲν ἐμπλαστικὰ ταῖς οὐσίαις ἐστὶ,
μετρίως θερμαίνοντα προτρέπει τε καὶ συναύξει τοὺς πώρους, ὅσα

qu'un afflux puisse avoir lieu, provoque la perspiration des liquides si-
tués près de la surface, tandis qu'elle dissipe modérément ceux qui se
trouvent dans les régions profondes du corps; or il convient aux liquides
destinés à être expulsés par la déligation de se fondre de cette ma-
nière; une affusion exagérée provoque plus la perspiration qu'elle n'at-
101 tire. Il est clair que, dans un appareil expulsif, il faut moins fortement
serrer les dernières bandes, tandis que, dans un appareil destiné à
nourrir [le cal], il faut, d'un côté, que ces bandes ne soient pas moins
fortement serrées que le reste, et, d'un autre, que tous les tours de
102 bande soient plus lâches. — Au commencement on prescrira un régime
très-léger; quelquefois même on saignera et on évacuera les humeurs
superflues par le ventre, comme cela a été dit à propos du traitement
spécial des inflammations (cf. XLIV, 1); à l'époque de la formation du
cal, au contraire, on doit restaurer le corps à l'aide d'aliments nourris-
sants et contenant de bons sucs, lesquels habituellement produisent des
humeurs non-seulement bonnes, mais aussi visqueuses; or ce sont prin-
103 cipalement de pareilles humeurs que réclame la formation du cal. En fait
de médicaments, ceux dont la substance est capable de boucher les con-
duits provoquent et augmentent la formation du cal en échauffant modé-

4. Εὔδ. δέ που U. — 8. ἐνίοτε δὲ καί Gal. — 10. σιτίοις] τοῖς U.

Cocchi 74-77.

δὲ διαφορητικὰ καὶ τοὺς ὄντας ἤδη καθαιρεῖ. Θᾶττον μὲν οὖν κρα- 104
τύνεται τὰ κατεαγότα, τουτέστιν ἀσφαλῶς πωροῦται, διά τε τὴν
ὕλην ἐξ ἧς ὁ πῶρος γίνεται, συμμέτρως ἔχουσαν ἐν ποσότητι καὶ
ποιότητι, καὶ διὰ τὴν ῥώμην τῆς πηγνυούσης αὐτὴν δυνάμεως· εἰς
χρόνον δὲ ἐκπίπτει πλείονα διὰ τὴν ἔνδειαν τῆς ὕλης, ἔστιν ὅτε δὲ
καὶ διὰ πλῆθος ἄμετρον· ἀποκλύζεται γὰρ ὁ πηγνύμενος πῶρος
ὑπὸ τῆς ἔνδον ἐπιρρεούσης ὑγρότητος, ὅταν ᾖ πολλή τε ἅμα καὶ
συνεχής. Ἔστι δὲ τὸ μὲν πάχος τῆς ὕλης ἐπιτηδειότερον εἰς τὸ πα- 105
γῆναί τε καὶ γενέσθαι πῶρον, ἡ δὲ ὑγρότης ὅταν ὑδατώδης τις ᾖ
καὶ λεπτὴ κατὰ τὴν σύστασιν, ἀνεπιτήδειος εἰς πώρου γένεσιν. Ὅτι 106
δὲ καὶ ἡ δύναμις ἡ μὲν ἰσχυροτέρα ταχέως ἐργάζεται τὸ ἑαυτῆς ἔρ-
γον, ἡ δὲ ἀσθενεστέρα βραδύτερον, οὐδὲ λόγου δεῖ. Διὰ ταῦτα μὲν 107
οὖν ἐν διαφέρουσι χρόνοις αἱ πωρώσεις γίνονται τοῖς συντετριμ-
μένοις ὀστοῖς· πλείων δὲ καὶ ἐλάττων | ἡ ὕλη καὶ παχυτέρα καὶ λε- 77
πτοτέρα γίνεται διά τε τὴν ἐξ ἀρχῆς ἑκάστου κρᾶσιν καὶ διὰ τὴν

rément; ceux, au contraire, qui favorisent la perspiration, détruisent celui
qui existait déjà. Les fractures se consolident plus vite, c'est-à-dire elles 104
se recouvrent plus vite d'un cal solide, quand les matériaux dont le cal
doit se former se trouvent dans une condition moyenne sous le rapport
de la quantité et de la qualité, ainsi que par l'état satisfaisant de la force
qui solidifie ces matériaux; au contraire, cette consolidation traîne plus
en longueur par suite du défaut de matériaux, et quelquefois aussi à
cause de leur abondance démesurée : en effet, le cal qui est en train de
se solidifier est entraîné par le courant des liquides qui affluent, quand
cet afflux est à la fois abondant et continu. L'épaisseur des matériaux 105
est favorable à leur solidification et à leur transformation en cal; mais,
quand ces matériaux consistent en un liquide aqueux et ténu, ils sont
incapables de produire le cal. Il n'est pas même nécessaire de dire que 106
la force qui se trouve dans un état satisfaisant accomplit vite son œuvre,
tandis qu'une force languissante le fait plus lentement. Ainsi donc le 107
temps que les os brisés réclament pour la formation du cal n'est pas
le même chez tous : en effet, les matériaux deviennent plus ou moins
abondants et plus ou moins épais, en raison du tempérament congénial

5-6. ἔστιν ὅτε καί U. — 7. ἔνδοθεν Gal.

Cocchi 77.
ἐπίκτητον ἐν ᾧ θεραπεύεται χρόνῳ κατάστασιν, ἔτι τε δίαιταν ἣ
διαιτῶνται, καὶ τρόπον ἐπιδέσεως ὃν ἐπιδοῦνται, τήν τε ἡλικίαν,
καὶ τὴν ὥραν, καὶ τὴν χώραν, ἐξ ὧν ἁπάντων καὶ ἡ δύναμις ἤτοι
108 γε ἀσθενὴς, ἢ ἰσχυρὰ γίνεται. — Τὰ δὲ ἐξαιρόμενα τῶν οἰδημά-
των διὰ τὴν ἔκθλιψιν τῶν χυμῶν, ἣν ἐκ τῆς σφοδροτέρας ἐπιδέ-
σεως ἐνίοτε ποιούμεθα, θεραπευτέον, ἐπιτιθέντας ἔρια πολλὰ
109 ῥυπαρὰ καλῶς κατειργασμένα, ῥαίνοντας ἐλαίῳ τε καὶ οἴνῳ. Προϋ-
ποχρίειν δὲ δεῖ τὸ δέρμα κατὰ οὗ ταῦτα ἐπιτεθήσεται κηρωτῇ,
110 καὶ τὴν ἐπίδεσιν ἀπὸ τῶν οἰδημάτων ἐπὶ τὸ ἄνω ποιεῖσθαι. Τινὲς
μὲν οὖν ὑπὲρ τὴν ἐπίδεσιν ἀνιέναι βούλονται τὸν ἐκθλιβόμενον τῶν
οἰδημάτων χυμὸν, ἔνιοι δὲ εἰς τὰ κατὰ τὴν ἐπίδεσιν χωρία παραγί-
111 νεσθαι. Κρῖναι δὲ οὐ χαλεπόν ἐστι τὴν διαφωνίαν αὐτῶν, ὁρισθεί-
σης τῆς ἐπιδέσεως· εἰ μὲν γὰρ ἐπανέντες τοὺς νάρθηκας ἐπιδή-
σαιμεν ὡς εἴρηται τὸ ᾠδηκὸς, ἀφίκοιτο ἄν τι τοῦ αἵματος εἰς τὰ

de chaque malade, de sa condition acquise à l'époque où on le soumet au traitement, et puis en raison du régime qu'il suit, de l'espèce d'appareil qu'on applique, de l'âge, de la saison et du pays, circonstances qui, les unes aussi bien que les autres, rendent aussi la force languissante ou
108 satisfaisante. — Les tuméfactions qui se développent par l'effet de l'expulsion des humeurs, à laquelle nous donnons quelquefois lieu par suite d'une déligation trop violente, doivent être traitées par l'application d'une grande quantité de laine en suint bien préparée, que nous humectons
109 d'huile et de vin. Mais on enduira préalablement de cérat la peau sur laquelle on veut placer cette laine, et on pratiquera la déligation, en
110 faisant remonter la bande à partir de la tuméfaction. Quelques médecins prétendent que [par la réapplication de l'appareil] on chasse les humeurs expulsées des parties tuméfiées au delà de l'espace occupé par l'appareil; d'autres veulent que [par suite de ce traitement] les humeurs arrivent
111 aux parties placées sous l'appareil. Il n'est pas difficile de porter un jugement sur le dissentiment de ces médecins, pourvu qu'on détermine de quelle espèce d'appareil il s'agit : en effet, si, en relâchant les attelles, on applique la bande de la manière que j'ai décrite plus haut (cf. p. 130, l. 10),

4. Τὰ δὲ ξηραινόμενα R. — 5. ἣν ex em.; ὧν RU.

Cocchi 77.

κατὰ τὴν ἐπίδεσιν χωρία· εἰ δὲ ἀφελόντες τοὺς νάρθηκας καὶ λύ-
σαντες ὅλην τὴν ἐπίδεσιν, αὖθις ἐξ ἀρχῆς ἐπιδήσαιμεν, ἅμα μὲν τῷ
καταγματικῷ τρόπῳ χρώμενοι τῆς ἐπιδέσεως, ἅμα δὲ καὶ μιγνύντες
αὐτῷ τὸν ἀπὸ τῶν οἰδημάτων ἀρχόμενον, ὑπερθείη ἂν οὕτω τὴν ἀρ-
χαίαν ἐπίδεσιν ὁ ἐκθλιβόμενος χυμὸς ἐπὶ τὰ τῆς ἐπιδέσεως ὑψηλό-
τερα χωρία. — Περὶ μὲν δὴ τῶν ἐγκαρσίων καταγμάτων ἱκανὰ 112
καὶ ταῦτα· περὶ δὲ τῶν παραμήκων τὰ μὲν ἄλλα σύμπαντα τὰ αὐτά,
πιέζειν δὲ χρὴ μᾶλλον ταῦτα κατὰ αὐτὸ τὸ κάταγμα, καὶ προστέλ-
λειν εἴσω τὸ ἀφεστηκός. — Ὅσα δὲ ἐθραύσθη πολυειδῶς, καὶ μά- 113
λιστα σὺν ἕλκεσιν, ὅπερ ὡς τὰ πολλὰ φιλεῖ γίνεσθαι, σπλῆνας
σκεπαρνηδὸν περιβάλλειν, οἴνῳ τέγγοντας, μάλιστα ἐν θέρει·
σήπεται γάρ, εἴτε ἐλαίῳ τις, εἴτε καὶ κηρωτῇ χρῷτο, δεόμενά γε
ξηραίνεσθαι μειζόνως ἢ τἆλλα, διότι καὶ μεῖζον τὸ πάθημα. Καὶ 114
τοίνυν καὶ τὰ φάρμακα πάντα τῶν ξηραινόντων ἔστω ἐκ τῶν ἐναι-

une partie du sang arrivera dans la région qui correspond à l'appareil;
si, au contraire, après avoir enlevé les attelles et levé complétement
l'appareil, on le réapplique de nouveau intégralement, en se servant
de l'espèce de déligation appropriée aux fractures, tout en y mêlant en
même temps celle qui commence sur les parties tuméfiées, l'humeur
expulsée dépassera de cette manière l'espace occupé par le premier ap-
pareil pour se rendre aux parties situées au-dessus de la déligation. —
Ce que nous venons de dire suffit pour les fractures transversales; mais, 112
dans les fractures longitudinales, il faut exercer une pression plus forte
sur la fracture elle-même et pousser en dedans la partie qui s'est écartée;
du reste, tous les autres détails du pansement sont les mêmes. — Quand 113
les fractures sont très-compliquées, et surtout s'il y a en même temps des
plaies, comme c'est l'ordinaire, on entourera le membre de compresses
sous la forme d'une doloire; on les humectera de vin, surtout en été; car
les parties se pourrissent, quand on emploie soit de l'huile, soit du cé-
rat, vu qu'elles ont besoin d'être desséchées plus fortement que les autres,
parce que l'affection est aussi plus grave. En fait de médicaments, tous ceux 114
dont on se sert doivent être choisis parmi les desséchants, dans la classe de

5. ὁ om. U. — 11. περιβαλεῖν RU. — 14. ἔστω φαρμάκων ἐκ RU.

Cocchi 77-78.
115 μων ὀνομαζομένων. Τῶν δὲ μετὰ ἕλκους καταγμάτων, ὅταν μὲν
μὴ ἐξέχον τι, μήτε ἀποστήσεσθαι προσδοκώμενον ᾖ μόριον τοῦ
καταγέντος ὀστοῦ, χρῆσθαι δεῖ τῷ τρόπῳ τῆς ἐπιδέσεως, ὃν ἐδι-
δάξαμεν ἐπὶ τῶν χωρὶς ἕλκους καταγμάτων· ὅταν δὲ ἐπίδοξον ᾖ
τι μέρος αὐτοῦ τῷ χρόνῳ χωρισθὲν ἀποκριθήσεσθαι πρὸς τῆς φύ-
σεως διὰ τῆς κατὰ τὸ ἕλκος χώρας, τὴν ἀρχὴν δεῖ θέντας, ἤτοι γε
ἐκ τῶν δεξιῶν, ἢ τῶν ἀριστερῶν μερῶν, ἐπιδεῖν ἑξῆς ὡς ὅλον αὐτὸ
καταληφθῆναι, καὶ μηδὲν ἀπολειφθῆναι μέρος γυμνὸν, μὴ σφόδρα
116 τε πιέζειν τῇ ἐπιδέσει. Δεῖ δὲ ὑποπτεύειν πεπονθέναι τὸ ὑποκεί-
μενον ὀστοῦν ὅταν πλέον ᾖ τὸ ἀποῤῥέον πύον ἢ κατὰ τὸ μέγεθος
τοῦ ἕλκους· ἐὰν δὲ καὶ ἐπειγόμενον φαίνηται πρὸς τὴν ἀπόκρισιν
117 τὸ πεπονθὸς μέρος, ἔχοις ἂν ἤδη βεβαίαν τὴν διάγνωσιν. Πόθεν
οὖν ὅτι πρὸς ἀπόκρισιν ἐπείγεται; πρῶτον μὲν ἐξ αὐτῶν τῶν χει-
78 λῶν τοῦ ἕλκους οὐκ ἐθελόντων | συνιέναι πρὸς ἄλληλα, διισταμένων
τε καὶ ἐκτρεπομένων, εἶτα κἀκ τῆς τοῦ κάμνοντος αἰσθήσεως, ἐν

115 ceux qu'on nomme *médicaments pour les plaies saignantes.* Lorsque, dans les fractures compliquées de plaie, il n'y a aucune partie de l'os fracturé qui fasse saillie, ou qu'on s'attende à voir se détacher, on recourt au mode de déligation que nous avons exposé à propos des fractures sans plaie; mais, lorsque nous soupçonnons qu'une partie de l'os devra, après qu'elle s'est détachée par l'effet du temps, être expulsée par la nature à travers la plaie, on placera le chef de la bande, soit à droite, soit à gauche de cette plaie, on déroulera la bande de telle façon qu'elle la recouvre tout entière et ne laisse aucune partie à découvert, et on fera en sorte que
116 l'appareil n'exerce pas une pression très-forte. On doit soupçonner que l'os placé au-dessous de la plaie est malade, si la quantité du pus qui s'écoule est plus considérable que l'étendue de l'ulcère ne le comporte; si, en outre, la partie malade semble se presser de sortir, vous aurez déjà
117 un moyen de diagnostic sûr. A quels signes reconnaît-on donc que cette partie est pressée de s'échapper? D'abord aux lèvres mêmes de la plaie, qui ne veulent pas se réunir, qui s'écartent l'une de l'autre et qui se renversent, ensuite à la sensation du malade, qui s'aperçoit d'un cer-

10. τό ante μέγ. om. U. — 15. κἀκ ex em.; καί RU Gal.

Cocchi 78.
τῷ βάθει κινήσεως αὐτῷ τινος ἀμυδρᾶς φαινομένης. Ὅταν μὲν οὖν 118
κατὰ τὸ μῆκος τοῦ κώλου γένηται τὸ ἕλκος, ἐγχωρεῖ τοὺς νάρθηκας
ἐπιβάλλειν ἑκατέρωθεν· ὅταν δὲ ἐγκάρσιον, κωλύει τὴν ἐπίθεσιν
τῶν ναρθήκων, καὶ μάλιστα ἐὰν ᾖ μεῖζον, ἐπὶ ὧν πλείοσιν ὀθονίοις
χρηστέον. Ὠφελιμώτατος δέ ἐστιν ἁπάντων οἴνων εἰς τὰς τοιαύτας 119
διαθέσεις ὁ μέλας καὶ αὐστηρός. Δῆλον δὲ ὅτι καὶ κατὰ τὴν σύστα- 120
σιν ὁ τοιοῦτός ἐστι παχύς, τὸ μὲν κοινὸν ἀγαθὸν ἔχων, οὗ χάριν
εἰς ἐπιβροχὰς ἑλκῶν παραλαμβάνεται, τῶν δὲ ἄλλων οἴνων τῶν
στυφόντων ἀδηκτότερος ὤν, ὅπερ οὐ τὸ τυχὸν ἀγαθόν ἐστιν ἐν ταῖς
τοιαύταις θεραπείαις· διὸ κἂν μὴ λίαν αὐστηρὸς, ἀλλὰ μετρίως ᾖ
τοιοῦτος, ἀμείνων ἐστίν· ὀδύνην γὰρ ὁ λίαν αὐστηρὸς φέρει, συνά-
γων καὶ πιλῶν τὴν σάρκα περαιτέρω τοῦ προσήκοντος· ὅθεν οὐδὲ
ὁ λεπτομερὴς κατὰ τὴν οὐσίαν, οἷός πέρ ἐστιν ὁ λευκὸς, ἢ ξανθὸς,
ἢ κιῤῥὸς, ἐπιτήδειος· εἰσδυόμενος γὰρ εἰς ὅλον τὸ βάθος τῆς ἡλ-
κωμένης σαρκὸς, αἴσθησιν ὀδυνηρὰν πλείονα φέρει διὰ τὴν ἐν αὐτῇ

tain mouvement sourd dans la profondeur du membre. Si donc la plaie 118
est située dans le sens de la longueur du membre, on peut placer les attelles de chaque côté; mais, si la plaie est transversale, elle forme un obstacle à l'application des attelles, surtout si elle a une certaine étendue, cas dans lequel on doit employer un plus grand nombre de linges que dans les autres. De toutes les espèces de vin, la plus profitable pour ce 119
genre d'affections est le vin noir et âpre. Il est clair qu'un pareil vin aura 120
aussi une consistance épaisse, qu'il produira l'effet utile commun à toute espèce de vin et en vue duquel on l'emploie pour humecter les plaies; mais il est moins irritant que les autres vins astringents, avantage qui n'est pas à dédaigner dans de pareils traitements; c'est aussi pourquoi un vin qui n'est pas très-fortement, mais modérément âpre, vaut mieux que les autres : en effet, le vin très-âpre produit de la douleur, en contractant et en foulant avec excès la chair; un vin dont la substance est composée de particules ténues, tel que le vin blanc, jaune ou paillet, ne convient pas non plus; car, en s'insinuant dans toute la région profonde de la chair ulcérée, il cause une sensation douloureuse trop forte, par suite du resserrement et de la

13. ὁ om. U.

Cocchi 78.
γινομένην σφίγξιν τε καὶ πίλησιν· ὁ δὲ παχυμερὴς, ὁποῖός ἐστιν
ὁ μέλας, οὐ καταδυόμενος εἰς τὸ βάθος τῆς σαρκὸς, ἀλλὰ μόνῃ τῇ
τῆς ποιότητος διαδόσει στύφων τε καὶ συνάγων αὐτὴν, ἀποκρούεται
μὲν τοὺς ἤδη περιεχομένους χυμοὺς, ἀναστέλλει δὲ τοὺς ἐπιῤῥέον-
121 τας. Λέλεκται δὲ καὶ πρόσθεν, ὡς ἀεὶ χρὴ τέγγεσθαι τὸ ἕλκος ὑπὸ
αὐτοῦ· ξηρανθέντων γὰρ ἐπὶ ὀλίγον, ἢ θερμανθέντων τῶν ἐπιβε-
βλημένων ὀθονίων τῷ ἕλκει, φλεγμονὴν ἀναγκαῖον ἀκολουθῆσαι,
καὶ μάλιστα ἐν θέρει, κατὰ ὃν καιρὸν καὶ παρὰ ἡμῖν ἐν Περγάμῳ
τῶν ἀρχιερέων τὰς καλουμένας μονομαχίας ἐπιτελούντων, τοὺς κά-
κιστα τρωθέντας ἐθεράπευσα, πτύγματα μὲν ὀθονίων ἐπιθεὶς τοῖς
τραύμασιν οἴνῳ τοιούτῳ βεβρεγμένα, κατὰ αὐτῶν δὲ ἔξωθεν σπόγ-
γους καινοὺς μαλθακοὺς, εἶτα σχεδὸν διὰ ὅλης ἡμέρας τε καὶ νυκτὸς
122 ἐπιβρέχων. Προϋπέβαλλον δὲ τῷ τετρωμένῳ κώλῳ δέρμα κοιλαῖνον
ἀτρέμα κατὰ τὴν πρὸς ποδῶν χώραν, ὡς διὰ τούτου φέρεσθαι τὸν
ἐκ τῆς ἐπιβροχῆς οἶνον, ἐκκενοῦσθαί τε καθάπερ διὰ ὀχετοῦ, δεχο-

condensation qu'il produit dans cette chair : au contraire, le vin com-
posé de particules grossières, comme est le vin noir, ne pénètre pas dans
la région profonde de la chair, mais la resserre et la contracte unique-
ment par transmission de sa qualité, et ainsi il repousse les humeurs
qui sont déjà contenues dans la partie affectée, tandis qu'il renvoie celles
121 qui affluent. J'ai déjà dit plus haut (p. 134, l. 11) que la plaie doit toujours
être humectée de vin; car, si les linges placés sur le point lésé se dessè-
chent ou s'échauffent pendant un court espace de temps, la plaie se
compliquera inévitablement d'inflammation, surtout si c'est en été; or,
comme c'est justement dans cette saison que les grands prêtres célèbrent
chez nous, à Pergame, ce qu'on appelle des combats de gladiateurs, j'ai
traité, à cette époque, des individus très-grièvement blessés, en plaçant sur
leurs plaies des linges pliés, humectés de ce vin âpre et noir, en appliquant,
à l'extérieur, sur ces linges, des éponges neuves et molles, et en humectant
122 ensuite presque pendant tout le cours d'un jour et d'une nuit. Je plaçais
préalablement, au-dessous du membre blessé, une peau dans laquelle
je ménageais un petit creux vers la région du pied, de manière que le
vin qui avait servi à humecter passait par ce creux, était évacué comme

2-3. μόνη τῆς ὁποιότ. U. — 8. καιρὸν ἀεὶ παρὰ Gal.

Cocchi 78-81.

μένης αὐτοῦ τὴν ἐκροὴν λεκάνης κενῆς, ὥστε ἀναλαμβανόμενον αὖ-
θις τὸν ἀθροιζόμενον οἶνον ἐν αὐτῇ καταντλεῖσθαι δεύτερον. Γνω- 123
στέον δὲ ὡς τὸ κῦρος τῆς θεραπείας ἡ ἐπίτεγξις ἔχει, κατά γε τὰς
πρώτας ἡμέρας, ἡνίκα ἐκθλῖψαί τε χρὴ τῶν ἡλκωμένων μορίων
ὅσον ἤδη φθάνει κατὰ αὐτὰ περιττῆς ὑγρότητος ἠθροῖσθαι, κωλῦ-
σαί τε τὸ ἄνωθεν ἐπιρρέον· ἀπὸ δὲ τῆς τρίτης ἡμέρας ἡ πισσηρὰ
κηρωτὴ χρησιμωτέρα, πέττουσα τὰ κατὰ τὸ ἕλκος. Ἀλλὰ ὅ γε Ἱπ- 124
ποκράτης εὐθέως ἐξ ἀρχῆς αὐτὴν παραλαμβάνει, τὴν ἐκ τοῦ οἴνου
δύναμιν οὐκ ἐθέλων ἀκραιφνῆ προσπίπτειν τοῖς ἡλκωμένοις μορίοις,
ἀλλὰ κατὰ διάδοσιν, ὅπως μή τις ἀνία γένηται διὰ τὴν στύψιν.
| Πολλάκις δὲ καὶ ἀποσχίδες ὀστῶν καὶ λεπίδες ἀποπίπτουσιν ἐν 125 81
τῷ χρόνῳ, καὶ βέλτιον αὐταῖς ἐστιν ὑπὸ τῆς φύσεως ὠθουμέναις
κατὰ βραχὺ τὴν ἔκπτωσιν ἐν χρόνῳ ἔχειν, οὐ διὰ φαρμάκων ἐρε-
θισθείσαις, ἢ διὰ ὀργάνων ἑλκυσθείσαις· ὅσα μὲν γὰρ ὑπὸ βίας

par un canal, et tombait dans un bassin vide; de cette manière le vin
qui se rassemblait dans ce bassin pouvait être recueilli et servir à une
seconde affusion. Il faut savoir que le point capital du traitement con- 123
siste dans l'humectation, du moins pendant les premiers jours, lorsqu'il
s'agit d'expulser des parties ulcérées tous les liquides superflus qui s'y
étaient déjà rassemblés auparavant, et de réprimer ce qui afflue d'en
haut; mais, à compter du troisième jour, le cérat au goudron est plus
utile que le vin, parce qu'il amène à maturité les humeurs qui se trou-
vent au niveau de la plaie. Cependant Hippocrate (*Fract.* § 24) emploie 124
dès le début cette espèce de cérat, parce qu'il ne veut pas que les qua-
lités actives du vin viennent frapper sans mélange les parties ulcérées;
il veut qu'elles les frappent seulement par voie de transmission, de peur
que l'astringence du vin n'ait quelque conséquence fâcheuse. Souvent, 125
par l'effet du temps, des esquilles et des fragments se détachent de
l'os; et il est à désirer que, poussés par la nature, ils soient expulsés
peu à peu, et non par l'action de médicaments irritants ou d'instru-
ments : en effet, tous ceux qu'on retire d'un seul coup avec violence,

3. γε] τε R. — 12. αὐτοῖς RU. — Ib. ὠθουμένοις RU Gal. — 13. σχεῖν R. — 13-14. ἐρεθισθεῖσι RU Gal. — 14. ἑλκυσθεῖσιν RU; ἐκλυθεῖσιν Gal.

Cocchi 81.
ἀθρόως ἀποσπᾶται, συριγγώδεις ἐργάζεται κοιλότητας, ὅσα δὲ ὑπὸ
τῆς φύσεως ὑποφυούσης ἤτοι πωροειδῆ τινα οὐσίαν, ἢ σάρκα, ταῦτα
ἐκπεσόντων τῶν τῆς ἐκπτώσεως δεομένων, εὐθέως φαίνεται πλήρη,
καὶ διὰ ταχέων ἐπουλοῦται, προσαχθέντος αὐτοῖς μετρίως ξηραί-
126 νοντος καὶ στύφοντος φαρμάκου. Καὶ νευρώδη δέ τινα καὶ ὑμενώδη
σώματα πολλάκις ἐκπίπτει, διαπυΐσκοντα μὲν ἀκινδύνως ἐν χρόνῳ
πλείονι κατὰ βραχὺ, βιασθέντα δὲ ὑπὸ φαρμάκων δριμέων, ἢ διὰ
ὀργάνου τινὸς, ἢ διὰ τῶν ἡμετέρων δακτύλων ἀποσπασθέντα, συμ-
παθείας ἐπάγεται τῶν ὑποκειμένων μορίων, ὡς καὶ φλεγμῆναι
127 καὶ πυρέξαι καὶ παραφρονῆσαι καὶ σπασθῆναι. Τῶν δὲ ὀστῶν ἀπο-
πρίειν ἐκεῖνα προσῆκεν ὅσα γε κατὰ τὰς ἐμβολὰς ἐμποδίζει, καὶ
ὅσα λυπεῖ τὰς ψαυούσας σάρκας, καὶ ὡς Ἱπποκράτης φησὶν, δυσθε-
σίην παρέχει, τουτέστι δυσχερῆ καὶ ἀνιαρὰν τὴν αὐτῶν θέσιν.
128 Δῆλον δὲ ὅτι τὰ γυμνωθέντα τῶν σαρκῶν ὀστᾶ καὶ μὴ παραχρῆμα

laissent après eux des cavités fistuleuses; au contraire, ceux qui sont expulsés par la nature, laquelle fait naître au-dessous d'eux une substance calleuse, ou bien de la chair, laissent voir, après leur séparation complète, une surface unie, qui se cicatrise rapidement, pourvu qu'on
126 y applique un médicament modérément desséchant et astringent. Souvent aussi on voit tomber certains corps nerveux ou membraneux dont la chute n'entraîne aucun danger, s'ils sortent peu à peu, par l'effet de la suppuration, dans un espace de temps assez long; mais, si nous agissons violemment sur ces corps, à l'aide de médicaments âcres, ou si nous les arrachons avec quelque instrument, ou avec nos doigts, il survient des affections consécutives des parties sous-jacentes, d'où résultent in-
127 flammation, fièvre, délire ou convulsions. Il convient d'enlever avec la scie les parties des os qui forment un obstacle à la réduction, qui irritent les chairs environnantes, ou qui donnent lieu, comme Hippocrate le dit (*Fract.* § 33), à une mauvaise position, c'est-à-dire dont la position
128 [dans le lieu qu'ils occupent] est incommode et pénible. Il est clair que les os dénudés de chair, qui n'ont pas été immédiatement réduits, se

1-2. ὑπὸ τῆς φύσεως om. Gal. — 2. τήν U. — 8-9. συμπάθειαν R. — 12. ὡς αὐτὸς εἶπε Gal. — 12-13. δύσθεσιν U; δυσαισθησίην Gal. — 13. ἀγρίαν Gal.

Cocchi 81-82.

καταταθέντα καταξηραίνεταί τε καὶ ἀποπίπ7ει. Κακῶς δὲ διαπλασθέντων ποτὲ τῶν καταγέντων ὀσ7ῶν, ἐὰν μὲν μηδέπω πεπωρωμένῳ περιτύχῃς, διασ7ρέψας εἰς τὸ κατὰ φύσιν ἐπάναγε, πεπωρωμένῳ δὲ ἐντυχὼν, ὕδατι μετὰ ἐλαίου πολλοῦ καταντλήσας, εἶτα διατείνας ἰσχυρῶς, πρῶτον μὲν κάταξον ὡς ἐξ ἀρχῆς ἦν κατεαγὸς, ἐφεξῆς δὲ ἐν τῷ κατὰ φύσιν σχήματι διάπλασσε, καὶ μετὰ ταῦτα ἐπίτρεπε τῇ φύσει πωρῶσαι τὸ κατεαγὸς ἐν τούτῳ τῷ σχήματι. 129

β'. Περὶ ῥινὸς καταγείσης. 82

Τὰ θλάσματα τῆς ῥινὸς πειρᾶσθαι χρὴ μάλισ7α μὲν ἀφλέγμαντα διαφυλάτ7ειν, εἰ δὲ καὶ φλεγμήνειεν, ἀφλέγμαντα ποιεῖν ὡς τάχισ7α. 1 Δεῖται δὲ οὐδὲν ἐπιδέσεως, ἀλλὰ ἀρκέσει τὸ μέσον τοῦ ὀθονίου κατὰ τοῦ μέσου τῆς ῥινὸς ἐπιβάλλοντα, μὴ βιαίως ἀπάγειν τῶν σκελῶν ἑκάτερον ὀπίσω τῆς κεφαλῆς, ἐντεῦθέν τε ἐπὶ τὸ μέτωπον 2

dessèchent et tombent. Si parfois la coaptation des os a été mal faite, et 129 si vous trouvez l'os non encore recouvert de cal, remettez-le, par une sorte de torsion, dans sa position naturelle; si, au contraire, vous rencontrez un os déjà recouvert de cal, vous ferez une affusion d'eau combinée à une grande quantité d'huile; après une extension vigoureuse, vous commencerez par casser l'os tel qu'il avait été cassé originairement; puis vous ferez la coaptation dans la position naturelle, et, après cela, vous vous en rapporterez à la nature pour recouvrir l'os fracturé de cal dans cette position-là.

2. DE LA FRACTURE DU NEZ.

Il faut surtout tâcher de préserver de l'inflammation les contusions du 1 nez, et, si cette inflammation s'est déclarée, on la fera disparaître aussi vite que possible. Aucune contusion du nez n'exige une déligation; il 2 suffira, après avoir placé le milieu de la bande sur le milieu du nez, d'amener doucement chacun des deux chefs sur la partie postérieure de la tête, et de poursuivre l'application de l'appareil en les faisant aller

1. κατατεθέντα Gal.; ταχθέντα RU. — Ch. 2, l. 11-12. τῶν δαελῶν (sic) — Ib. τε om. U. — 6. ἐν om. RU. ἑκάσ7ην U.

Cocchi 82.
3 ἄγοντα δῆσαι. Καταπλάσσειν δὲ ἀλεύρῳ γλίσχρον σταῖς ἐργαζο-
μένῳ, προσβάλλοντα κόμμι, ἢ μάνναν ὀλίγην· ἐγὼ δέ ποτε μήτε
4 μάννης, μήτε κόμμεως εὐπορῶν ἐχρησάμην ὑγρᾷ ῥητίνῃ. Χρή-
σαιο δὲ ἄν ποτε καὶ μέλιτι, μηδὲ ταύτης παρούσης, ἀλλὰ ἄμεινον
ἐπὶ τὴν μάνναν ἔρχεσθαι καὶ τὸ κόμμι· θερμαίνει γάρ πως τό τε
μέλι καὶ ἡ ῥητίνη, τὰ δὲ τοιαῦτα κατὰ τὰς ἀρχὰς ἐστιν ἄχρηστα,
προϊόντος μέντοι τοῦ χρόνου καὶ μένοντός του λειψάνου τῆς φλεγμο-
5 νῆς, ταῦτα γίνεται τῶν ἄλλων χρησιμώτερα. Διαπλάττομεν δὲ τὸ
κατεαγὸς τῆς ῥινὸς, ὅταν μὲν ἐγχωρῇ, τοῖς δακτύλοις χρώμενοι,
καθιέντες εἰς τοὺς μυκτῆρας, ὅταν δὲ μὴ ἐνδέχηται, σπαθομήλαις,
ἀνάγοντες οὐ κατὰ τὸ πρόσθεν μέρος τῆς ῥινὸς, ἀλλὰ κατὰ ὃ μά-
λιστα καταπέπτωκεν εἰς τὴν κοιλότητα τὸ κατεαγὸς αὐτῆς· ἐκεῖνο
γάρ ἐστι τὸ καὶ τῆς μοχλείας δεόμενον, ἵνα ὑψωθὲν εἰς τὴν κατὰ
φύσιν ἀφίκηται χώραν· οὐδὲ γὰρ οὐδὲ ἄλλο τι τὸ διαπλάττειν ἐστὶν
ὁτιοῦν μέρος ἔξω τοῦ τὴν οἰκείαν ἑκάστῳ τῶν μερῶν αὐτοῦ διδόναι

3 de là au front. On enduira la bande de farine propre à former une pâte
tenace, à laquelle on ajoute un peu de gomme ou de poudre d'encens;
quelquefois, n'ayant pas de poudre d'encens ou de gomme à ma dispo-
4 sition, je me suis servi de la résine liquide. Si vous n'avez même pas
cette résine sous la main, vous pourrez aussi employer du miel; mais il
vaut mieux recourir à la poudre d'encens ou à la gomme, car le miel et
la résine échauffent un peu; or de pareils ingrédients sont peu recom-
mandables au début; plus tard, au contraire, et quand il y a un reste
de l'inflammation qui persiste, ces substances deviennent plus utiles que
5 les autres. S'il est possible, nous faisons la coaptation de la partie frac-
turée du nez avec les doigts, que nous introduisons dans les narines, et,
si cela ne se peut pas, nous avons recours à des sondes larges, que nous
appuyons, en relevant, non sur la partie antérieure du nez, mais là où
la portion fracturée de cet organe s'est le plus fortement affaissée sur sa
cavité; car c'est justement cette portion qui a besoin d'être soulevée, afin
que, remontant, elle prenne sa position naturelle; en effet, la coapta-
tion d'un organe quelconque ne consiste pas en autre chose qu'à rendre à

1. γλίσχρῳ R. — 11. τῆς σαρκός R text.; γρ. τῆς ῥινός marg.

Cocchi 82.
χώραν. Ἅπασα δὲ ἡ διὰ τῶν προσκολλημάτων ἀντίτασίς τε καὶ 6
οἷον εὔθυνσις τῆς διεστραμμένης ῥινὸς ἀσθενὴς ἐφάνη μοι πειρω-
μένῳ· εἰ μὲν γὰρ ἰσχυρότερον τείναις αὐτὸ, ἀποκολλᾶταί τε καὶ
ἀφίσταται· μετρίως δὲ τείνοντος, οὐδὲν ἀξιόλογον περαίνεται.

γʹ. Περὶ γένυος καταγείσης.

Τῶν κατεαγότων μορίων τῆς γένυος τὴν ἀντίτασιν χρὴ γίνε- 1
σθαι, τὸ μὲν ἕτερον μέρος τοῦ κατεαγότος ὀστοῦ πρὸς τὸ γένειον
τεινόντων κάτω, τὸ δὲ ἕτερον ἄνω πρὸς τὴν κεφαλήν. Ἱμάντες δὲ 2
ἔστωσαν ἁπαλοὶ, τὰ πέρατα ἔχοντες κατὰ βραχὺ μειούμενα τοῦ
πλάτους, ὅπως ἡ δέσις ἀσφαλεστέρα γένηται· τὰ γὰρ πλατύτερα
κἂν ἐπιμελῶς τις δήσῃ, τὸ μόνιμον οὐκ ἔχει. Ἀναφέρειν δὲ δεῖ 3
πρὸς τὴν κεφαλὴν τοῦ κάμνοντος ἀμφότερα τοῦ ἵμαντος τὰ πέ-
ρατα, καὶ δεσμεῖν κατὰ τὴν κορυφὴν αὐτῆς· μᾶλλον δὲ δεῖ τετά-

chacune de ses parties la position qui lui est propre. J'ai constaté par l'ex- 6
périence que toute double extension, ou, pour ainsi dire, tout redres-
sement d'un nez tordu, opéré par les agglutinatifs, est peu efficace; en
effet, si vous tirez trop fort, l'appareil se décolle et se détache [des par-
ties fracturées], et, si vous tirez modérément, vous n'obtenez aucun ré-
sultat sérieux.

3. DE LA FRACTURE DE LA MÂCHOIRE [INFÉRIEURE].

La double extension des parties fracturées de la mâchoire inférieure 1
doit se faire en tirant l'un des fragments de l'os fracturé en bas vers le
menton, et l'autre en haut vers la tête. Les courroies [dont on se ser- 2
vira à cet effet] doivent être douces, et doivent se rétrécir peu à peu
vers leurs extrémités, afin que la déligation en devienne d'autant plus
sûre; car, si ces extrémités ont une certaine largeur, elles n'ont pas
l'avantage de rester en place, même quand on applique l'appareil avec
soin. Il faut faire remonter vers la tête du malade les deux chefs de la 3
courroie, et les lier au sommet de cette partie; mais on tirera plus for-
tement la courroie qui est en dessous, pour amener la mâchoire à se ter-

1. κολλημάτων U. — Ch. 3, l. 12. πρός U.

Cocchi 82-85.

85 σθαι τὸν κάτω, χάριν τοῦ τὴν γέννν εἰς ὀξὺ πέρας ἄγεσθαι. | 4 Χρὴ δὲ ἐπιδεῖν προσσlέλλοντάς τε καὶ καταναγκάζοντας τὸ ἐξεσlηκὸς μέρος τῆς γνάθου πρὸς τὸ ἕτερον· ἔσlαι δὲ τοῦτο τῶν ὀθονίων αὐτὸ προσαγόντων ἐκείνῳ· προσαχθήσεται δὲ εἰ μὲν τὸ δεξιὸν μέρος εἴη τὸ ἐξεσlηκὸς, ἐντεῦθεν μὲν ἀρχομένων, ἐπὶ δὲ τὸ ἀρισlερὸν ἀγόντων τὸν ἐπίδεσμον· εἰ δὲ τὸ ἀρισlερὸν εἴη πεπονθὸς, ἐκεῖθεν μὲν ἀρχομένων, ἐπὶ δὲ τὸ δεξιὸν ἀφικνουμένων. 5 Ἐμβάλλοντα δὲ δεῖ τῷ σlόματι τὸν δάκτυλον ἐπισκοπεῖσθαι μή τι παραλλάσσῃ τὰ μέρη τοῦ κατεαγότος ὀσlοῦ, καὶ οὕτως ἐπανορθοῦσθαι τῷ δακτύλῳ πρὸς ὅ τι περ ἂν δόξῃ συμφέρειν, ἀντωθοῦντα τὸ εἴσω ῥέπον πρὸς τὴν ἐκτὸς χώραν. 6 Ὅτι δὲ οὐκ αὐτὸν τὸν ἰατρὸν ἀεὶ χρὴ τοῦτο ποιεῖν, ἀλλὰ τὸν κάμνοντα διδάξαι πράτlειν οὕτω, δῆλον εἶναι νομίζω.

δ'. Περὶ κλειδὸς καταγείσης.

1 Ὅταν μὲν ὁλοκλήρως ἡ κλεὶς ἀποκαυλισθῇ, παραλλάτlειν εἴωθε

4 miner en pointe aiguë. Il faut faire la déligation en redressant le fragment saillant de la mâchoire, et en le forçant de s'appliquer contre l'autre; or on obtiendra ce résultat, si les bandes rapprochent le dernier fragment du premier; le rapprochement s'effectue quand le fragment droit fait saillie, si on commence de ce côté-là et qu'on amène la bande au côté gauche; quand c'est, au contraire, le côté gauche, si on commence de ce côté-là et qu'on aboutisse au côté droit. 5 On constatera, en introduisant le doigt dans la bouche, si les fragments de l'os fracturé ne chevauchent pas quelque peu; dans ce cas on les redressera avec le doigt dans le sens qui paraîtra le plus convenable, en repoussant vers l'extérieur le fragment qui s'avance dans l'intérieur de la bouche. 6 Il est clair, ce me semble, que cette opération ne doit pas toujours être faite par le médecin lui-même, mais qu'il doit enseigner au malade à l'imiter.

4. DE LA FRACTURE DE LA CLAVICULE.

1 Quand la clavicule a été entièrement brisée, habituellement ses frag-

2. προσlέλλοντάς RU Gal. — 3. τῆς εἰς ὅ Gal. — Ib. ῥέπει Gal. — Ch. 4, ...ἕτερον om. Gal. — 10. ἀντωθοῦντα l. 13. μὲν οὖν Gal.

Cocchi 85.

τοὐπίπαν ἀλλήλων τὰ μόρια, καὶ τὸ μὲν ἄνω χωρεῖν, τὸ δὲ κάτω, καὶ τὸ μὲν ἔξω, τὸ δὲ ἔσω, καὶ κατὰ τοῦτο Φαίνεται μέγα τε τὸ κάταγμα καὶ δυσίατον εἶναι· κατὰ δὲ τὸν ἕτερον τρόπον ἡνίκα παραμήκης ἐσῖιν ἡ διάθεσις τοῦ κατάγματος, ἡ μὲν Φαντασία μικροτέρα, χαλεπωτέρα δὲ ἡ ἴασις· οὐ γὰρ ἐπιδέχεται τὴν ἐν κύκλῳ περιβολὴν ὥσπερ τὰ κῶλα, μόνην δυναμένην προσσῖεῖλαι καὶ παραγαγεῖν τὸ παρὰ μῆκος ἀπεσχισμένον τῆς κλειδός. Ὅταν οὖν 2
τὸ συνεχὲς τῷ σῖέρνῳ μέρος τῆς κλειδὸς ἢ εἰς τὸ πλάγιον, ἢ εἰς τὸ κάτω παρολίσθῃ, τηνικαῦτα γένοιτο ἂν ἡ κατόρθωσις, εἴ τις τὸν ἄνθρωπον ὕπῖιον κατακλίνας ὑποθείη μεταξὺ τῶν ὠμοπλατῶν κατὰ αὐτὴν τὴν ῥάχιν προσκεφάλαιον, ὡς καθάπερ κεκλασμένον κατὰ τοῦτο γίνεσθαι τὸν θώρακα σύμπαντα· σχηματισθέντος γὰρ οὕτω τἀνθρώπου, τὸν ἰατρὸν χρὴ τῇ μὲν ἑτέρᾳ χειρὶ τὴν κεφαλὴν τοῦ βραχίονος ἀπωθεῖν ἐκτός· οὕτω γὰρ ἂν διασῖαίη μάλισῖα τὰ κατεαγότα μόρια τῆς κλειδός· διαπλάτῖειν δὲ τῇ ἑτέρᾳ χειρὶ καὶ συνά-

ments chevauchent l'un sur l'autre; l'un va en haut, et l'autre en bas; l'un en dedans, et l'autre en dehors; et, dans ce cas, la fracture semble être grave et difficile à guérir; au contraire, dans l'autre mode de lésion, lorsque la fracture a une direction longitudinale, le cas a moins de gravité en apparence, mais sa guérison est plus difficile; en effet, la fracture de la clavicule ne permet pas, comme celle des membres, l'application d'une bande circulaire, appareil seul capable de redresser et rapprocher les fragments dans cette fracture lorsqu'elle est longitudinale.
Lors donc que la partie de la clavicule attachée au sternum s'est portée 2
latéralement ou en bas, la réduction se fera, le malade étant couché sur le dos, en mettant un oreiller entre les omoplates, sous l'épine du dos, de sorte que la poitrine tout entière subisse, pendant ce temps, une espèce de flexion; en effet, quand le malade est placé dans cette position, le médecin doit, avec l'une de ses mains, pousser la tête de l'humérus en dehors, vu que, de cette manière, les parties fracturées de la clavicule s'écarteront très-fortement; avec l'autre main il fera la coapta-

2. τὸ μὲν ἔσω, τὸ δὲ ἔξω U. — Ib. γε RU. — 6. προσῖ. RU Gal. — 7. προσαγαγεῖν U. — 11. προσκεφάλαιον ἢ ὑπαυχένιον R; προσκ. ἢ ὑπαυχ. ἤ τι τοιοῦτον Gal. — Ib. ὡς περικεκλασμένον U.

Cocchi 85.
γειν πρὸς ἄλληλα τὰ διεστῶτα τῆς κλειδὸς μόρια, τὸν βραχίονα
3 πρὸς τὰς πλευρὰς παρατεταμένον ἀνάγοντα. Τὰ πολλὰ μὲν οὖν
κατορθοῦται διὰ τῆς προκειμένης ἐνεργείας· εἰ δέ γε ἐν τῷ πράτ-
τειν αὐτὴν μὴ ὑπακούοι τὸ ἔργον, ἐπὶ ἕτερον σχῆμα μεταβαίνειν,
τὸν ἀγκῶνα παράγοντα πρὸς τὸ στῆθος, ὡς ἄκραν τὴν χεῖρα θέ-
4 σιν ἴσχειν παρὰ αὐτὸ τὸ ἀκρώμιον τοῦ ὑγιοῦς ὤμου. Τὸ δὲ τοιοῦ-
τον σχῆμα πρὸς τὴν ἐκτὸς χώραν ἀπάγει δηλονότι τὴν κεφαλὴν
τοῦ βραχίονος, ᾧ συναπάγεται καὶ τὸ τῆς κλειδὸς μέρος τὸ συνημ-
μένον τῷ ἀκρωμίῳ.

ε'. Περὶ τῶν ἐν πλευροῖς καταγμάτων.

1 Τὰ κατάγματα τῶν πλευρῶν τοῦτον ἐπιδοῦμεν τὸν τρόπον, ὅνπερ καὶ τὰ κῶλα· τῶν μὲν γὰρ δεξιῶν πεπονθότων, τὴν ἀρχὴν ἐνταῦθα βάλλοντες τὴν νομὴν ἐπὶ ἀριστερὰ ποιούμεθα· τῶν δὲ ἀριστερῶν, ἀπὸ τούτων ἀρξάμενοι τὴν οἷον ὁδοιπορίαν τῆς ἐπιδέσεως

tion, et mettra en contact les fragments écartés l'un de l'autre, en
3 soulevant le bras étendu le long des côtes. La plupart des fractures de
la clavicule sont réduites par le procédé que nous venons de décrire;
mais si, pendant qu'on le met en œuvre, le résultat ne répond pas aux
efforts, il faut avoir recours à une autre position, et rapprocher le coude
de la poitrine, de telle manière que la main se trouve placée près du
4 sommet même de l'épaule du côté bien portant. Une pareille position
imprime, bien entendu, à la tête de l'humérus un mouvement d'abduction vers l'extérieur, et la partie de la clavicule attachée au sommet de l'épaule prend part à ce mouvement.

5. DES FRACTURES DES CÔTES.

1 Nous appliquons aux fractures des côtes le même appareil que pour les membres; en effet, quand les côtes droites sont lésées, nous plaçons le chef de la bande de ce côté-là, et nous la déroulons en allant à gauche; si ce sont, au contraire, les côtes gauches, nous commençons par elles ce qu'on pourrait appeler la marche de la déligation, et nous

6. αὐτό om. Hipp. — 8. ὡς U Gal. — Ch. 5, l. 12. βαλλόμενοι R Gal.

Cocchi 85-86.

ἐπὶ τὸ δεξιὸν μέρος ἐργαζόμεθα. | Χωρὶς μὲν οὖν περιθλάσεως ὅταν 86
ἁπλᾶ καὶ μόνα γένηται τὰ κατάγματα τῶν πλευρῶν, τῇ μὲν φαντασίᾳ χαλεπώτερα τῆς περιθλάσεώς ἐστι, τῇ δυνάμει δὲ ἐπιεικέστερα· 2 θεραπεύεται γὰρ ἄνευ κινδύνου τάχιστα· χωρὶς δὲ κατάγματος ὅταν αἱ περὶ τὰς πλευρὰς σάρκες θλασθῶσιν, εἰς μέγιστον ἐνίοτε κίνδυνον ἥκουσιν οἱ οὕτω παθόντες.

ς'. Περὶ ἀπάγματος.

Οὐχ ἕτερόν τι γένος πάθους ἐστὶ τὸ ἄπαγμα τοῦ κατάγματος, 1
ἀλλά ἐστι τὸ ἄπαγμα κάταγμα κατὰ τὸ τῆς διαρθρώσεως χωρίον γινόμενον. Ἐν δὲ τῇ κατὰ ἀγκῶνα διαρθρώσει ποτὲ μὲν τὸ τοῦ πήχεως ὀστοῦν ἀπάγνυται, ποτὲ δὲ τὸ τοῦ βραχίονος. Ἀπάγνυται δὲ ὁ πῆχυς κατὰ τρεῖς ἑαυτοῦ τόπους, ποτὲ μὲν κατὰ τὴν βαθμῖδα, ὅτε καὶ πλανῶδες μάλιστα ἐν τούτῳ τῷ κατάγματι τὸ τοῦ βραχίονος ἄρθρον γίνεται, μηκέτι ἐπὶ βάσεως ἀσφαλοῦς στηριζόμενον, 2 3

l'effectuons en allant au côté droit. Lorsque, aux côtes, il n'y a qu'une 2
fracture simple et unique, sans contusion des parties environnantes, l'affection est, en apparence, plus grave qu'une contusion simple; mais elle est essentiellement plus bénigne, car elle se guérit très-vite et sans danger; au contraire, si les chairs qui entourent les côtes ont subi une contusion, sans qu'il y ait fracture, les malades affectés d'une pareille lésion courent quelquefois un très-grand péril.

6. DE L'ABRUPTION (*FRACTURE ARTICULAIRE*).

Une abruption n'est pas autre chose qu'une fracture; c'est une frac- 1
ture qui a lieu dans la région de l'articulation. Dans l'articulation du 2
coude, c'est quelquefois le cubitus, et d'autres fois l'humérus qui subit
une abruption. Le cubitus peut se casser en dedans de l'articulation dans 3
trois points de son étendue : quelquefois cet os se casse au niveau de la cavité (*cavité olécranienne*); c'est surtout dans cette espèce de fracture que la partie articulaire de l'humérus devient flottante, vu qu'elle ne

1. Χ. μ. ο. ἐπιθλάσεως RU; om. Gal. — 3. τῆς ἐπιθλάσεως U; τῶν περιθλάσεων Gal. — 5. ταῖς πλευραῖς R. — Ch. 6, l. 11. τρόπους RU.

Cocchi 86.
ποτὲ δὲ ἐπὶ ἑκάτερα ταύτης, ἢ ἐν τοῖς ὀπίσω μέρεσι κατὰ τὸ τοῦ
ἀγκῶνος χωρίον, ἢ ἐν τοῖς πρόσω κατὰ τὴν ἀρχὴν τῆς ἐκφύσεως
4 τοῦ προσθίου κορωνοῦ. Χείρισται δέ εἰσιν αἱ θλάσεις τῶν κατὰ τὴν
διάρθρωσιν ταύτην παθημάτων· οὐ γὰρ ἐπὶ τοῖς τῶν ὀστῶν πάθε-
σιν αὐτοῖς διὰ ἑαυτὰ κίνδυνος ἕπεται τοῖς πάσχουσιν, ἀλλὰ ὅτι
5 συμπάσχουσιν οἵ τε μύες καὶ οἱ τένοντες καὶ τὰ νεῦρα. Εἴπερ οὖν
ὁπότε συμπάσχουσι κίνδυνον ἐπιφέρουσι, πολὺ μᾶλλον ὅταν αὐτοὶ
πρῶτοι πάθωσιν.

ζʹ. Περὶ τῶν ἐν κεφαλῇ τραυμάτων. Ἐκ τῶν Ἡλιοδώρου.

1 Πᾶν τραῦμα τῇ αὐτοψίᾳ καὶ τῇ μηλώσει καταλαμβάνεται, τῇ
μὲν αὐτοψίᾳ ἢ ἁπλοῦν ὁρώμενον, ἢ μετὰ περιθλάσεως σωμάτων,
τῇ μηλώσει δὲ τὸ βάθος αὐτοῦ καταλαμβάνεται, ἐάν τε ἐπιπόλαιον
2 ᾖ, ἐάν τε βαθύ. Εἰ δὲ βαθύτατον εἴη τὸ τραῦμα, συνδιακεκομμέ-

s'appuie plus sur une base solide; d'autres fois le cubitus se casse de
l'un des deux côtés de la cavité, soit en arrière, dans la région du coude,
soit en avant, à la base de l'apophyse antérieure en bec de corneille
4 (*apoph. coronoïde*). Les affections les plus graves de cette articulation sont
les contusions; car, considérées en elles-mêmes, les affections des os ne
mettent pas les malades en danger; elles ne le font que parce que les
5 muscles, les tendons et les nerfs prennent part à leur affection. Si donc
la lésion de ces parties met la vie du malade en danger, quand elles
prennent part à l'affection de l'os, à bien plus forte raison le fait-elle
quand ces parties elles-mêmes sont le siége de l'affection primitive.

7. DES PLAIES DE LA TÊTE. — TIRÉ D'HÉLIODORE.

1 On constate dans quel état se trouve une plaie quelconque [de la tête],
soit par l'inspection, soit par l'introduction de la sonde : par l'inspec-
tion, on voit si elle est simple ou accompagnée de contusion des par-
ties environnantes; par l'introduction de la sonde, on constate la pro-
2 fondeur de la plaie, qu'elle soit superficielle ou profonde. Si la plaie
est très-profonde, et si le péricrâne a été intéressé aussi bien que les

1. δέ om. U. — 3. τήν om. U.

νου τοῦ περικρανίου ὑμένος, καθεθεῖσα ἡ μηλωτρὶς ἀντιτύπῳ τῷ
ὀσ7έῳ ἐπερεισθήσεται· ἐὰν δὲ ᾖ ἐξασμένος ὁ περικράνιος ὑμὴν,
ὑμενώδη σώματα φανήσεται. Ἐάν τε τετρωμένος ᾖ, ἐάν τε τεθλα- 3
σμένος, τὴν ἐπιδιαίρεσιν ζητεῖ πρὸς ἀκίνδυνον θεραπείαν· μὴ ἐπι-
διαιρεθέντος γὰρ αὐτοῦ, ἢ ἄλλως ἀπείρως θεραπευθέντος, ἐπιγίνε-
ται φλεγμονὴ τοῦ ὑμένος. Καὶ καταρχὰς μὲν ὁ τοῦ τραύματος τόπος 4
οἰδεῖ μετὰ ὀδύνης· βραδυνούσης δὲ τῆς ἐπιμελείας, τῷ πρωτοπαθή-
σαντι τόπῳ συμπάσχειν εἴωθεν ὁ περικράνιος ὑμήν· οἰδήσαντος δὲ
αὐτοῦ, τὰ σκέποντα συνοιδεῖ σώματα, ὡς τὴν ὅλην ἐπαίρεσθαι κε-
φαλὴν, ἐνίοις δὲ καὶ τὸ πρόσωπον μετὰ πυρετοῦ ὀξυτάτου. Καὶ τοῖς 5
μὲν ἀκινδυνότερον διατελοῦσι πυοῦται ὁ ὑμὴν, ὥσ7ε κατὰ πολλὰ
μέρη τὴν κεφαλὴν | ἀφίσ7ασθαι· τοῖς δὲ χαλεπώτερον διάγουσι, τού- 89
τοις χολημεσία, παρακοπὴ, σπασμὸς ἕπεται, καὶ οἱ πλεῖσ7οι

téguments, la sonde s'appuiera sur l'os, qui est un corps résistant; si
cette membrane est devenue rugueuse, on sentira que la sonde touche
des parties membraneuses. Qu'il y ait une plaie ou une contusion au 3
péricrâne, cette membrane exige, si on veut instituer un traitement
exempt de danger, qu'on agrandisse l'incision; car, si on ne l'agrandit
pas, ou si, de quelque autre manière, on traite ces affections comme le
ferait un homme sans expérience, il survient une inflammation de la mem-
brane en question. Au début, la région de la plaie devient le siége d'un 4
gonflement douloureux, et, si on tarde à instituer un traitement, la mem-
brane qui entoure le crâne peut prendre part à la souffrance de la partie
qui a été affectée la première; puis, cette membrane s'étant gonflée, les
parties qui la recouvrent se gonflent également, de manière que tout le
cuir chevelu se tuméfie; chez quelques malades, il survient également
une tuméfaction de la face, accompagnée d'une fièvre suraiguë. Chez 5
ceux qui sont dans les conditions les moins fâcheuses, le péricrâne entre
en suppuration, de telle sorte, que, sur plusieurs points du cuir chevelu,
il se forme des abcès; ceux, au contraire, qui se trouvent dans un état
plus grave, sont pris de vomissements bilieux, de délire ou de convul-

2. ἐξεσμένος R. — 3. Ἐάν τε ex em.; ἐὰν δέ RU. — 3-4. ἐὰν δὲ ᾖ τεθλασμένος R. — 12. χαλεπώτερον τούτων διάγουσι R.

Cocchi 89.
6 ἀπόλλυνται. — Τοῦ δὲ τραύματος κατὰ κροτάφου γεγονότος, ἐπιπολαίου μὲν, μόνου τοῦ δέρματος διακεκομμένου, ἀκίνδυνος γίνεται ἡ θεραπεία· χαλεπὴ δὲ βαθυτάτου γεγονότος τοῦ τραύματος, τοῦ
7 μυὸς διατιθεμένου. Φαίνεται δὲ καὶ αὐτὸς ὁ μῦς τετρωμένος, ἢ διῃρημένος· σαρκωδέσΊερον μὲν γάρ ἐσΊι τὸ δέρμα, νευρώδης δὲ ὁ μῦς τῇ συγκρίσει, καὶ ἐκ μὲν τούτου κοινὸν αἷμα ἐκκρίνεται, ἐκ δὲ τοῦ μυὸς ξανθὸν, λεπΊὸν, θερμόν· ἐν γὰρ τοῖς μυσὶ μᾶλλον πλεονάζει
8 τὰ ἀρτηριώδη ἀγγεῖα. Πάλιν δὲ τοῦ τραύματος μὴ ἐπιδιαιρεθέντος, ἀγανακτήσαντος τοῦ μυὸς εἴωθε γίνεσθαι σπασμός.

η'. Θεραπεία τραυμάτων.

1 Ἐὰν οὖν γένηται τραῦμα μικρὸν ἐπιπόλαιον, μετὰ τὴν τῶν τριχῶν ἀποξύρησιν σπληνίον ἐπιτιθέσθω δυνάμεως ἀφλεγμάντου κολλητικῆς· ἐὰν δὲ μεῖζον ἢ καὶ βαθύτερον, τοῦ περικρανίου ὑμένος ἀπαθοῦς ὄντος, ἔναιμα ὄντα τὰ χείλη ῥαφαῖς συνάγειν δεῖ, ἔπειτα

6 sions, et la plupart meurent. — Si la plaie existe aux tempes, et si cette plaie est superficielle, la peau seule ayant été divisée, le traitement ne comporte pas de danger; mais il est difficile, si la plaie est très-
7 profonde et si le muscle est affecté. On peut constater que le muscle est blessé ou divisé; en effet, la peau est plutôt charnue, et le muscle a une structure nerveuse; la peau donne lieu à un écoulement de sang ordinaire, et le muscle en donne un de sang rouge, ténu et chaud; car,
8 dans les muscles, ce sont plutôt les vaisseaux artériels qui abondent. Si on n'élargit pas la plaie, en général il survient également des convulsions, parce que le muscle est péniblement affecté.

8. TRAITEMENT DES PLAIES [DE LA TÊTE].

105 τετραφαρμάκῳ ἀνειμένῃ χρήσασθαι, τῶν ἄλλων γενομένων ὡσαύ-
20 τως. Τῆς δὲ μήνιγγος ἀκαθάρτου οὔσης, κεφαλικῇ δυνάμει ἐξανει-
21 μένῃ τῷ ῥοδίνῳ χρήσθω, τῆς αὐτῆς ἀγωγῆς δοκιμαζομένης. Μετὰ δὲ
τὴν κάθαρσιν καὶ σάρκωσιν ἰσόπεδον γενόμενον τὸ ἕλκος κατουλῶ-
σαι δεῖ, ἤτοι σποδίῳ λείῳ, ἢ τρυφερᾷ δυνάμει καθαρτικῇ, ὁποία
ἐσlὶν ἡ διὰ τῆς καδμείας ἐξανειμένη ῥοδίνῳ.

κʹ. Περὶ φλεγμονῆς μήνιγγος.

1 Ἡ μῆνιγξ κυρία οὖσα ἐν φλεγμονῇ γενομένη κινδυνωδεσlάτη
ἐσlίν· διογκοῦται δὲ ἐν τῇ φλεγμονῇ μετὰ ἀντιτυπίας καὶ ἐρυθήμα-
τος, ἀλγήματός τε ἐπιγενομένου οὐ μόνου τοῦ τοπικοῦ, ἀλλὰ καὶ τῆς

18 Puis on essuiera avec une éponge et on oindra toute la tête, et l'on
fera, sans en rien omettre, tout ce que nous avons prescrit un peu
plus haut; les jours suivants on soignera encore le malade de la même
19 manière. On peut aussi employer le médicament aux quatre ingrédients
20 délayé, sans rien changer aux autres parties du pansement. Si la
membrane du cerveau n'est pas nette, on se servira d'un médicament
céphalique délayé dans l'huile aux roses, en recommandant [du reste]
21 le même traitement. Après la mondification et la production des bour-
geons charnus, on cicatrisera la plaie, qui, dès lors, aura acquis une
surface plane; on se servira en conséquence de cendres de zinc tri-
turées, ou d'un médicament mondificatif délicat : tel est, par exemple,
le médicament à la tutie, délayé dans de l'huile aux roses.

20. DE L'INFLAMMATION DE LA MEMBRANE DU CERVEAU.

1 Comme la membrane du cerveau est une partie importante, elle ex-
pose aux plus grands dangers quand elle est prise d'inflammation; dans
ce cas, elle devient le siége d'une tumeur résistante, accompagnée de
rougeur, et à la suite de laquelle il survient non-seulement une douleur

3. ἐξέσlω RU. — Ch. 20, l. 12. ἐπιγιν. U.

Cocchi 105.

ὅλης κεφαλῆς. Διογκοῦται δὲ ἐπὶ τοσοῦτον ἡ μῆνιγξ, ὥστε μὴ μό- 2
νον τὸν τῆς ἐκτρήσεως κύκλον πληροῦν, ἀλλά ποτε καὶ ὑπερέχειν
τὸ τοῦ ὀστέου πάχος, συνεχομένη δὲ ἀποτίθεται τὸ φυσικὸν ἑαυ-
τῆς σφυγματῶδες ἐνέργημα, συμπαρέπεται δὲ καὶ πυρετὸς ὀξύς·
τῇ δὲ φλεγμονῇ ἐπιγίνεται χολημεσία, παρακοπὴ, σπασμός. Οὐ 3
δεῖ δὲ ἀναμένειν ταῦτα ὀλεθρίου θανάτου ὄντα μηνυτικὰ, ἀλλὰ ἐν
ἀρχῇ τοῦ συμβεβηκότος ἔτι τῆς φλεγμονῆς ἀμυδροτέρας οὔσης ἐπι-
βοηθεῖν τῷ πάσχοντι. Ἐξετάζειν δὲ δεῖ ἐν πρώτοις, τί τὸ τῆς φλεγμο- 4
νῆς ἐστιν αἴτιον, καὶ τούτῳ ἐνίστασθαι. Ἐὰν μὲν οὖν ἐλλιποῦς τῆς 5
ἐκκοπῆς γεγενημένης, ὀξεῖα προὔχουσα καὶ νύσσουσα τὴν μήνιγγα,
καὶ δύνηται αὔτη ἠρέμα ἐκκοπῆναι, ἀποθραυσθήτω, τῆς μήνιγγος
ἀπαθοῦς τηρηθείσης· ὅταν δὲ ἀνωμαλίας οὔσης ξαίνηται, λειούσθω
ὁ τῆς ἐκτρήσεως κύκλος, ἵνα μὴ νύσσηται. Ταῦτα δὲ τὰ ἔργα γι- 6
νέσθω ἐὰν ᾖ ποσὴ εὐρυχωρία· ἂν δὲ ἐξ ἀδήλου αἰτίας γεγενημένη

locale, mais aussi une douleur de la tête entière. La tuméfaction de la 2
membrane du cerveau atteint un tel degré, qu'elle ne remplit pas seule-
ment toute la circonférence du trou percé dans le crâne, mais qu'elle
dépasse quelquefois aussi l'épaisseur de l'os; et, comme alors elle est
étranglée, elle perd l'activité pulsative qui lui était naturelle, symptôme
qui s'accompagne aussi d'une fièvre aiguë; en même temps, par suite de
l'inflammation, le malade est pris de vomissements bilieux, de délire et
de convulsions. Il ne faut pas attendre l'apparition de ces symptômes, 3
qui présagent une mort misérable, mais il faut porter secours au malade
dès le début et quand l'inflammation est encore faible. On tâchera d'é- 4
tablir en premier lieu quelle est la cause de l'inflammation, et on com-
battra cette cause. Si donc, l'excision ayant été insuffisante, il est resté une 5
esquille qui fait saillie et irrite la membrane du cerveau, et si cette esquille
peut être enlevée sans secousses, on la brisera, en évitant de léser la
membrane du cerveau; lorsqu'il existe quelque inégalité qui froisse
cette membrane, il faut, pour empêcher qu'elle ne s'irrite, ruginer
toute la circonférence du trou percé dans le crâne. On fera ces opéra- 6
tions quand on aura un certain espace à sa disposition; quand l'inflam-

6. ὀλέθρια U. — 9. οὔτως R. — 11. αὐτή U. — 14. γεγεν. μένη U.

Cocchi 105.
ἡ φλεγμονὴ, τὰ κατάλληλα βοηθήματα δοκιμαζέσθω, ταῖς πρώταις
ἡμέραις ὑποστολὴ, ἔπειτα λεπταὶ τροφαὶ προσαγόμεναι· ἀεὶ δὲ
7 ὑδροποσία σύμφορος, θερμοῦ ποτοῦ προσφερομένου. Σφοδροτάτης
δὲ οὔσης τῆς φλεγμονῆς ἐπὶ νέου πολυύλου, καὶ τῇ φλεβοτομίᾳ χρῆ-
8 σθαι. Ἐν δὲ τοῖς τοπικοῖς βοηθήμασι τὸ σύνολον οὐ συμφέρει τὴν
9 μήνιγγα βαρύνειν, ἀλλὰ ἀφόρτως αὐτὴν παρηγορεῖν. Ἁρμόζει δὲ
σκεπάσαι ὅλον τὸν ἀπὸ τῆς φλεγμονῆς ὄγκον λεπτῷ μαλακῷ καθαρῷ
10 ὀθονίῳ ῥοδίνῳ βεβρεγμένῳ. Εἶτα ἔξωθεν ὅλη ἡ κεφαλὴ καταπλασ-
σέσθω καταπλάσματι παρηγορικῷ, ὡς τῷ διὰ μελιλώτου ἢ λινο-
σπέρμου ἀλεύρου καὶ ἐλαίου σκευαζομένῳ, τοῦ σπληνίου ἐκτιτραμέ-
νου κατὰ τὸν τῆς ἀνατρήσεως τόπον, καὶ τὰ ἔξωθεν πάντα ἐρίῳ
11 κούφῳ σκεπέσθω. Ταῖς δὲ ἑξῆς ἡμέραις παραλαμβανέσθω κατάντλη-
σις ἀπὸ τήλεως ἢ μαλάχης ἀφεψημάτων μετὰ περιχύσεως ἐλαίου,

mation est le produit d'une cause inconnue, on recommandera les moyens
appropriés en pareil cas, à savoir, un régime sévère pendant les pre-
miers jours, et ensuite l'administration d'aliments légers; mais, pendant
tout le cours du traitement, il est utile de s'en tenir, comme boisson, à
7 l'eau; encore l'administre-t-on chaude. Si l'inflammation est très-intense
chez un jeune homme rempli de matériaux (*pléthorique*), on aura aussi
8 recours à la saignée. Quant aux remèdes locaux, il n'est pas avantageux,
en général, de surcharger la membrane du cerveau d'objets lourds; il
9 faut, sans peser sur cette membrane, en émousser l'irritation. Il convient
de recouvrir toute la surface de la tumeur produite par l'inflammation
10 avec un linge fin, doux et propre, trempé dans l'huile aux roses. Ensuite
on appliquera sur toute la circonférence de la tête un cataplasme calmant,
par exemple le cataplasme au mélilot, ou celui à la farine de graine de
lin, cataplasme qu'on préparera avec de l'huile; dans le linge destiné au
cataplasme, on pratiquera une ouverture correspondant au siége de la
trépanation, et on recouvrira toutes les parties extérieures de laine légère.
11 Les jours suivants, on combinera une affusion faite vivement au moyen
d'une décoction de fenugrec ou de mauve avec une affusion d'huile; puis

3. σύμφορος..... προσφερομένου om. U. — 6. ἀλλὰ φορτος αὔτην ἔλαφρος παρηγορεῖν (sic) U. — 11. τρόπον R. U. — 13. ἐψημένων U.

Cocchi 105-106.

καὶ πάλιν ἐγκρινέσθω ἡ αὐτὴ θεραπεία ἡ μικρῷ πρόσθεν εἰρη-
μένη. Τούτοις ἀρκέσει ἐπιμένειν ἕως τοῦ τέλους. 12

κα'. Περὶ τῶν ἐν κεφαλῇ καταγμάτων. Ἐκ τῶν Γαληνοῦ.

Πάντα τὰ πάθη τῶν ὀσΊῶν τῆς κεφαλῆς, ὅσα πάσχει διὰ τὰς 1
ἔξωθεν πληγὰς, πέντε τὸν ἀριθμόν ἐσΊιν, ἕδρα, θλάσις, ῥωγμὴ,
ὦσις, εἴσθλασις· ἕδραν γὰρ | καὶ διακοπὴν ταὐτὸν εἶναί φησιν Ἱπ- 106
ποκράτης, ὠνομασμένην οὕτω διὰ τὸ κατὰ τὴν γενομένην διακοπὴν
ἑδράζεσθαι καὶ σΊηρίζεσθαι τὸ τιτρῶσκον, ὃ πάντως ὀξὺ μὲν ὑπάρ-
χειν ἀναγκαῖόν ἐσΊιν ἵνα διακόψῃ, κοῦφον δὲ ἵνα μήτε θλάσῃ,
μήτε κατάξῃ τὸ κρανίον· ἡ μὲν γὰρ θλάσις γίνεται διὰ τὸ βάρος
τῶν πληΊόντων, ἡ δὲ διαίρεσις διὰ τὴν ὀξύτητα· συνελθόντων δὲ
ἐς ταὐτὸν ἀμφοτέρων τῶν αἰτίων εἴσθλασις γίνεται, τῆς μὲν ὀξύτη-
τος τοῦ πλήτΊοντος διαιρούσης τὸ ὀσΊοῦν, τοῦ βάρους δὲ ὠθοῦντος
εἴσω τὸ διῃρημένον. Ἐὰν δὲ βαρὺ μὲν ᾖ τὸ πλῆτΊον, ὀξύτητα δὲ 2

on mettra de nouveau en œuvre le même traitement que nous avons
exposé un peu plus haut. Il suffira de s'en tenir à ces moyens-là jusqu'à 12
la fin:

21. DES FRACTURES QUI ONT LIEU À LA TÊTE. — TIRÉ DE GALIEN.

Les affections que les os de la tête subissent, à la suite de violences 1
extérieures, sont en tout au nombre de cinq : l'*hédra* (enclavement), la
contusion, la *fissure*, la *dépression* et l'*enfoncement*; car, dit Hippocrate,
hédra et coupure sont une même chose (*Plaies de la tête*, §§ 9, 11 et 12,
t. III, p. 212, 220 et 228), et le mot *hédra* vient de ce que l'objet vulnérant s'engage (ἑδράζεσθαι) et se fixe solidement dans la coupure qu'il a faite; or il est de toute nécessité que cet objet soit aigu pour pouvoir couper, et léger pour ne pas amener de contusion, ou de brisure du crâne; car la contusion est une conséquence de la pesanteur des objets vulnérants, tandis que la division [du crâne] tient à leur propriété tranchante; si, enfin, ces deux causes se trouvent réunies, c'est un enfoncement qui a lieu; le tranchant de l'arme divise alors l'os, et sa pe-
santeur pousse en dedans l'os divisé. Si l'objet vulnérant est pesant, 2

Ch. 21, l. 7. τε καί U.

Cocchi 106.
ἔχον οὐδεμίαν, ἤτοι γε ὦσις γίνεται μόνη τοῦ πληγέντος, ἢ καὶ
ῥωγμὴ σὺν αὐτῇ, ὦσις μὲν ἐπὶ τῶν μαλακῶν ὀσΊῶν, ὁποῖα τὰ τῶν
παίδων ἐσΊὶ, ῥωγμὴ δὲ ἐπὶ τῶν σκληρῶν τε καὶ ξηρῶν, ἐπὶ δὲ τῶν
3 μέσων τὴν φύσιν ἀμφότερα. — Τῶν δὲ ἄλλων παθῶν τῆς κεφαλῆς
ὁ μὲν ἀποσκεπαρνισμὸς ὑπὸ τῶν νεωτέρων χειρουργῶν ὀνομασθεὶς
ἐκ τοῦ τῆς ἕδρας ἐσΊὶ γένους, τὸ δὲ ἐγγείσωμα καὶ ἡ καμάρωσις
4 ἕτερον· αἱ γάρ τοι γενέσεις αὐτῶν αἵδε εἰσίν. Ὅταν μὲν ὀξὺ τὸ
τιτρῶσκον, ἐκ τῶν πλαγίων μερῶν προσπεσόν τινι τῶν ἐξεχόντων
τῆς κεφαλῆς, ἀποκόψῃ σύμπαν αὐτὸ, καλεῖται μὲν ἀποσκεπαρνισμὸς τὸ τοιοῦτον· γίνεται δὲ κατὰ ψιλὴν καὶ μόνην διαίρεσιν, ὥσπερ
ἡ ἕδρα, τῷ δὲ εἶναι κυρτὸν τῷ σχήματι τὸ διακοπΊόμενον μέρος,
ἐκ πλαγίων τε μερῶν ἐμπεσεῖν αὐτῷ τὸ τιτρῶσκον, οὐδὲν ὑπολείπεται τοῦ τρωθέντος ἀπαθὲς, ὡς εἴ γε ὑπολειφθείη, γένοιτο ἂν ἕδρα
5 τηνικαῦτα σαφὴς καὶ ἀναμφισβήτητος. — Ἡ ῥωγμὴ δὲ συνεχείας
ἐσΊὶ λύσις τῶν ὀσΊῶν, μενόντων κατὰ τὴν ἰδίαν χώραν τῶν μερῶν

mais complétement mousse, il produira une dépression seule de la partie
blessée, ou en même temps une fissure; s'il s'agit d'os mous, comme
le sont ceux d'un enfant, il y aura une dépression; tandis que les os
durs et secs subiront une fissure, et les os de nature moyenne les deux
3 accidents à la fois. — Parmi les autres accidents de la tête, celui que
les chirurgiens plus modernes ont appelée *aposcéparnisme* (ablation avec
une doloire), appartient au genre de l'hédra, tandis que la fracture en
auvent et la fracture en voûte appartiennent à un autre genre; en effet,
4 voici quel est le mode de formation de ces accidents. Quand l'objet vulnérant est aigu, et que, tombant obliquement sur quelque partie saillante de la tête, il a retranché complétement cette partie, on se sert du mot *aposcéparnisme;* or cet accident est uniquement la conséquence d'une coupure simple, de même que l'hédra; mais, parce que la partie divisée a une forme convexe, et que l'objet vulnérant tombe obliquement sur elle, aucun point de la partie blessée ne restera hors d'atteinte,
tandis que, s'il en était resté quelque portion, ce serait manifestement et
5 indubitablement une hédra qui aurait eu lieu. — La fissure est une solution de continuité des os, dans laquelle les fragments de l'os fracturé

13 ἀπολειφθείη R.

Cocchi 106.

τοῦ ῥαγέντος ὀστοῦ, ὡς ὅταν γε μὴ μείναντα πρὸς τὸ βάθος εἴσω χωρήσῃ, σύνθετον ἤδη γίνεται τὸ πάθος, ἤτοι περιῤῥήξεως μόνης προσερχομένης, ἢ καὶ τῆς θλάσεως ἅμα αὐτῇ. Καλοῦσι δὲ, ὡς εἴ- 6
ρηται, τὸ τοιοῦτον πάθος ἔνιοι τῶν νεωτέρων ἰατρῶν ἐγγείσωμα. Πολλάκις δὲ τὰ οὕτως ἀποῤῥαγέντα τῶν συνεχῶν ἐπὰν ὑπὸ τῆς τοῦ 7
πλήξαντος ὁρμῆς ὠσθῇ πρὸς τὸ βάθος, ἐπανέρχεται σὺν αὐτῷ πρὸς τοὐκτὸς, εἰς ὕψος ἐξαιρόμενα ταῖς ὀνομαζομέναις καμάραις ὡσαύτως, ὅθενπερ καὶ τοὔνομα αὐτῷ καμάρωσιν ἔθεντο. Λοιπὸν δὲ 8
τὸ κληθὲν ὑπὸ αὐτῶν ἀπήχημα ῥωγμή τίς ἐστιν, οὐ κατὰ τὸ πληγὲν μέρος, ἀλλὰ ἐν ἑτέρῳ γινομένη, ὁμοίως τῷ κατὰ τὰ κεραμέα τῶν ἀγγείων ὅσα κατὰ ἄλλο τι μέρος πληγέντα κατὰ ἄλλο τὴν ῥωγμὴν ἔσχεν. Καὶ γίνεσθαι τὸ τοιοῦτον εἰκός ἐστιν, ὅταν ἰσχυ- 9
ρὸν μὲν ᾖ καὶ πυκνὸν ἡνωμένον τε πᾶσι τοῖς ἑαυτοῦ μορίοις τὸ πληγὲν, ἀσθενὲς δὲ τὸ ῥαγέν. Πληττόμενον δὲ τὸ τῆς κεφαλῆς 10
ὀστοῦν ὑπό τινος τῶν ἔξωθεν, ῥωγμὴν μόνην οὐ δύναται παθεῖν,

restent à leur place naturelle; mais si, ne restant pas en place, les fragments éprouvent une déviation en dedans, dans le sens de la profondeur, il se produit dès lors une affection compliquée; en effet, dans ce cas, c'est ou une fracture circulaire seule, ou, de plus encore, une contusion, qui viennent s'ajouter à la fissure. Ainsi que je l'ai dit, quelques 6
médecins modernes appellent cette affection *fracture en auvent.* Souvent, 7
lorsque les fragments ainsi arrachés du reste de l'os ont été poussés vers les parties profondes par la violence de l'objet vulnérant, ils se relèvent et remontent avec lui vers l'extérieur, en prenant la forme d'une voûte: voilà pourquoi on a aussi nommé cet accident *fracture en voûte.* — Il nous 8
reste à parler de l'accident que ces médecins modernes appellent *contre-coup :* la fissure ne se forme pas à l'endroit blessé, mais sur un autre point, à l'instar de ce qui a lieu pour les vases en terre cuite, qui présentent une fente dans un autre endroit que celui où ils ont été frappés.
Il est probable que cet accident a lieu lorsque la portion de l'os frappée 9
par le choc est solide, compacte et cohérente dans toutes ses parties, tandis que celle qui subit une fissure était faible. Si l'os de la tête est 10
atteint par quelque choc extérieur, il est impossible qu'il subisse une

1. μή om. U. — 3. δέ om. U. — 10. τά om. U. — 12. γενέσθαι U.

Cocchi 106-109.
ἀλλὰ ἐξ ἀνάγκης σύνεστι τῇ ῥωγμῇ καὶ θλάσις· ἕδρα μέντοι καὶ θλάσις ἅμα δύναται γίνεσθαι χωρὶς ῥωγμῆς· εἴσθλασις δὲ οὐκ ἂν γένοιτο χωρὶς ῥωγμῆς· ἀναγκαῖον γάρ ἐστι κύκλῳ περιῤῥήγνυσθαι
109 11 τὸ ὀστοῦν ἵνα ἔσω χωρήσῃ. | — Αἱ μὲν οὖν ἁπλαῖ ῥωγμαὶ μέχρι διπλόης διασχοῦσαι τῶν νῦν εἰρημένων ξυστήρων χρῄζουσι τῶν στενῶν, εἶναι δὲ αὐτοὺς χρὴ πολλοὺς μὲν τὸ πλῆθος, ἀνίσους δὲ τὸ μέγεθος, ὡς μηδέποτε ἀπορεῖν τοῦ χρησιμωτάτου τῷ ἔργῳ, κἄπειτα γυμνωθέντος κατὰ τὰ εἰθισμένα τοῦ πεπονθότος ὀστοῦ, χρῆσθαι πρώτῳ μὲν τῷ πλατυτέρῳ, δευτέρῳ δὲ τῷ μετὰ αὐτὸν στενοτέρῳ,
12 κἄπειτα οὕτως ἑξῆς τοῖς ἄλλοις ἄχρι τοῦ στενοτάτου. Τούτῳ δὲ χρηστέον ἐπὶ αὐτῆς τῆς διπλόης, εἶτα ἰάσασθαι ξηροῖς φαρμάκοις αὐτίκα τε καὶ μέχρι τέλους, ἃ δὴ καὶ διὰ αὐτὸ τοῦτο προσηγόρευ-
13 ται κεφαλικά. Σύγκειται δὲ διά τε τῆς Ἰλλυρίδος ἴριδος καὶ τοῦ τῶν ὀρόβων ἀλεύρου καὶ μάννης, ἀριστολοχίας τε καὶ πάνακος ῥίζης

simple fissure; au contraire, dans ce cas, la fissure est nécessairement accompagnée de contusion; une hédra et une contusion peuvent, il est vrai, se produire simultanément sans fissure; mais un enfoncement ne saurait avoir lieu sans cet accident; en effet, pour que l'os soit repoussé
11 en dedans, il est nécessaire qu'il se brise circulairement. — Les fissures simples qui pénètrent jusqu'au diploé exigent l'emploi des instruments étroits, qu'on appelle actuellement *rugines;* mais on doit avoir à sa disposition un grand nombre de ces instruments de grandeur inégale, de telle manière qu'on ait toujours sous la main la rugine la plus appropriée pour chaque cas particulier; après avoir dénudé l'os malade de la manière habituelle, on se servira d'abord de la rugine la plus large, puis de celle qui tient le second rang pour la largeur, et ainsi de suite on se
12 servira des autres jusqu'à ce qu'on arrive à la plus étroite. On doit employer cette dernière quand on est parvenu sur la table intérieure de l'os; alors on traitera, dès le début et jusqu'à la fin, la plaie avec des médicaments secs, que, pour cette raison même, on a appelés *médicaments*
13 *céphaliques.* Ces médicaments sont composés d'iris d'Illyrie, de farine d'ers, de poudre d'encens, d'aristoloche, d'écorce de racine d'opopanax;

8-9. χρῆσαι πρῶτον U. — 11. ἰάσασθαι καὶ U. — Ib. ξηροτέροις U. — 12. δὴ διά RU. — 12-13. προσαγορεύεται U. — 13. τε om. U.

Cocchi 109.

φλοιοῦ, καὶ πάντων ἁπλῶς ὅσα ῥύπτειν πέφυκεν ἄνευ τοῦ δάκνειν·
αὐτὴ μὲν γὰρ ἡ γεννωμένη σὰρξ ἔργον τῆς φύσεώς ἐστιν, ὥστε
οὐδὲν εἰς τοῦτο τῆς ἰατρικῆς ὁ κάμνων δεῖται, τὸ δὲ τὴν γεννωμέ-
νην συμφύεσθαί τε καὶ περιφύεσθαι πᾶσι τοῖς τῶν ὀστῶν μέρε-
σιν ἐκ τοῦ μήτε ῥύπον ἐπὶ αὐτοῖς εἶναι, μήτε ἐλαιώδη τινὰ λιπαρό-
τητα γίνοιτο ἂν μάλιστα. Τοῦτο οὖν ἐστιν ὃ παρὰ τῶν ἰατρῶν οἱ 14
κάμνοντες ἴσχουσιν εἰς τὴν σάρκωσιν, ὡς ξηρὸν μὲν ἅπαν εἶναι τὸ
χωρίον, ἕκαστον δὲ μέρος τῶν πεπονθότων ὀστῶν ἀκριβῶς καθαρόν.
Τῶν δὲ ἄχρι μήνιγγος διασχόντων εἰ μὲν εἴη μόνη ῥωγμὴ, τοῖς εἰ- 15
ρημένοις ξυστῆρσι χρηστέον· εἰ δὲ μετὰ θλάσεώς τινος, ἐκκόπτειν
χρὴ τὸ τεθλασμένον διὰ τρυπάνων τοῖς ἐκκοπεῦσι χρωμένους. Ἀλλὰ 16
πολλάκις ἀθρόως κατενεχθέντα διὰ φυσικὴν ἀσθένειαν ἢ λεπτό-
τητα τῶν ἀνατιτραμένων ὀστῶν ἔτρωσε τὴν μήνιγγα. Διὰ τοῦτο 17

en un mot, de toutes les substances qui sont de nature à déterger sans
causer de la mordication; en effet, les bourgeons charnus qui se
forment sont l'œuvre de la nature, de sorte que, pour qu'ils se pro-
duisent, le malade n'a pas le moindre besoin de la médecine; s'il s'agit,
au contraire, de souder entre eux ces bourgeons, à mesure qu'ils se
forment, et de les rattacher tout autour à toutes les parties des os,
c'est là un résultat qui tient surtout à ce qu'ils ne sont recouverts ni
de malpropreté, ni d'aucune substance graisseuse ressemblant à l'huile
(*sanie?*). C'est donc là l'avantage que, sous le rapport du bourgeonne- 14
ment, les malades doivent à l'intervention des médecins, à savoir la
sécheresse de toute la plaie et une propreté rigoureuse de chaque
partie de l'os malade. Quand la rupture pénètre jusqu'à la membrane 15
du cerveau, s'il n'y a qu'une simple fissure, on aura recours aux ru-
gines dont je viens de parler; mais, si la fissure est accompagnée de con-
tusion, il faut exciser la partie contusionnée de l'os, en employant des
scalpels à excision auxquels on aura préparé les voies à l'aide de tarières.
Mais il est arrivé souvent que les tarières, en s'enfonçant brusquement 16
[dans la cavité du crâne], par suite de la faiblesse naturelle ou du dé-
faut d'épaisseur des os qu'on perçait, ont blessé la membrane du cer-
veau. Pour cette raison donc les médecins modernes ont inventé les 17

5. ἐπί] ἐν U. — 5-6. ῥυπαρότητα R.

Cocchi 109.
οὖν οἱ νεώτεροι τοὺς κυκλίσκους ἐξεῦρον· καλοῦσι δὲ οὕτως ἐκκο-
18 πέων εἶδός τι κεκοιλασμένον ἐπὶ τῷ πέρατι. Καὶ χρῆσθαι τούτοις
ἄρισΊον, κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν τοῖς πλατυτέροις, ἑξῆς δὲ
αὐτῶν τοῖς σΊενοτέροις, ἄχρι περ ἂν ἐπὶ τὴν παχεῖαν μήνιγγα
19 κατέλθῃς. Οὐ μὴν οὐδὲ ἐν κύκλῳ πᾶν ὅσον ἐκκοπῆναι χρὴ τοῖς κυ-
κλίσκοις γυμνωτέον, ἀλλὰ κατὰ ἐκεῖνο μάλισΊα τὸ μέρος, ἔνθα τὸ
κάταγμα βιαιότερον ἑαυτοῦ γέγονεν· πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ
ἡ μῆνιγξ ἀφίσΊαται τάχισΊα τῶν ἰσχυρῶς παθόντων ὀσΊῶν, ὥσΊε
20 οὐδείς ἐσΊι κίνδυνος ἅψασθαι τῆς ἀφεσΊώσης ἤδη. Ἢν δὲ ἅπαξ ἕν τι
γυμνώσῃς μέρος, ὑποβαλὼν ἐκκοπέα, τὸ μὲν φακοειδὲς ἐπὶ τῷ πέ-
ρατι προὖχον. ἀμβλὺ καὶ λεῖον ἔχοντα, τὸ δὲ ὀξὺ κατὰ τὸ μῆκος
ὄρθιον, ὅταν σΊηρίξῃς κατὰ τῆς μήνιγγος τὸ πλατὺ τοῦ φακοειδοῦς,
21 ἐπικρούων τῇ μικρᾷ σφύρᾳ, διαιρεῖν οὕτω τὸ κρανίον. Τούτου τοῦ

cyclisques (petits cercles); or on appelle de ce nom une certaine es-
pèce de scalpels à excision creusés à leur extrémité (*espèce de gouge*).
18 La meilleure manière de se servir de ces instruments consiste à em-
ployer d'abord les plus larges, puis successivement d'autres plus étroits,
19 jusqu'à ce qu'on arrive sur la dure-mère. Cependant ne dénudez pas cir-
culairement, à l'aide de cyclisques, toute la partie de cette membrane
qui réclame l'excision des os placés sur elle; mais appliquez-les particu-
lièrement sur le point des os fracturés où la violence s'est fait le plus
sentir; car, outre les autres raisons qu'on a d'agir ainsi, la dure-mère
s'écarte d'autant plus vite des os, qu'ils ont été plus gravement affectés,
de sorte qu'on ne court pas le moindre danger d'effleurer la dure-mère,
20 attendu qu'elle aura perdu son adhérence avec les os. Dès qu'on aura une
fois dénudé un point de cette membrane, on introduira au-dessous [du
crâne] un scalpel à excision, pourvu, à son extrémité, d'un bouton lenticu-
laire mousse, lisse et saillant, et dont le tranchant occupe la longueur, et
soit perpendiculaire; après avoir appuyé la partie aplatie du bouton
lenticulaire sur la dure-mère, on divisera le crâne, en frappant avec le
21 petit maillet [sur le dos du scalpel]. Il est impossible de trouver une

1. κυκλίσκους ex em.; κυλίσκους RU, et sic sæpius. — 5-6. κυλίσκοις R; κοιλοις U. — 10. ὑποβάλλων R. — 11. λεῖον ὡς φακὸν ἔχ. RU.

τρόπου τῆς ἀνατρήσεως οὔτε ἀκινδυνότερον, οὔτε θᾶττον ἐνεργοῦντα
δυνατὸν εὑρεῖν. Ἀλλὰ καὶ οὕτως ἔχει τι μοχθηρὸν, ἐπὶ ὧν οὐδαμόθι 22
κατὰ οὐδὲν μέρος ἀπέῤῥηκται σαφῶς τὸ πεπονθὸς ὀστοῦν· ἀναγκάζονται γὰρ ἐν πλείονι χρόνῳ κατὰ βραχὺ πλατύνειν αὐτὸ, πολλάκις πλήττοντες τοὺς ἐκκοπέας, ὡς διακινεῖσθαι τὸν ὅλον ἐγκέφαλον·
ὅθεν ἔνιοι τῶν νῦν ἰατρῶν ἀφιστάμενοι τῶν κυκλίσκων, ἐπὶ τὰ | τρύ- 110
πανα παραγίνονται. Μᾶλλον ταῦτα οὖν ἐπιστάμενός τις ἑλέσθαι 23
δύναται κατὰ ἑκάστην διαφορὰν κατάγματος τὸν ἐπιτηδειότατον
ἑαυτῷ τρόπον εἰς τὴν χειρουργίαν. Εἰ δὲ καὶ κατὰ αὐτὴν τὴν ῥα- 24
φὴν εἴη τὸ πάθος, ἐκ τοῦ πέριξ ἐκεῖθεν ἄρχεσθαι τοῦ πεπονθότος τῆς ἐξαιρέσεως· ἐν γὰρ τοῖς κατὰ τὰς ῥαφὰς χωρίοις αἱμοῤῥαγίαι τε γίνονται καὶ συμπάθειαι μείζους, ἐπειδὴ κοινωνία διὰ αὐτῶν ἐστι τοῖς ἔξωθεν τοῦ κρανίου σώμασι πρὸς τὴν παχεῖαν μήνιγγα διὰ
ὑμένων τε καὶ φλεβῶν. Ἀλλὰ καὶ διὰ τῆς ὀστάγρας ἀνατείναντες, 25

manière de percer le crâne qui soit plus exempte de danger et qui s'ef-
fectue plus rapidement. Cependant cette opération même a son mauvais 22
côté dans les cas où, nulle part sur aucun point, il n'y a disjonction manifeste de l'os malade d'avec l'os sain; car alors on est obligé de consacrer un espace de temps assez long pour élargir peu à peu la voie, en frappant souvent sur les scalpels à excision, d'où résulte un ébranlement de tout le cerveau : pour ce motif, quelques médecins contemporains renoncent à l'emploi des cyclisques et recourent plus volontiers aux ta-
rières. Celui donc qui sait toutes ces particularités peut choisir, pour 23
chaque espèce de fracture, la méthode opératoire avec laquelle il est le
plus familiarisé. Si l'affection a son siége sur la suture elle-même, il faut 24
commencer l'enlèvement de la portion malade de l'os par les parties voisines de la suture; car, si on opère sur les sutures mêmes, il survient des hémorragies et des lésions consécutives plus graves que sur les autres points du crâne, attendu que c'est à travers les sutures que s'établit la communication entre les parties situées en dehors du crâne et
la dure-mère par l'intermédiaire de membranes et de vaisseaux. Même 25
dans le cas où, à l'aide de la pince à os, nous retirons ou nous cassons

3. ἀπορέρηκται RU. — 7. Μᾶλλον τ' αὐτῶν ἐπ. U. — Ib. τις om. U.

Cocchi 110.

ἢ ἀνακλάσαντες ἔνια τῶν ἰσχυρῶς συντετριμμένων ὀστῶν, κατὰ ἐκεῖνο μάλιστα τὸ μέρος ὑποδῦναι τῷ φακωτῷ παρασκευάσομεν.

26 Τὸ μὲν οὖν ἰσχυρῶς συντριβὲν ὅλον ἐξαιρεῖν χρὴ, εὖ εἰδότας ὡς οὐδὲν βλάβος ἀκολουθήσει διὰ τοῦτο, τῶν ἄλλων ἁπάντων ὀρθῶς

27 πραχθέντων. — Ἐπὶ μὲν οὖν τῶν ἄλλων καταγμάτων ἡ ἐπίδεσις ὅταν ὀρθῶς γένηται, τοσούτου δεῖ περιττὴν ὑγρότητα συγχωρεῖν ὑποτρέφεσθαι κατὰ τὸ πεπονθὸς ὀστοῦν, ὥστε καὶ τοῦ κατὰ φύσιν ἰσχνότερον ἀποφαίνει τὸ χωρίον· ἐπὶ δὲ τῆς κεφαλῆς ὁ μὲν διὰ τῆς ἐπιδέσεως τρόπος οὐχ οἷός τέ ἐστι ξηραίνειν οὕτω τό τε κατεαγὸς ὀστοῦν αὐτὸ καὶ τὰ πέριξ, ὡς μήτε φλεγμῆναι, μήτε ὅλως ἐργάσασθαί τινα ἰχῶρα, φάρμακόν τε οὐδὲν οὐδὲ ἐπὶ τῶν ἄλλων μερῶν ἄνευ τῆς ἐπιδέσεως ἱκανὸν εἰς ὅσον εἴρηται ξηρὸν καὶ ἀπέ-

28 ριττον ἐργάσασθαι τὸ κατεαγός. Ἀναγκαῖον οὖν ἡμῖν γίνεται γυμνοῦν τι τοῦ κατάγματος, ἵνα ἔχωμεν ἀπομάττειν καὶ ἀποπλύνειν ἀπὸ τῆς μήνιγγος τοὺς ἰχῶρας, ὡς εἴ γε μηδεὶς ἐκ τῶν πεπονθό-

quelques portions d'os complétement broyées, nous nous ménagerons surtout, au niveau de ce point, un endroit au-dessous duquel nous

26 puissions faire passer le bouton lenticulaire du scalpel à excision. On enlèvera entièrement les parties broyées, bien convaincu qu'il ne résultera aucun dommage de cette façon d'agir, pourvu que tout le reste

27 du traitement soit bien dirigé. — Dans les fractures autres que celles du crâne, la déligation, si elle est bien faite, est si loin de permettre l'accumulation lente et graduelle d'un liquide superflu dans l'os affecté, que même elle rend la région de la fracture plus grêle que celles qui se trouvent dans leur état naturel; mais, dans les fractures de la tête, le traitement par la déligation n'est pas capable de dessécher aussi bien l'os fracturé que les parties environnantes, de telle sorte qu'il ne s'enflamme point et qu'il ne se produise point d'ichor; par contre, aucun médicament ne suffit, sans le secours de la déligation, à rendre l'os fracturé aussi sec et aussi exempt de résidus que je viens de le dire, pas même

28 pour les os autres que ceux du crâne. Il est donc nécessaire que nous dénudions une partie de la fracture, afin que nous puissions essuyer et enlever, en lavant, l'ichor épanché sur la membrane du cerveau; car, si

8. ἀποφαίνειν U Gal. — 9. οὕτω om. U. — 11. δέ RU. — Ib. οὔτε R.

Cocchi 110.

των ἰχὼρ ἐντὸς ἔῤῥει, περιττὸν ἦν ἐκκόπτειν ὀστοῦν, πωροῦσθαι
δυνάμενον ὁμοίως τοῖς ἄλλοις. Εἰ δὲ ἀπὸ αὐτοῦ τινες ἐπὶ πλέον 29
ἐκτείνοιντο ῥωγμαὶ, ταύταις ἕπεσθαι μέχρι πέρατος οὐ χρή. Δεῖ 30
δὲ πρὸς τὴν διάθεσιν ἀποβλέποντας ποιεῖσθαι τὴν χειρουργίαν·
συντεθλασμένου μὲν γὰρ ἰσχυρῶς τοῦ ὀστοῦ, καί ποτε καὶ βαρυνομένης ἢ νυττομένης τῆς παχείας μήνιγγος ἐκ τῆς ἔσω ῥοπῆς αὐτοῦ, καὶ δηλονότι πρὸς αὐτῇ τῆς τε ὑποκειμένης αὐτῇ τῆς λεπτῆς, καὶ προσέτι τοῦ ἐγκεφάλου, προσήκει κατὰ τὴν πρώτην ἡμέραν ἐκκόπτειν τὸ πεπονθὸς ὀστοῦν, εἰ καὶ μὴ πᾶν, ἀλλὰ τό γε κατεπεῖγον, καὶ μάλιστα ἐν ὥρᾳ θερινῇ· κατὰ ταύτην γὰρ ἀναβάλλεσθαι τὴν χειρουργίαν οὐ χρὴ, διότι θᾶττον ἴσμεν ἐν ταῖς θερμαῖς ὥραις
σηπόμενα πάντα. Μηδενὸς δὲ τοιούτου γενομένου, τὴν τρίτην ἡμέ- 31
ραν ἀναμένειν, πρῶτον μὲν ὑπὲρ τοῦ παύσασθαι τὴν ἐκ τῆς τομῆς αἱμοῤῥαγίαν ἅπασαν, ἔπειτα δὲ ἵνα τὸ ὑποκείμενον ὀστοῦν τῇ τομῇ, τὸ γεγυμνωμένον, ἀπολυθὲν τῆς πρὸς τὰ πλησιάζοντα κοινωνίας, καὶ διὰ τοῦτο ξηρότερον ἑαυτοῦ γενόμενον, ἀκριβέστερον ἡμῖν ἐν-

aucun ichor ne coulait des parties affectées vers l'intérieur, il serait superflu d'exciser l'os, vu qu'il pourrait se recouvrir de cal de la
même manière que les autres. Si, à partir de l'os fracturé, il y a des 29
fissures qui s'étendent très-loin, on ne les suivra pas jusqu'à leur extré-
mité. Il faut varier l'opération en considération de l'état des parties; en 30
effet, quand l'os est fortement contusionné, ou que, s'étant porté en dedans, il incommode par son poids, ou pique la dure-mère : et aussi, bien entendu, la pie-mère placée au-dessous d'elle, ainsi que le cerveau, on excisera, le premier jour, sinon l'os malade tout entier, du moins sa partie qui presse le plus, surtout si l'on est en été; car, dans cette saison, il ne faut pas différer l'opération; nous savons en effet que, dans
les saisons chaudes, toute chose se pourrit plus vite. S'il n'existe aucun 31
accident de ce genre, on attendra le troisième jour, d'abord pour laisser à l'hémorragie causée par l'incision le temps de s'arrêter, puis pour être en mesure de mieux constater l'état de l'os situé au-dessous de l'incision et que nous venons de dénuder, attendu qu'il a dès lors perdu ses communications avec les parties voisines, et qu'il est devenu par consé-

1. ἐπικ. R. — 5. ποτε] που R. — 7. δῆλον ὅτι RU. — 16. γινόμ. U.

Cocchi 110-113.
32 δείξηται τὴν διάθεσιν. Δεῖ δὲ μηδέποτε τὴν τρίτην ἀπὸ τῆς ἀρχῆς
ἡμέραν ὑπερβῆναι, ἀλλὰ εἶναι τοῦτον ὅρον ἐξωτάτω, τοὺς πλείστους
33 δὲ κατὰ τὴν δευτέραν ἡμέραν χειρουργεῖν. Φαρμάκοις δὲ χρῶνται
καὶ ὅλῃ τῇ μετὰ τὴν ἀνάτρησιν ἀγωγῇ οἱ μὲν πλεῖστοι τῇ πρᾳοτάτῃ
34 τε καὶ παρηγορικωτάτῃ. Αἷμα γοῦν περιστερᾶς καταχέουσι τῆς
113 | παχείας μήνιγγος, τινὲς δὲ τὸ τῆς φάττης, καὶ ἄλλοι γε τρυγόνος.
35 Ἐγὼ δὲ μυρίους εἶδον τῶν ἀνατρηθέντων οὐδὲν βλαβέντας ἐπὶ τῇ
τοῦ ῥοδίνου χρήσει, θερμὸν δὲ εἶναι αὐτὸ προσῆκεν οὕτως ὡς τὸ
τῆς περιστερᾶς αἷμα, καὶ ἴσως γε τῷ συμμέτρῳ τῆς κατὰ τὴν θίξιν
θερμασίας ὠφέλιμόν ἐστιν, οὐκ ἐξαιρέτῳ τινὶ καὶ ἀγνώστῳ δυνά-
36 μει. Ὀλίγοι δέ τινες τῇ ἐναντιωτάτῃ [χρῶνται] διὰ τῶν ἰσχυρότερον
ξηραινόντων φαρμάκων, ὡς καὶ τὴν Ἶσιν ὀνομαζομένην εὐθέως ἐπιτι-
37 θέναι γυμνωθείσῃ τῇ μήνιγγι, καὶ κατὰ ταύτης ἔξωθεν ὀξύμελι. Καὶ
θαυμαστὸν οὐδὲν εἰ ἡ μῆνιγξ ἡ παχεῖα πρὶν ἀξιολόγως φλεγμη-

32 quent plus sec que dans l'état naturel. Mais il ne faut jamais dépasser le
troisième jour, à compter du début de l'accident; ce doit être l'extrême
33 limite; et on opérera la plupart des malades le second jour. Après la tré-
panation, les médecins ont, pour la plupart, recours aux médicaments,
34 et, en général, à ceux qui sont les plus doux et les plus calmants. Ainsi
ils versent du sang de pigeon sur la dure-mère; d'autres emploient de la
même manière du sang de ramier, et d'autres encore du sang de tour-
35 terelle. Moi, j'ai vu des milliers de malades trépanés qui n'éprouvèrent
aucun dommage de l'emploi de l'huile aux roses; mais ce médicament
doit être chaud, aussi chaud que le sang de pigeon; peut-être même l'ef-
fet utile produit par ce dernier tient-il à sa chaleur modérée, et non à
36 quelque propriété spéciale et inconnue. Un petit nombre de médecins,
employant la méthode diamétralement opposée, prescrivent les médica-
ments assez fortement desséchants, et même appliquent de suite sur la
membrane du cerveau dénudée le médicament appelé *Isis*, et, à l'extérieur,
37 sur ce médicament, du vinaigre miellé. Or il n'y a rien d'étonnant à ce
que la dure-mère, avant d'être attaquée d'une inflammation considé-

4. ὅλῃ τῇ ex em.; ὅλης τῆς R Gal.; ὅλη U. — 7. μηδέν U. — 11. [χρῶνται] e Gal.; perperam hic om. Oribas. — Ib. ἰσχυροτέρων R; ἰσχυρότατα Gal. — 13. κατά om. U. — 14. εἰ καὶ μετὰ τὰς ἀνατρήσεις ἡ Gal.

Cocchi 113.

ναι τοῖς ἰσχυροτάτοις χαίρει Φαρμάκοις, ὡς ἂν Φύσει ξηρὰ τὴν
οὐσίαν ὑπάρχουσα. Πάντες δὲ σχεδὸν ἐπὶ ταῖς ἀνατρήσεσιν οὐ- 38
δενὶ ἑτέρῳ ἐπιδοῦσιν, ἀλλὰ ἀρκοῦνται μόνῃ τῇ τοῦ κροκυφάντου
περιβολῇ. Καὶ τὰ χωρὶς ἀνατρήσεως δὲ ἕλκη καὶ αὐτὰ, κατὰ ὅσον 39
οἷόν τε, πειρᾶσθαι χρὴ θεραπεύειν ἄνευ ἐπιδέσμων, οὐ μόνον ὅτι
βαρύνεται πιλουμένων ὑπὸ τῆς ἐπιδέσεως τῶν ἐπιτιθεμένων αὐτοῖς,
ἀλλὰ καὶ διότι περαιτέρω τοῦ προσήκοντος θερμαίνεται· καὶ γὰρ
ὅπερ ἐπὶ τῶν ἄλλων μερῶν ἡ ἐπίδεσις, τοῦτο ἐπὶ τῆς κεφαλῆς ἡ
θέσις παρέξει· διόπερ ἡ ἐπίδεσις ἐκ περιτΊοῦ τε παραληφθήσεται
καὶ βάρος παρέξει λυπηρότερον. Αἱ δὲ κατὰ τοῦ βρέγματος ἐπιδέ- 40
σεις πρὸς τῷ βαρύνειν τε καὶ θερμαίνειν ἔτι τὰς γένυς συμπερι-
λαμβάνουσιν, ὥσΊε καὶ διὰ τοῦτο ὀχληραὶ καὶ ἀσώδεις ἀποτελοῦν-
ται. Ὅσα δὲ ἅμα τῷ πληγῆναι μετὰ οἰδήματος γίνεται χαυνοῦ, 41
ταῦτα οὐ διὰ ἑαυτὰ χρήζει τῆς ἐπιδέσεως, ἀλλὰ διὰ τὸ οἴδημα, καὶ

rable, se trouve bien de l'emploi des médicaments les plus actifs, attendu
qu'elle est composée d'une substance naturellement sèche. Presque tous 38
les médecins se contentent, après la trépanation, d'entourer la tête d'un
bonnet, sans recourir à aucune autre déligation. Autant que possible on 39
essayera de traiter aussi sans bandage les plaies [de la tête] qui n'ont pas
été l'objet d'une trépanation; et cela non-seulement parce que la dé-
ligation incommode par son poids quand les bandes compriment les
pièces de pansement placées sur les plaies, mais aussi parce qu'elle
échauffe outre mesure; en effet, l'avantage qui résulte, pour les autres
parties, de l'emploi des bandages, sera obtenu, quand il s'agit de la tête,
à l'aide de la position; si, par conséquent, on emploie la déligation, ce
sera une superfluité, et il en résultera de plus une pesanteur plus ou
moins pénible. Si on applique des bandages sur la région pariétale, ils 40
ne se bornent pas seulement à peser sur les parties et à les échauffer,
mais ils emprisonnent aussi les mâchoires, de sorte que, pour cette rai-
son même, ils finissent par être à charge et par devenir insupportables.
Les plaies de la tête qui, aussitôt après l'accident, se compliquent d'une 41
tuméfaction spongieuse, ont besoin de la déligation, non pas pour elles-

8. ἡ post κεφ. om. U. — 9. τε om. U. — 11. τό U. — 14. οὐ διὰ ἑαυτά conj.; οὐδ' αὐτά U; οὐ διὰ ταῦτα R. — Ib. ἀλλὰ διά conj.; ἀλλὰ καὶ διά RU.

Cocchi 113. διὰ τοῦτο μαλακὸν σπόγγον ὀξυκράτῳ βρέξαντες ἐπιτίθεμεν, ἄνωθεν δὲ αὐτοῦ τὴν μεσότητα τοῦ ἐπιδέσμου θέντες, ἐφεξῆς οὕτω τὴν
42 ὀνομαζομένην ἀπὸ δυοῖν ἀρχῶν ἐπίδεσιν ποιούμεθα. Χωρὶς δὲ ἄλλης διαθέσεως ἕλκος ἐν κεφαλῇ διὰ τὴν ἐκτροπὴν τῶν χειλῶν ἐπιδοῦμεν, εἰ μὲν ἀμφότερα τοῦτο πεπόνθοι, παρασκευάζοντες μὲν ἐπίδεσιν ἀπὸ δυοῖν ἀρχῶν, ἀρχόμενοι δὲ τῆς ἐπιδέσεως ἐξ ἀντικειμένης οὕτω χώρας ὡς ἀπαντῆσαι τὰ σκέλη τοῦ ἐπιδέσμου κατὰ τὸ ἕλκος ἀλλήλοις· εἰ δὲ τὸ ἕτερον μόνον ἐκτετραμμένον εἴη, ἀπὸ μιᾶς ἀρχῆς εἰλημένῳ τῷ ἐπιδέσμῳ χρώμενοι, τὴν πρώτην εὐθέως ἐπιϐολὴν ποιησόμεθα κατὰ ἐκεῖνο τὸ μέρος, ἔνθα τὸ χεῖλος ἐκτέτραπται, τρεῖς ἢ τέτταρας δακτύλους ἀπέχουσαν τοῦ ἕλκους, ὡς ἐπαγομένου τοῦ ἐπιδέσμου προσάγεσθαι θατέρῳ χείλει τὸ ἐκτετραμμένον.

κϐʹ. Περὶ τερηδονισμοῦ κρανίου. Ἐκ τῶν Ἡλιοδώρου.

1 Τὴν τοῦ κρανίου φθορὰν καὶ τῶν ἄλλων ὀστέων συνήθως οἱ ἰα-

mêmes, mais à cause de la tuméfaction; pour cette raison, on recouvre cette tuméfaction d'une éponge molle imbibée d'eau vinaigrée, et sur cette éponge, on place le milieu de la bande, pour faire ainsi le ban-
42 dage nommé *bandage à deux chefs* (XLVIII, 19). Quand une plaie de tête ne présente aucune complication, le seul renversement des bords de cette plaie est pour nous une raison de recourir au bandage; si les deux bords ont éprouvé cet accident, nous préparons un bandage à deux chefs, et nous commençons la déligation sur le côté opposé à la plaie, de telle façon que les tours de bande se rencontrent sur la plaie; si l'un des deux bords est seul renversé, nous employons un bandage roulé à chef unique, et nous appliquons immédiatement le premier tour de bande sur l'endroit où le bord est renversé, à trois ou quatre doigts de distance de la plaie, de manière qu'en tirant la bande on rapproche le bord renversé de l'autre.

22. DE LA CARIE DU CRÂNE. — TIRÉ D'HÉLIODORE.

1 Habituellement les médecins appellent *carie* la corruption du crâne,

6. ἐπίδεσμον R 1ª m. U. — Ib. δέ] μέν U.

Cocchi 113-114.

τροὶ τερηδόνα προσηγόρευσαν· διαφοραὶ δὲ τερηδόνων εἰσὶν αἵδε·
ἢ γὰρ χαυνοῦται, ἢ ἀραιοῦται μελαινόμενον τὸ φθειρόμενον ὀστέον,
ἢ ἀναβιβρωσκόμενον βοθροῦται· ἱστόρησα γὰρ καὶ κυκλοτερῆ τερηδόνα,
ἐφ' ἧς τοῦ μέσου ὀστέου κατὰ φύσιν ἔχοντος, φθείρεται ὁ
κύκλος· παρὰ δὲ τὸ βάθος ἢ λιπαίνεται τὸ ὀστέον μελλούσης γί-
νεσθαι τῆς φθορᾶς, ἢ φθείρεται κατὰ | τὴν ἐπιφάνειαν τερηδονιζό- 114
μενον, ποτὲ δὲ ἐπὶ πλέον κακοήθως, τῆς σήραγγος κατὰ φύσιν
ἐχούσης, ἔστιν ὅτε δὲ καὶ αὐτὴ ἡ σήραγξ φθείρεται, τοῦ πλείονος
πάχους τοῦ ὀστέου τερηδονιζομένου. Ὅλου δὲ διὰ ὅλου τοῦ πάχους 2
τοῦ κρανίου τερηδονισθέντος ἡ μῆνιγξ ἀφίσταται ὑγροῦ ὑποσυλλε-
γομένου, καί ποτε μὲν ἀφίσταται κατὰ φύσιν ἔχουσα, ὡς ἐπὶ τοῦ
ὑποπύου γενομένου κρανίου, ποτὲ δὲ καὶ αὐτὴ φθείρεται. Σημεῖα 3
δὲ τερηδόνων τάδε· ἐπὶ πάσης τερηδόνος τὸ ἕλκος γίνεται πλαδα-
ρὸν, σομφὸν, ἀκάθαρτον, ῥευματιζόμενον ἰχῶρι λεπτῷ· ἐὰν δὲ ἐπὶ

ainsi que celle des autres os; voici quelles sont les diverses espèces de
carie : ou l'os qui se corrompt devient spongieux, ou il perd sa densité en
se noircissant, ou bien il s'y forme de petits trous par corrosion; car j'ai
observé aussi une *carie circulaire* dans laquelle la partie centrale de l'os
était dans son état naturel, tandis que la circonférence se corrompait;
par rapport à la profondeur du mal, l'os peut devenir graisseux quand
la corruption est sur le point de faire invasion, ou il se détruit superfi-
ciellement par la carie; quelquefois la carie, étant plus maligne, pé-
nètre plus profondément, bien que les cellules médullaires soient dans
leur état naturel; d'autres fois ces cellules elles-mêmes se corrompent
aussi, lorsque la majeure partie de l'épaisseur de l'os est affectée de
carie. Quand l'épaisseur du crâne est affectée de carie de part en part, 2
la membrane du cerveau s'écarte de l'os, par suite de l'accumulation
lente du liquide; tantôt elle s'en écarte en restant dans son état naturel,
comme cela arrive dans les collections de pus au-dessous du crâne, et
tantôt en se corrompant aussi. Voici les signes de la carie : dans toute 3
carie la plaie s'imprègne d'humidité, devient spongieuse et sordide, et
il s'y établit un afflux d'ichor ténu; si cette maladie survient à la suite

10-11. συλλελεγμένου U.

Cocchi 114.
φαγεδαινικῷ ἕλκει, ἢ ἄλλως κακοήθει, ἢ κηρίῳ, ἢ σύριγγι γίνηται τὸ πάθος, μετὰ τῶν ἑκάστῳ πάθει συνεδρευόντων σημείων καὶ τὰ τῆς τερηδόνος συνεδρεύει.
4 Διὰ δὲ τῆς μηλώσεως γινώσκεται· λιπασμοῦ μὲν ὄντος, καθεθεῖσα ἡ μηλωτρὶς ἀντιτύπῳ τῷ ὀστέῳ ἐπιβαίνει, ἧς παραφερομένης αἰσθήσεται ὁ σημειούμενος ἐπιλιποῦς οὐσίας τῆς τῷ ὀστέῳ προσκειμένης· τερηδόνος δὲ οὔσης ἐπιπολαίου, χαῦνον τῇ ἐπερείσει ὑποπεσεῖται τὸ ὀστέον, καὶ μᾶλλον ἰχωῤῥοοῦν τὸ ἕλκος φανήσεται, ἰχῶρι λεπτῷ ὑγραινόμενον· βαθυτέρας δὲ οὔσης τῆς τερηδόνος, ἕως τῆς σήραγγος κεχαυνωμένου τοῦ ὀστέου, τῆς δὲ σήραγγος κατὰ φύσιν ἐχούσης, τραχύτερον ὑποπεσεῖται τὸ ἐφθαρμένον ὀστέον· ἐὰν [δὲ] ᾖ μᾶλλον κεχαυνωμένον τῷ ῥεύματι, ὅμου τῇ τῆς ἐπερείσεως βίᾳ ἡ μηλωτρὶς εἰς αὐτὸ τὸ ὀστέον ἐμπαγήσεται· εἴωθε δέ ποτε διὰ τοῦ κεντήματος ἐκ τῆς σήραγγος παρὰ τῆς διπλόης ἀναφέρεσθαι αἷμα· τὰ δὲ ἀλγήματα σφοδρότερα παρακο-

d'un ulcère phagédénique ou malin, par quelque autre cause que ce soit, ou si elle est la suite d'un *favus*, ou d'une fistule, les signes de la carie coïncident avec ceux qui accompagnent chacune des maladies susdites.
4 On reconnaît la carie par l'introduction de la sonde; s'il y a un état graisseux de l'os, la sonde, après son introduction, vient frapper un corps résistant, et, si on imprime un mouvement latéral à la sonde, l'explorateur constatera que l'os est recouvert d'une substance graisseuse; si la carie est superficielle, on trouve, en appuyant la sonde sur l'os, que sa substance est spongieuse, et l'on constate un afflux plus fort d'ichor vers la plaie, laquelle sera, dans ce cas, humectée d'un liquide ténu de même espèce; si la carie pénètre plus profondément et va jusqu'aux cellules médullaires, de sorte que l'os soit devenu spongieux, bien que les cellules médullaires conservent leur état naturel, on reconnaît une rugosité plus ou moins prononcée de l'os corrompu; si l'afflux de l'ichor a rendu l'os encore plus spongieux, la sonde, à l'instant même où on l'appuie avec force sur l'os, s'engagera dans l'intérieur de l'os lui-même; parfois, du sang venant de la table intérieure du crâne remonte des cellules médullaires à travers la piqûre [qu'on a faite avec la sonde], et ces symptômes s'accompagneront de douleurs plus fortes qu'elles n'étaient

11. [δὲ] ex em.; om. RU. — 12. ὅμου ex em.; ὁμῶς RU.

Cocchi 114.
λουθήσει ἢ τὰ πρότερα. Κατὰ δὲ τὸ πλεῖον πάχος, ἢ διὰ ὅλου τοῦ
πάχους τετερηδονισμένου τοῦ κρανίου, καὶ διὰ αὐτὸ τοῦτο τῆς μή- 5
νιγγος προσαφισταμένης, ὑγροῦ ὑπὸ τὸ κρανίον συλλελεγμένου,
σημεῖα συνεδρεύει τὰ ἐπὶ τῶν ὑποπύων ὀστέων ῥηθησόμενα. Ἐὰν 6
δὲ καὶ αὐτὴ ἡ μῆνιγξ κακωθῇ, ἅτε δὴ κυρίου συγκρίματος φθειρομένου, τὰ ὀλέθρια σημεῖα συνεδρεύει, ὧν τὴν παράδοσιν ἐν τοῖς
ἐχομένοις ποιήσομαι. Ἐπὶ δὲ τῆς κατὰ ἀνάβρωσιν τερηδόνος ἐν τῇ 7
μηλώσει ἀπὸ στερεοῦ κύκλου εἰς τὸ μέσον κοίλωμα εἰς τὸ βεβρωμένον χώρημα κενεμβατήσει ἡ μηλωτρὶς, τὰ δὲ ἄλλα πάντα ὅσα ἐπὶ τῶν τερηδόνων εἴρηται, καὶ νῦν συνεδρεύει. — Ἡ δὲ κυκλοτε- 8
ρὴς τερηδὼν τότε μάλιστα γινώσκεται, ὅταν ἡ τῶν σωμάτων γένηται ἀνασ τολή. Ἀπαγορευέσθω δὲ τερηδὼν ἡ διὰ ὅλου τοῦ πάχους, 9
τῆς μήνιγγος ἀφισταμένης καὶ φθειρομένης, ᾗ συνεδρεύει τὰ ὀλέθρια σημεῖα· συνεγγίζει γὰρ ἐπὶ αὐτῆς ὁ θάνατος. Δυσίατος δὲ 10

auparavant. Si la carie a affecté la plus grande partie de l'épaisseur 5
de l'os, ou si elle l'a pénétré de part en part, et si, pour cette raison même, la membrane du cerveau s'est écartée du crâne, on retrouvera les mêmes signes que nous décrirons à propos des os qui recouvrent une collection de pus (chap. 16), attendu que, dans ce cas, il y aura également une collection de liquide sous le crâne. Si la membrane du cer- 6
veau est elle-même lésée, les symptômes mortels surviennent, vu qu'un tissu important se corrompt; dans la suite de ce traité, je donnerai l'exposition de ces symptômes. Si, dans la carie par corrosion, on explore avec 7
la sonde, cet instrument, en passant de la circonférence solide dans la cavité centrale, tombera dans le vide, c'est-à-dire dans l'espace corrodé; du reste, tous les symptômes que nous avons exposés en parlant de la carie [en général] se présenteront également dans le cas actuel.
— La carie circulaire se reconnaît surtout après qu'on a fait le débri- 8
dement des parties. On refusera de traiter la carie qui pénètre l'os dans 9
toute sa profondeur, et dans laquelle la membrane du cerveau s'écarte de l'os et se corrompt, espèce de carie qui s'accompagne de l'apparition
des signes mortels; en effet, dans ce cas, la mort est proche. La carie 10

13. ἀφισταμένη καὶ φθειρομένη R.

Cocchi 114-117.
ἐστι τερηδὼν ἡ διὰ πάχους γεγονυῖα, τῆς μήνιγγος κατὰ φύσιν
11 ἐχούσης· ἐπὶ γὰρ ταύτης δοκιμασθῆναι ὀφείλει ἡ ἀνάτρησις. Ὁ δὲ
λιπασμὸς καὶ ἡ ἐπιπόλαιος τερηδὼν, κἂν ἕως τῆς διπλόης ᾖ γεγε-
νημένη, ταύτης κατὰ φύσιν ἐχούσης, ἐμφανίζουσι τὴν εὐθεραπευ-
12 σίαν. Ἐπὶ πάσης τερηδόνος ἀναστεῖλαι δεῖ τὰ σκέποντα τὸ ὀστέον
σώματα, ἵνα καταφανὴς γένηται ἡ τοῦ ὀστέου φθορά· δεῖ δὲ ἅμα
μὲν περισαρκίσαι, ἅμα δὲ διελεῖν ἐν τῷ διαστέλλειν, ὡς ἂν ἀπαιτῇ
13 ἡ ἐγχείρησις. Ἀνασταλέντων δὲ τῶν σωμάτων, τὰ κατὰ ἀναλογίαν
14 τῆς τερηδόνος ἔργα δοκιμαζέσθω. Λιπάσματος μὲν οὖν ὄντος, ἢ
117 ἐπιπολαίου φθορᾶς, ἐγκρινέσθω ξύσις, | οὐχ ἵνα μόνον ἡ ἐπιλιπὴς
οὐσία ξυσθῇ, ἀλλὰ ἵνα τῇ ἐπιμόνῳ ξύσει καὶ ἡ πυκνὴ ἐπιφάνεια
τοῦ κρανίου δαπανηθῇ· ἡ γὰρ σάρκωσις ἐκ τῆς σήραγγος γίνεται.
15 Εἴωθα δέ ποτε μετὰ τὴν ἀναστολὴν καὶ τὴν πρώτην ξύσιν τῆς
ἐπιφανείας ἐπὶ τὴν ἀναξηραίνουσαν θεραπείαν ὁρμᾷν τὴν διὰ τῶν

qui a pénétré dans la profondeur, mais dans laquelle la membrane du
cerveau a conservé son état naturel, est difficile à guérir : dans ce cas, en
11 effet, on doit recommander le percement du crâne. L'état graisseux des
os et la carie superficielle présagent une guérison facile, lors même que
la carie pénètre jusqu'à la table intérieure du crâne, pourvu que cette
12 table elle-même conserve son état naturel. Dans toutes les caries, il faut
débrider les parties qui recouvrent l'os, afin de mettre à découvert les
portions corrompues; mais on doit à la fois disséquer dans tous les sens
et diviser les parties dans l'écartement, suivant que [les circonstances
13 de] l'opération l'exigeront. Après avoir débridé, on recommandera les
14 procédés qui correspondent à chaque espèce particulière de carie. Ainsi,
existe-t-il un état graisseux ou une corruption superficielle de l'os, on
aura recours à l'emploi de la rugine, non-seulement pour racler la subs-
tance graisseuse, mais aussi pour détruire, par l'emploi persistant de la ru-
gine, la surface compacte du crâne, car le bourgeonnement provient des
15 cellules médullaires. Quand le malade ne peut pas supporter l'emploi
de la rugine, parce qu'il lui cause de la douleur, j'ai parfois l'habitude
de passer, après avoir fait le débridement et ruginé une première fois la

3. ἢ om. U. — 4. αὐτῆς U. — 8. κατὰ τὴν ἀναλ. U.

Cocchi 117.

κεφαλικῶν ξηρίων, ἢ ἐμπλάσΊρων, ἵνα κατὰ λεπίδος ἀπόσΊασιν χωρισθῇ τὸ ἠλλοτριωμένον ὀσΊέον ἀπὸ τοῦ ὑγιοῦς, ὅταν τὴν ξύσιν ἐπώδυνον οὖσαν μὴ δύνηται ὑπομένειν ὁ πάσχων. Ἐπὶ δὲ τῆς κατὰ 16
ἀνάϐρωσιν τερηδόνος, βεϐοθρισμένου τοῦ κρανίου, πάλιν δεῖ μετὰ τὴν τῶν σωμάτων ἀνασΊολὴν ὅμοιόν τι ξύσει δρᾶσαι διὰ τῶν σμιλιωτῶν ἐκκοπέων, καὶ πάλιν τῇ αὐτῇ ἀγωγῇ τῆς θεραπείας χρήσασθαι, ἢ διὰ τῶν κεφαλικῶν ξηρίων, ἢ ἐμπλάσΊρων. Ὅταν δὲ 17
ὅλον τὸ πάχος τοῦ ὀσΊέου φθαρῇ, ἐπὶ τὴν ἀνάτρησιν ὁρμῆσαι δεήσει. Ἐπὶ δὲ τῆς κυκλικῆς τερηδόνος, ἐπὶ ἧς κυκλοτεροῦς οὔσης τῆς 18
φθορᾶς, τὸ μέσον ὀσΊέον ἔμεινε κατὰ φύσιν ἔχον, μετὰ τὴν τῶν σωμάτων ἀνασΊολὴν, ἐπιπολαίου μὲν οὔσης τῆς τερηδόνος, τὴν ξύσιν δοκιμάζειν δεῖ καὶ δαπανᾷν μετὰ τοῦ σιναροῦ τὸ ὑγιές· βαθείας δὲ, ἐπὶ τὴν ἔκτρησιν τοῦ πεπονθότος ὀσΊέου ὁρμᾷν καὶ διδόναι δύο σΊίχους τρημάτων κυκλοτερεῖς, τὸν μὲν ἔξω, τὸν δὲ ἔνδον, καὶ συναναιρεῖν τὰ κατὰ φύσιν τῷ παρὰ φύσιν. Ἀνατρήσεως δοκιμα- 19

surface, au traitement desséchant par les poudres ou les emplâtres céphaliques, afin que la partie de l'os qui a changé de nature se sépare de la partie saine par le détachement d'écailles osseuses. Dans la carie par 16
corrosion, carie dans laquelle le crâne est creusé de trous, on se servira également, après le débridement des parties, au lieu de rugine, de scalpels à excision semblables à des scalpels ordinaires, et on emploiera de nouveau le même traitement, soit par les poudres, soit par les emplâtres céphaliques. Lorsque toute l'épaisseur de l'os s'est corrompue, on percera 17
le crâne. Dans la carie circulaire, maladie dans laquelle, en raison de la 18
forme circulaire de la corruption, la partie centrale de l'os a conservé son état naturel, il faut, après le débridement, quand la carie est superficielle, recommander l'emploi de la rugine, et détruire la partie saine avec la partie viciée; quand la carie est profonde, il faut se décider à enlever la portion malade de l'os par la trépanation, et à percer deux rangées circulaires de trous, l'une à l'extérieur et l'autre à l'intérieur, et enlever la partie saine en même temps que la partie malade. Si on a 19

1. ξηρίων ex em.; ξηρῶν RU; it. l. 7. — Ib. ἀπότασιν U. — 5-6. σμηλιωτῶν U. — 10. μέσον] μέν U. — 13. ἔκκρουσιν U.

Cocchi 117.
σθείσης ἡ ἀκόλουθος ἐπιμέλεια ἐγκρινέσθω ἡ ῥηθησομένη ἐν τῷ περὶ τῶν τοῦ κρανίου καταγμάτων λόγῳ· ξύσεως δὲ, ἡ ἀναξηραίνουσα θεραπεία ἐγκρινέσθω.

κγʹ. Περὶ ὑποδραμόντος αἵματος. Ἐκ τῶν Ἀρχιγένους.

1 Ὑποδρομὴ δὲ αἵματος ἡ μὲν ὑπὸ διπλόῃ δήλη, ὡς καὶ ἡ ὑπὸ
ὄνυξιν· χρόνῳ δὲ μεταβαλλόμενον εἰς πύον τὸ αἷμα μηλίζον ἀπο-
2 δείκνυσι τὸ ὀστοῦν. Ἀλλὰ τοῦτο μὲν καὶ γνῶναι, καὶ ἁπλῶς ἐκτρή-
σαντα κομισάμενόν τε τὸ ὑγρὸν θεραπεύειν ῥᾴδιον· ἡ δὲ ὑπὸ
μήνιγγι ἑκατέρως ἐστὶ χαλεπή· ἐκ τοῦ παθεῖν γὰρ μήνιγγας δια-
3 φαίνεται. Διὰ τοῦτο ἄρα πυρετοὶ μετὰ φρίκης ἐπιγίνονται, ἔρευθος
προσώπου, καὶ περισσὴ ἡ θέρμη ἡ κατὰ τὸν πυρετὸν, ταραχώ-
δεις τε ὕπνοι, ὀφθαλμοὶ ὑπολίπαροι καὶ λημώδεις καὶ ἐρυθροὶ,

jugé convenable de percer le crâne, on aura recours au traitement secondaire que nous exposerons (ch. 19) en parlant des fractures du crâne; si on a employé la rugine, on adoptera le traitement desséchant.

23. DU SANG QUI S'ACCUMULE AU-DESSOUS [DE LA TABLE INTERNE DU CRÂNE]. — TIRÉ D'ARCHIGÈNE.

1 L'accumulation du sang au-dessous de la table intérieure du crâne
est accessible à la vue, de même que celle qui a lieu sous les ongles; par
l'effet du temps le sang se change en pus et donne à l'os une couleur vert-
2 pomme. Cette affection est facile à reconnaître, et il est facile aussi de
la guérir, en perçant simplement le crâne et en évacuant le liquide; mais
l'accumulation de sang sous la membrane du cerveau est grave, eu égard
à la difficulté du diagnostic et à celle du traitement : en effet, elle ne
3 se trahit que par les souffrances des méninges. Aussi les malades pré-
sentent-ils des fièvres accompagnées d'horripilations, de la rougeur de
la face, une chaleur excessive pendant tout le cours de la fièvre, un
sommeil troublé, des yeux légèrement graisseux, chassieux et rouges; la

Ch. 23, l. 4. καὶ ὑπό U. — 7. κομισαμένου τε τοῦ ὑγροῦ U. — Ib. ἐπί U. — 9. οἱ πυρετοί U. — 10. ἡ θέρμη ἡ κατά U.

Cocchi 117-118.

ἄτροφόν τε τὸ ἕλκος καὶ ἀνεκπύητον καὶ βλιχῶδες· ἔστι δὲ οἷς
καὶ ἐπὶ γλώσσῃ φλυκτίς. Οὗτοι ταχέως μὲν χειρισθέντες ὑπόνοιαν 4
ἔχουσι σωτηρίας, βραδέως δὲ ὡς ἐπίπαν τελευτῶσιν.

κδ'. Περὶ μελανίας.

Μελανίας δὲ τὰς μὲν ὑπὸ κακότητος φαρμάκου γινομένας, καὶ 1
τῇ φύσει τοῦ ὀστοῦ ῥᾴδιον γνῶναι· ταχὺ γὰρ λευκαίνεται· ἔτι καὶ
τῷ μὴ δυσώδη τὸν ἰχῶρα εἶναι, στερεάν τε τὴν σάρκα καὶ τὴν περὶξ
τρίχωσιν· ξύσις δὲ ἐπὶ αὐτῇ δυνατὴ τὸ μελανθὲν αἴρουσα· τὰς δὲ
ὑπὸ τῶν ἐν τῷ σώματι αἰτιῶν κατὰ | διαφθορὰν γινομένας ἔκ τε τοῦ 118
μαδᾷν τὴν τρίχα δυσώδη τε τὸν ἰχῶρα εἶναι, ἄνικμόν τε τὸ ὀστοῦν,
καὶ μήτε ἀνιέναι πρὸς τὴν ξύσιν, μήτε λευκαίνεσθαι, ἀλλὰ μένειν
πέλιον, πυρετόν τε ἔχειν, γλῶσσαν ξηράν, κροτάφων ὀδύνην. Καὶ 2

plaie se ratatine, elle est dépourvue de suppuration et comme graisseuse
(cf. Hipp. *Plaies de tête*, § 19); chez quelques malades, il se forme aussi
une vésicule sur la langue. Si l'on se presse de traiter ces malades, il 4
reste quelque espérance de salut; si, au contraire, on tarde, ils meurent
en général.

24. LE LA COULEUR NOIRE DES OS.

La couleur noire qui tient aux mauvaises qualités d'un médicament, 1
ou à la nature de l'os, est facile à distinguer : en effet, dans le premier cas, elle se change vite en blanc; en outre, on la reconnaît à ce que l'ichor n'a pas de mauvaise odeur, à la fermeté de la chair et à la solidité de la chevelure des parties voisines; puis, dans ce cas, la rugine produit de l'effet puisqu'elle enlève la partie noircie; la couleur noire, au contraire, qui se produit par quelque corruption due à des causes internes, se reconnaît à l'absence de cheveux, à la mauvaise odeur de l'ichor, à la sécheresse de l'os, à ce qu'elle ne diminue, ni ne blanchit, mais reste bleuâtre sous l'action de la rugine, à ce qu'elle est accompagnée de
fièvre, de sécheresse de la langue et de douleur des tempes. Cette affec- 2

Ch. 24, l. 7. αὐτῆς U. — Ib. αἰρῦσα (sic) U.

Cocchi 118.
παρὰ τὸν τόπον δὲ χαλεπωτέρα γίνεται, ὡς καὶ τὰ παρὰ μασητῆρσι καὶ ἰνίῳ, πλὴν συνταχύναντας δεῖ περιτρήσαντας ἀναιρεῖ-
3 σθαι τὸ μελανθὲν καὶ τῇ προσηκούσῃ ἐπιμελείᾳ χρῆσθαι. Ἐπὶ δὲ τῶν παρά τινας προφάσεις ψιλωθέντων ὀσῖῶν δύναται μὲν καὶ ξύσις ἄχρις ἂν ἐφαιμάσσηται, μάλισῖα δὲ ἁπλῶς τρῆσις ἐκ διασῖημάτων μέχρι διπλόης, ἔπειτα δὲ ἶρις ξηρὰ, ἢ ἀρισῖολοχία σὺν μότοις· οὕτω γὰρ ἐκπληροῦται συντόμως ὑπὸ σαρκὸς ὁ τόπος, ἥτις ἐπὶ οὐλὴν ἀχθεῖσα σκεπάζει τὸ ὀσῖοῦν.

κε'. Περὶ ὑπερσαρκώσεως.

1 Σάρκωσιν δὲ περισσὴν καὶ τῶν ὀσῖῶν ὑπερέχουσαν ἐκ τοῦ πλαδαρὰν καὶ ἄτονον καὶ μηδὲν τῶν φλεγμονῇ παρεπομένων ἔχειν
2 γνώσῃ. Ἔσῖι δὲ αὐτὴν καὶ σηπῖῷ φαρμάκῳ καὶ σμιλίῳ ἀφελεῖν, καὶ

tion est aussi plus ou moins grave suivant le siége qu'elle occupe; par exemple elle est plus grave, si elle se montre dans le voisinage des muscles *masseters* ou de l'occiput; il faut se presser [de la traiter], enlever la partie noircie de l'os en l'entourant de trous et recourir à un traite-
8 Ἐπιδεῖν δὲ οὐχ ὡς ἐπὶ τῶν κατεαγότων, ἵνα εἰ μὲν ἐπὶ τὰ δεξιὰ
ῥέποιεν, εἰς ἀριστερὰ περιτρέποιμεν, εἰ δὲ εἰς ἐκεῖνα, πρὸς τὴν
δεξιὰν χώραν ἐπανάγοιμεν, ἀλλὰ ἰσόῤῥοπον ποιεῖσθαι τὴν ἐπίδε-
σιν, ἐπειδὴ τὰ κατὰ τὸν πόδα τῆς ἰδίας χώρας ἐξιστάμενα τῶν ὀστῶν
οὐκ εἰς τὰ πλάγια ποιεῖται τὴν ῥοπὴν, ἀλλὰ εἰς τὸν ἄνω τόπον, ἢ
9 κάτω. Χρηστέον δὲ καὶ τῇ τοῦ θερμοῦ ὕδατος καταντλήσει πλέονι·

à propos des fractures; en effet, il convient de commencer par la double
tension (*extension* et *contre-extension*), pour être en mesure de faire con-
venablement la coaptation des parties déplacées; après la coaptation,
on cherchera, par l'application du bandage, à satisfaire aux mêmes in-
dications; car nous désirons que la partie soit à l'abri de l'inflamma-
tion, et que l'os qui a été l'objet de la coaptation se trouve serré et
6 retenu par les linges. Nous recommandons donc également, dans le cas
actuel, d'appliquer un appareil semblable à celui qu'on emploie pour les
fractures, à l'exception cependant des attelles, puisque la nature de la
7 partie lésée ne permet pas l'application de ces pièces de pansement. Il
faut employer un assez grand nombre de bandes et de compresses, parce
8 que la région dont il s'agit ne se prête pas à l'application des attelles. On
n'appliquera pas l'appareil de la même façon que sur les membres frac-
turés où l'on a pour but de ramener le membre à gauche, quand il tend
à dévier vers la droite, et à droite, quand c'est vers la gauche; on
construira un bandage qui ne cause de déviation ni d'un côté ni de
l'autre, attendu que les os du pied luxés n'inclinent pas à se porter sur
9 les côtés, mais en haut ou en bas. On aura aussi recours à une affusion

12-13. ἐπίθεσιν R.

Cocchi 153.

χαλᾶσθαι γὰρ χρήζει τὰ κατὰ ἄρθρα μάλιστα παθήματα, καὶ ὅτι νευρωδέστερά τέ ἐστι καὶ ὀστωδέστερα ταῦτα τὰ μόρια, θλίβεταί τε ὑπὸ τῶν ὀστῶν τὰ φλεγμαίνοντα.

ια'. Περὶ τῶν κατὰ ῥάχιν σπονδύλων.

Ὅταν συνημμένον γένηται τοῖς σπονδύλοις φῦμα, μετεωριζομένῳ 1
τούτῳ καὶ αὐξανομένῳ πρὸς τὴν ἔνδον χώραν ἀναγκαῖον ἕπεσθαι
τοὺς συνδέσμους τῶν σπονδύλων, οἷς πάλιν αὐτοὺς τοὺς σπονδύλους
ἀκολουθεῖν. Ἐὰν μὲν οὖν κατὰ μίαν χώραν γένηται τὸ φῦμα, ταύ- 2
της ἑλκομένης ἐντὸς ἡ λόρδωσις συμβαίνει τοῖς τῆς ῥάχεως σπονδύ-
λοις· ἐὰν δὲ κατὰ δύο, μεταξύ τινος ἀπαθοῦς περιλαμβανομένης
χώρας, ἡ κύφωσις· ἑκατέρου γὰρ τῶν φυμάτων ἕλκοντος πρὸς ἑαυτὸ
τὸν συνεχῆ σπόνδυλον, οἱ μέσοι κυρτοῦνται πρὸς τοὐπίσω. Οὐ μὴν 3
οὐδὲ αἱ σκολιώσεις ἑτέραν ἔχουσιν αἰτίαν γενέσεως, ἀλλὰ καὶ ταύ-

assez abondante d'eau chaude; car les affections des articulations ont surtout besoin d'être relâchées, attendu que les tissus enflammés sont comprimés par les os, et que les nerfs (*tissus fibreux*) et les os prédominent dans ces parties.

11. DE LA LUXATION DES VERTÈBRES DE L'ÉPINE DU DOS.

Lorsqu'une tumeur tuberculeuse se développe sur les vertèbres et 1
y adhère, les ligaments de ces os suivent inévitablement le mouvement de
la tumeur quand elle grandit et s'élève vers le côté interne, et, à leur
tour, les vertèbres elles-mêmes suivront le mouvement des ligaments.
S'il n'y a donc qu'un seul point occupé par la tumeur, et si elle est tirée 2
en dedans, les vertèbres de l'épine du dos sont prises de *lordose* (*cour-
bure d'arrière en avant*) ; si, au contraire, il y a des tumeurs dans deux
endroits, et s'il existe un espace intermédiaire exempt de maladie et com-
pris entre ces deux tumeurs, c'est la *cyphose* (*courbure d'avant en arrière*)
qui surviendra; en effet, si chacune des deux tumeurs tire à soi la vertèbre
qui lui est contiguë, celles qui se trouvent au milieu se courbent en ar-
rière. Les scolioses se forment pour la même cause; mais cette espèce de 3

Ch. 11, l. 8. ἡ om. R.

Cocchi 153-154.
τας γίνεσθαι συμβαίνει σκληροῦ καὶ δυσπέπτου φύματος ἔν τινι τῶν πλαγίων μερῶν συνισταμένου· τρία γὰρ ταῦτα πάθη κατὰ τὴν ῥάχιν ἐν ταῖς τῶν σπονδύλων γίνεται μεταστάσεσι, κύφωσις, λόρδωσις, σκολίωσις, ὀπίσω μὲν ἀποχωρούντων ἡ κύφωσις, εἰς τὰ πρόσω δὲ ἰόντων ἡ λόρδωσις, ἐπὶ δὲ τὸ πλάγιον ἐκτρεπομένων ἡ
4 σκολίωσις. Ἔξωθεν δὲ τούτων ἡ σεῖσις καλουμένη τέταρτον πάθος ἐσῖὶ τῶν ἐν τῇ ῥάχει σπονδύλων, ὅταν διακινηθῶσι μὲν αἱ ἁρμο-
5 νίαι, κατὰ χώραν δὲ μένωσιν οἱ σπόνδυλοι. Ἐπεὶ δὲ γιγγλυμοειδῶς οἱ σπόνδυλοι σύγκεινται, ὅταν τις ἐξ αὐτῶν κατὰ ὀντινοῦν τρόπον ἐκσῖῇ τῆς διαρθρώσεως, χαλεπώτατόν ἐσῖιν αὐτὸν ἐμβιβάσαι, πολλῶν μὲν ἀποφύσεων οὐσῶν, πολλῶν δὲ κοιλοτήτων ἐν ἑκάσῖῳ.

154 | ιϐʹ. Ὅτι καὶ διὰ νόσον χρονίαν ἔξαρθροί τινες γίνονται, ἐκ τῶν Ἀσκληπιάδου τοῦ Βιθυνοῦ.

1 Ὅτι χωρὶς φανερᾶς αἰτίας νοσησάντων χρονίως ἐκβαίνει τὰ ἄρθρα,

courbure se produit aussi lorsqu'il surgit un tubercule dur et lent à mûrir sur quelqu'une des parties latérales [de l'épine du dos]; car les déplacements des vertèbres donnent lieu aux trois maladies suivantes : à la *cyphose*, à la *lordose* et à la *scoliose;* il y a cyphose, si les os sont proéminents en arrière; lordose, si c'est en avant; scoliose, si les os dévient sur
4 les côtés. Il y a encore une quatrième maladie des vertèbres du dos qui s'appelle *succussion;* c'est quand les articulations ont été disjointes sans
5 que les vertèbres quittent leur place. Comme les vertèbres sont réunies entre elles par des articulations en forme de charnière, il est très-difficile d'en réduire une quand elle s'est luxée, de quelque manière que ce soit, attendu que chacun de ces os a plusieurs apophyses et plusieurs cavités.

12. QU'IL SURVIENT AUSSI DES LUXATIONS PAR SUITE D'UNE MALADIE CHRONIQUE. — TIRÉ D'ASCLÉPIADE DE BITHYNIE.

1 Que les articulations se luxent sans cause apparente, à la suite d'une

11. μὲν οὖν RU.

Cocchi 154.

δίδωσι μὲν καὶ Ἱπποκράτης μαρτυρίαν ἐν τοῖς περὶ ἄρθρων, περιπέπλωκα δὲ κἀγὼ δυσὶν, ἑνὶ μὲν ἐν Παρίῳ, ὃς οὔτε πληγεὶς, οὔτε πεσὼν, ἀλγήσας δὲ τὸ σκέλος ἐξ ἀρχῆς, καὶ κατακλιθεὶς ἐπὶ τρεῖς μῆνας, εἱλκύσθη καὶ ἐξέβαλε τὴν τοῦ μηροῦ κεφαλὴν εἰς τὸ ἔξω, διὰ ὑπερβολὴν τῶν ἀλγημάτων τοῦτο παθὼν, ὡς νομίζω· ἑτέρῳ δὲ νεανίσκῳ τραγῳδοποιῷ τινι· καὶ γὰρ καὶ οὗτος ἄνευ φανερᾶς αἰτίας ἐξ ἰσχιάδος ἐξέβαλε τὸν μηρὸν ἔξω, τῆς σαρκὸς διὰ τὴν φλεγμονὴν ἐπισπασαμένης τὸ ἄρθρον καὶ ἐκ τῆς οἰκείας χώρας ἐκβαλούσης.

ιγ'. Περὶ τῶν ἀφαιρεθησομένων μερῶν, ἐκ τῶν Ἀρχιγένους.

Ἀφαιρεῖται δέ τινα μέρη τοῦ σώματος· καλὸν γὰρ ἐπὶ ἑνὸς τόπου 1 τὸν καθόλου παραδοῦναι λόγον· ἢ διὰ νέκρωσιν, ὡς ἐπὶ γαγγραίνης, ἢ σηπεδόνος, ἢ φαγεδαίνης, καί τινων καρκινωμάτων, καὶ ἐπὶ ὧν πλεονάζει τὸ κατὰ φύσιν, τῆς τε τάξεως τῆς προσηκούσης ἐκβέ-

maladie chronique, c'est un fait attesté par Hippocrate, dans son *Traité sur les articulations* (cf. par exemple, §§ 41, 56); j'ai, de mon côté, rencontré deux cas de ce genre; j'ai observé le premier à Parium; le malade n'avait pas été blessé et n'avait pas non plus fait de chute; mais il commença par avoir le membre inférieur douloureux; puis, étant resté couché pendant trois mois de suite, la tête du fémur fut abaissée et luxée en dehors, ce qu'on doit attribuer, je pense, à l'excès de la douleur; l'autre malade était un jeune poëte tragique; il eut, sans cause apparente, à la suite d'une sciatique, une luxation du fémur en dehors, la chair (*les muscles*) ayant, par suite de l'inflammation, exercé une traction sur le membre, qu'elle chassa de sa place naturelle.

13. DES PARTIES QUI DOIVENT ÊTRE RETRANCHÉES. — TIRÉ D'ARCHIGÈNE.

On enlève certaines parties du corps (car il est convenable de placer 1 quelque part dans un traité les généralités de son sujet), soit pour cause de mortification, par exemple, en cas de gangrène, de pourriture, d'ulcère phagédénique, ou de certains carcinomes, soit lorsqu'il y a des parties naturellement conformées mais surabondantes, ou dont les rap-

2. δέ om. U. — Ib. ὅς om. R. — 6. γὰρ οὗτος R. — Ch. 13, l. 12. τε τάξεως τῆς om. U. — 12-p. 245, l. 1. ἐκβεβηκέν (sic) U.

Cocchi 154-157.
βηκε, καὶ ἐπὶ ὧν τύλους ἐκκόψαι βουλόμεθα, ἐπὶ ὧν τε γυμνῶσαι
θέλομεν τὰ ὑποκείμενα, καὶ βελῶν χάριν κομιδῆς, ἢ τῶν σὺν τοῖς
157 βέλεσιν ἐνιεμένων. | Ἀποκόπτομεν καὶ τὰ τῆς φυσικῆς δέσεως λυό-
2 μενα, ὅταν μὴ οἷά τε ᾖ ἐξ ἀρχῆς ὑπὸ φαρμακείας ἀρθῆναι, καὶ χάριν
τοῦ μὴ τὰ πέρατα τῶν τόνων ἀτροφοῦντα συνέλκεσθαι, ὁποῖον καὶ
ἐπὶ τῶν χειριζομένων γίνεται· τινὲς δὲ καὶ τοῦ μετὰ ἐκτομὴν ται-
νίας τὴν ἀναβλαστάνουσαν ἐκ τῶν ὀστῶν σάρκα κωλύειν τὸ ἐπὶ τοὺς
3 ὀφθαλμοὺς φερόμενον ῥεῦμα. Αὗται μὲν δὴ προφάσεις κατὰ ὅσας ἂν
τις ἐπὶ τὴν ἀποκοπὴν ἔλθοι· δεῖ δὲ πρὸ παντὸς τὴν δύναμιν ἐφορᾷν
τοῦ κάμνοντος, εἰ οἷά τέ ἐστιν ὑπενεγκεῖν τὸν τῆς θεραπείας σκο-
πόν· ἔσχατον γὰρ ἔργων ἀποκοπή τε καὶ καῦσις, τάξει τε καὶ δυ-
νάμει, τάξει μὲν ἐπεὶ μεγάλη γίνεται, δυνάμει δὲ ἐπεὶ πάντων

ports avec les autres parties s'écartent de la règle, soit lorsque nous voulons exciser des parties calleuses, ou dénuder les parties sous-jacentes; enfin dans le but d'arracher des armes, ou d'autres objets qui se sont in-
2 troduits avec elles. Nous pratiquons encore l'ablation des parties qui ont perdu leur connexion naturelle [avec le reste du corps], quand il n'est pas possible de les faire disparaître au début par l'emploi des médicaments; ce qui nous engage aussi à faire cette dernière opération, c'est la crainte de voir les extrémités des tendons donner lieu à des crampes par défaut de nutrition, accident qui survient aussi chez les malades qui subissent des opérations chirurgicales; enfin quelques médecins dissèquent et enlèvent un lambeau de chair dans l'espérance que les bourgeons charnus qui s'élèvent des os, après l'ablation de ce lambeau, formeront
3 un obstacle à la fluxion qui se porte vers les yeux. Voilà les causes pour lesquelles on se résout à faire une ablation; mais, avant tout, on doit, considérant l'état des forces du malade, voir si elles permettront d'arriver au but qu'on se propose d'atteindre par ce moyen : car l'ablation et la cautérisation sont les plus graves de toutes les opérations, tant sous le rapport du rang que sous celui de la puissance : sous le rapport du rang, parce qu'elles sont grandes, et sous le rapport de la puissance, parce

4-5. καὶ τοῦ χάριν μή RU. — 7. ἐκ] ἐπί R. — 9. προσέλθοι R. — 11-12. τάξει τε καὶ δυνάμει om. R. — 12. μεγάλη conj.; μεγάλα RU.

Cocchi 157.

μάλιστα. Εὐλόγως οὖν ἰσχύος τῆς τοῦ θεραπευομένου δεῖ, καὶ ἃ 4
μὲν πρὸ τῆς ἀποκοπῆς, ἃ δὲ κατὰ τὴν ἀφαίρεσιν, ἃ δὲ μετὰ αὐτὴν
ποιητέον. Ἀποβροχιστέον οὖν, ἢ διαῤῥαπτέον τὰ φέροντα τῶν 5
ἀγγείων ἐπὶ τὴν τομὴν, καὶ διαδετέον ἐπί τινων πᾶν μέρος, ψυχρῷ τε προσαιονητέον, ἐνίους δὲ καὶ φλεβοτομητέον· εἶτα ἐπιθέντας ἐπί τινος ἀντιτύπου τάξιν ἔχοντος ἐπικόπου. . . . .
Ἐπὶ δὲ τῶν ἐμπλεόντων καὶ ὑποβλητέον τόξον· καὶ ἐπὶ τὴν τάξιν· 6
τάχιον γὰρ ἀφαιρεῖται· περικλιτέον τε τὰς κατὰ ἄρθρον ἀποκοπάς.
Δεῖ δὲ ἐπὶ τούτων ἐπισπασάμενον εἰς τοὺς ἄνω τόπους τὸ δέρμα ἐπὶ 7
τὸ ὑγιὲς, καιρίᾳ, ἤ τινι ἀναλόγῳ κυκλοτερῶς ἀποδῆσαι πιεζοῦντα, παρὰ ἣν ἀπόδεσιν καὶ ὁ περίδρομος τῆς τομῆς ἔσεσθαι μέλλει· εἰς πολλὰ δὲ τοῦτο εὔχρηστον. Ἀνάλογον δὲ πρὸς τὸ ἀφαιρεθησόμενον 8
μέρος καὶ τὸ ἀφαιροῦν ἄρμενον ἔστω. Κείσθω δὲ τὸ ἐξ οὗ ἡ ἀφαι- 9

qu'elles sont plus puissantes que toutes les autres. Évidemment donc, l'a- 4
blation réclame l'intégrité des forces du malade; on doit aussi distinguer
les choses qu'il faut faire avant, pendant et après. D'abord on liera les 5
vaisseaux qui se rendent là où sera pratiquée la section, ou bien on interceptera le cours du sang à l'aide d'une suture; chez certains individus on entourera le membre tout entier d'une ligature; on fera des affusions d'eau froide, et, dans quelques cas, on pratiquera une saignée; puis, après avoir placé le membre sur quelque corps résistant qui puisse ser-
vir de soutien..... S'il s'agit de parties flottantes, on placera aussi un 6
arc en dessous et on suivra la règle ordinaire (?); de cette manière on enlève plus vite le membre; on évitera aussi de faire des amputations dans
les articulations. En tout cas on se servira d'un cordon ou de quelque 7
autre objet analogue pour tirer la peau en haut dans la direction de la partie saine du membre, et, pour la retenir par ce lien, en exerçant une compression circulaire; car on devra affleurer ce lien en faisant le tour avec le couteau; cette façon d'agir est très-utile sous beaucoup
de rapports. L'instrument dont on se sert pour faire la section doit 8
être proportionnel au volume de la partie qu'on veut enlever. La par- 9
tie dont la section doit être opérée sans retard sera placée de telle

2. ταύτην U. — 5-6. εἶτα..... ἐπικόπου om. U. — 7. καὶ ἐπὶ τὴν τάξιν] καὶ ἐπτάξει (sic) R. — 9. ἄνω om. R. — 10. ται νία R.

Cocchi 157.
ρεσις ἐπείγει ὡς τὸ περιχαράσσον, ἢ τὸ ἀποπρῖον ἀνεμποδίσlως
10 ἀνύοι τὸ ἔργον. Εἶτα ἀπὸ τῆς ἀποκοπῆς τὰ νεῦρα κύκλοθεν ἄγειν,
11 ἀποξύσαντας δὲ τοὺς ἐπικειμένους ὑμένας πρίειν. Καὶ πλείονος μὲν
φερομένου αἵματος, ἐπιφλέγειν διαφανέσι καὶ πάχος ἔχουσι καυτη-
ρίοις, προϋποκειμένου ὀθονίου διπlύχου τοῖς ἐξ ὧν τὸ αἷμα φέρε-
12 ται, φυλατlομένους τῶν νεύρων ψαύειν. Εἶτα λύσαντας καταπλάτlειν
πράσῳ καὶ ἄρτῳ μετὰ ἁλὸς, τὰς δὲ ἐπιῤῥοίας σlύφουσι, τένοντας
δὲ καὶ μασητῆρας ἰρίνῃ κηρωτῇ συγχρίειν, ἢ πολλῷ ἐλαίῳ παλαιῷ.
13 Διὰ τρίτης δὲ λύσαντας τοῖς ἤδη προγεγραμμένοις ἀνακαθαίρειν,
τῇ δὲ ἄλλῃ προφυλακῇ τε καὶ θεραπείᾳ χρῆσθαι, ὡς ἤδη μοι
εἴρηται.

ιδ'. Περὶ ἀκρωτηριασμοῦ, ἐκ τῶν Ἡλιοδώρου.

1 Ἀφαιρεῖται χεὶρ, ἢ πούς, γαγγραίνης γενομένης, ἢ ἐξ ἄλλης

manière que l'instrument qui doit faire la section circulaire, ou qui doit
10 scier, puisse accomplir son œuvre sans obstacle. Ensuite on éloignera
les nerfs de tout le pourtour de la plaie, et on sciera après avoir déta-
11 ché en raclant les membranes placées sur [l'os]. S'il y a un écoulement
de sang plus ou moins abondant, on fera une cautérisation avec des cau-
tères chauffés à blanc et ayant une certaine épaisseur, en plaçant au-
dessous des parties dont le sang s'échappe un linge plié en deux, et en
12 évitant de toucher aux nerfs. Après avoir relâché la peau, on appliquera
un cataplasme de poireau et de pain, auxquels on ajoute du sel, et, sur
les parties vers lesquelles le sang afflue, des ingrédients astringents; enfin
on pratiquera, sur la partie postérieure du cou et sur les muscles masti-
cateurs (*temporaux*), des onctions de cérat préparé avec l'huile à l'iris,
13 ou avec une grande quantité d'huile vieille. On lèvera l'appareil tous
les trois (*deux*) jours, on détergera la plaie avec les ingrédients que j'ai
déjà mentionnés plus haut et on aura recours aux autres moyens, soit
prophylactiques, soit curatifs, dont j'ai déjà parlé.

14. DE L'AMPUTATION. — TIRÉ D'HÉLIODORE.

1 On enlève la main, ou le pied, lorsqu'il y a de la gangrène, ou si une

6. τῶν] τό R. — 7. πράσῳ καρτῷ U. — Ib. περιῤῥοίας U. — 9. δέ] οὖν U. — Ch. 14, l. 12. γαγγραίνης] γεγραμμένης R.

Cocchi 157-158.

αἰτίας νεκρωθέντος ἄκρου τινός. Τὰ μὲν οὖν κάτω μέρη τῶν ἄκρων 2
ἀκινδυνότερον ἀφαιρεῖται, τὰ δὲ ὑπεράνω ἀγκῶνος ἢ γόνατος μετὰ
κινδύνου, διὰ | τὸν κατὰ τὸ πλεῖστον ἐν χερσὶ κατὰ αἱμορραγίαν γινό- 158
μενον κίνδυνον, μεγάλων ἀγγείων διακοπτομένων. Ἔνιοι μὲν οὖν κε- 3
νόσπουδον τάχος ἐπιτηδεύοντες, κατὰ μίαν ἐπιβολὴν ὅλα τὰ σώματα
ἐπιχαράσσουσιν, ἔπειτα ἐκπρίζουσι τὰ ὀστᾶ· οὐ γίνεται δὲ ἀκίν-
δυνος ἡ τοιαύτη ἀφαίρεσις, πολλῶν ἀγγείων κατὰ τὸν αὐτὸν καιρὸν
αἱμορραγούντων· διό μοι δοκεῖ τὰ ἀσαρκότερα μέρη τοῦ κώλου πρό-
τερον διελεῖν, ὡς κατὰ τὸ ἀντικνήμιον, ἔπειτα πρίζειν, καὶ μετὰ τὴν
τῶν ὀστῶν πρῖσιν τὰ λοιπὰ σώματα διακόπτειν πρὸς τὴν τοῦ μέ-
ρους ἀφαίρεσιν. Εἴωθα δὲ πρότερον ὑπεράνω τοῦ πριζομένου μέρους 4
ἐπιδέσει χρώμενος, ἐπὶ ὅσον ἐνδέχεται, εἰς συμπλήρωσιν ἄγειν τὰ
ἀγγεῖα, καὶ τότε ἐνεργεῖν ὡς δεδήλωται. Ἐν δὲ τῷ πρίζειν κατὰ 5
ἴσον ἀγέσθω ἡ τοῦ πρίονος λεπὶς, ἵνα καὶ ἡ τῶν ὀστῶν πρῖσις ἴση

extrémité quelconque a été mortifiée par une autre cause. Les parties 2
inférieures des extrémités peuvent être enlevées sans mettre le malade
en grand danger, mais l'amputation des parties situées au-dessus du coude
ou du genou lui fait courir grand risque à cause de la menace d'une hé-
morragie prochaine, dans la très-grande majorité des cas, puisqu'on
est obligé de couper des vaisseaux considérables. Quelques médecins, 3
s'attachant avec un empressement sans motif à la rapidité de l'opéra-
tion, pratiquent d'un seul coup l'incision des parties molles et scient
ensuite les os; mais l'amputation ne se fait pas sans danger de cette
manière-là, vu qu'il y a un grand nombre de vaisseaux qui répandent
du sang à la fois; pour cette raison je suis d'avis de diviser d'abord les
parties les moins charnues du membre, par exemple celles qui corres-
pondent à la face antérieure du tibia, de scier ensuite et après cela de
diviser le reste des parties molles, afin d'arriver ainsi [graduellement] à
l'ablation du membre. Pour obtenir, autant que possible, l'obturation 4
des vaisseaux, j'ai l'habitude d'appliquer d'abord une bande au-dessus de
la région où je scie, et de pratiquer ensuite l'opération de la manière que
je viens de décrire. Pendant qu'on fait agir la scie, il faut imprimer un 5
mouvement uniforme à la lame de cet instrument, afin que la section

9. μετά conj.; κατά RU.

Cocchi 158.
6 γένηται. Πρισθέντων δὲ τῶν ὀστῶν, μετὰ ταῦτα σμιλίῳ ὡς ὅτι τά-
χιστα διακοπτέσθω τὰ καταλελειμμένα συνεχῆ σώματα, καὶ τότε ἅμα
τῇ ἀφαιρέσει προστιθέσθωσαν μότοι μεγάλοι, καὶ ἀντὶ τοῦ μοτοφύ-
7 λακος παράλληλα πτύγματα. Ἔξωθεν δὲ σπόγγοι καὶ ἐπίδεσις παρα-
8 λαμβανέσθω κατὰ ποσὸν προσπεπιεσμένη. Ἀπὸ δὲ τῆς τρίτης, ἢ
τετάρτης ἡμέρας, τῆς αἱμοῤῥαγίας ἐπισχεθείσης, πυοποιὸς ἐπιμέ-
λεια παραλαμβανέσθω, τοῦ ἕλκους ἀεὶ διαμοτουμένου.

ιε'. Περὶ τῶν κατὰ τοὺς δακτύλους συμβαινόντων.

1 Ἑξαδάκτυλοι γίνονται, ἐκ φύσεως παραφυομένων τῶν περισσῶν
δακτύλων ἢ τῷ μεγάλῳ, ἢ τῷ μικρῷ σπανίως, καὶ ἤτοι ἐκ σκυταλί-
2 δος ἡ ἔκφυσις γίνεται, ἢ ἀπὸ σαρκός. Ὅταν οὖν ἐκ σαρκὸς ἡ ἔκφυσις
γένηται, εὐχερὴς ἡ ἀφαίρεσις γίνεται· δακτύλοις γὰρ ἢ μυδίῳ ἀπο-
τείνεται καὶ ἐκτέμνεται, εἶτα ἡ ἕλκωσις βραχεῖα οὖσα οὐλοῦται τά-
3 χιστα. Τῆς δὲ ἐκφύσεως ἐκ τῆς ὑποκειμένης σκυταλίδος οὔσης,

6 des os puisse également présenter une surface régulière. Les os étant
sciés, on coupe après cela, aussi vite que possible, avec un couteau, les
parties molles qui ont conservé leur continuité; puis on applique, au
moment même de l'ablation du membre, des tentes longues, et, au lieu
7 d'un garde-tente, des compresses parallèles. On met à l'extérieur des
8 éponges et un bandage [roulé] un peu serré. À compter du troisième
ou du quatrième jour, quand l'hémorragie s'est arrêtée, on aura re-
cours au traitement suppuratif, en tenant toujours la plaie remplie de
tentes.

15. DES ACCIDENTS QUI ONT LIEU AUX DOIGTS.

1 Certains individus naissent avec six doigts, et les doigts surnumé-
raires poussent ou à côté du pouce, ou, dans des cas rares, à côté du
petit doigt; leur point d'origine se trouve ou sur une phalange, ou dans
2 les chairs. Lors donc qu'ils tirent leur origine de la chair, on les enlève
facilement : on les attire avec les doigts, ou avec une pince, et on les
3 coupe; la plaie se cicatrise très-vite, puisqu'elle est petite. Quand les
doigts surnuméraires prennent leur origine sur la phalange sous-ja-

1-2. μάλιστα U. — Ch. 15, l. 11. γὰρ σμιλίῳ U.

ἐκκοπῇ χρήσασθαι δεῖ· ὁ δὲ τῆς ἐνεργείας τρόπος ἐστὶν οὗτος. Πε- Cocchi 158.
ριχαράσσεται κατὰ κύκλον ὁ παραπεφυκὼς δάκτυλος πλησίον τῆς 4
βάσεως, ἀπὸ ταύτης τῆς κυκλοτεροῦς περιχαράξεως δύο διαιρέσεις
δίδονται εὐθεῖαι, μία καὶ μία, εἶτα ἀναστέλλεται δύο σώματα. Γυμνω-
θείσης δὲ τῆς βάσεως, ὅλος ὁ παραπεφυκὼς δάκτυλος τοῖς σμιλιωτοῖς 5
ἐκκοπεῦσιν ἐκκοπτέσθω, καὶ τότε ἡ ὑποκειμένη σκυταλὶς ξυστῆρι
λειοποιείσθω, καὶ τὰ ἀνεσταλμένα σώματα ἐπαγέσθω καὶ ῥαπτέσθω
πρὸς κόλλησιν. Γίνονται δὲ καὶ συμφυεῖς δάκτυλοι ἐκ φύσεως, καὶ 6
χρὴ τὴν σύμφυσιν ἁπλοτομεῖν. Σαρκώδους δέ τινος σώματος μεμε- 7
σολαβημένου, τὸ περισσὸν τῆς φύσεως ἐκτεμνέσθω. Τούτου γενομέ- 8
νου, κατὰ ἰδίαν ἕκαστος δάκτυλος περιμοτωθεὶς, μοτοφύλακι σκε-
πέσθω, καὶ κατὰ ἑαυτὸν ἐπιδείσθω. Τεινέσθω δὲ τὰ ἀκόλουθα πρὸς 9
τὴν τῶν ἑλκῶν οὔλωσιν.

ιϛ'. Περὶ τῆς κατὰ τοὺς δακτύλους γαγγραίνης καὶ σηπεδόνος.

Νεκροῦνται δάκτυλοι σηπεδονικῶς, ἢ γαγγραινικῶς διατιθέμενοι. 1

cente, il faut recourir à l'excision : voici le procédé opératoire. On en- 4
toure le doigt surnuméraire, près de sa base, d'une incision circulaire, et on fait, en prenant son point de départ de cette incision circulaire, deux incisions droites, une de chaque côté; puis on dissèque deux lam-
beaux. Après avoir dénudé la base du doigt surnuméraire, on l'enlèvera 5
en entier à l'aide de scalpels à excision ressemblant à des scalpels ordinaires; alors on égalisera la surface de la phalange sous-jacente avec une rugine, on amènera les lambeaux sur la plaie et on les réunira pour les
agglutiner par des points de suture. On naît aussi avec des doigts na- 6
turellement adhérents; il faut rompre cette adhérence par une incision
simple. Si une masse charnue occupe l'espace intermédiaire, on retran- 7
chera ce que la nature a créé de trop. Après cela on applique de la char- 8
pie, un garde-tente et un bandage à chaque doigt en particulier. Le trai- 9
tement consécutif aura pour but la cicatrisation des plaies.

16. DE LA GANGRÈNE ET DE LA POURRITURE DES DOIGTS.

Les doigts se mortifient quand ils sont dans un état de pourriture ou 1

5. ἐκβάσεως U. — 7. ἀπαγέσθω R. — 9-10. μεμεσολαβημένου ex em.; μεσολωβωμένου R; μεσσολοβημένου U. — 12. Γινέσθω U.

Cocchi 158-161.
2 Ἡ μὲν οὖν σηπεδονικὴ φθορὰ λευκαινομένων τῶν νεκρουμένων σω-
161 μάτων γίνεται, ἡ δὲ | γαγγραινικὴ μελαινομένων. Τὰ μὲν οὖν ἄλλα
3 βοηθήματα περὶ τούτων ἐν ἄλλοις εἴρηται· ἰδίως δὲ δακτύλου νεκρω-
θέντος κατὰ τὸ τέλειον ἀκρωτηριασμὸς δοκιμάζεται, τοῦ ἀλλοτρίου
4 σώματος ἀπὸ τοῦ ὑγιοῦς ἀφαιρουμένου. Ὅταν μὲν οὖν ἐγκρίνωμεν
καὶ ἀφαίρεσιν καὶ καῦσιν παραλαβεῖν, ἀπὸ τοῦ ἄρθρου τὴν ἐκκοπὴν
δοκιμάζομεν, ἵνα ἡ τῆς σκυταλίδος ἀρχὴ ἐπικαίηται πυκνὴ οὖσα,
5 σαρκοῦσθαι μὴ δυναμένη, ἀποστάσεως [δὲ] δεομένη. Ἐὰν δὲ αὐτόθεν
ἀφαιρῶ, ἀρκοῦμαι τῷ ἀκρωτηριασμῷ καὶ τὴν σκυταλίδα πρίζω πρὸς
εὐχερῆ σάρκωσιν.

ιζʹ. Περὶ τῶν ἐσφηνωμένων δακτυλιδίων.

1 Σφίγγει ποτὲ δακτυλίδιον δάκτυλος· καλῶς δὲ ἔχει ἀνυπερθέτως
αὐτὸ κομίζεσθαι κατὰ περιστροφήν, ἅμα τῆς χειρὸς καταντλουμένης

2 de gangrène. Les parties qui se mortifient deviennent blanches dans la
corruption par pourriture, et noires dans la corruption par gangrène.
3 Nous avons exposé ailleurs les autres moyens de traitement qu'on
emploie dans ces cas-là; mais on recommande spécialement l'ampu-
tation pour la mortification complète des doigts, opération qui con-
4 siste à séparer la partie compromise de la partie saine. Lorsque nous
jugeons à propos de recourir à la fois à l'amputation et à la cautérisation,
nous recommandons de faire l'amputation dans l'articulation, afin de
pouvoir cautériser le bout de la phalange : comme cette partie est com-
pacte, elle ne saurait produire des bourgeons charnus; il faut, au con-
traire, qu'il s'établisse une desquamation [pour que la plaie guérisse].
5 Si je pratique l'amputation à la limite même du mal, je me contente de
l'amputation et je scie la phalange pour faciliter la production des bour-
geons charnus.

17. DES DOIGTS SERRÉS PAR LES ANNEAUX.

1 Parfois le doigt est serré par un anneau, et il est convenable d'enlever
sans délai cet anneau, en lui imprimant un mouvement de rotation, tout
en pratiquant en même temps une affusion d'eau tiède sur la main et

8. ἀποστ. δὲ δεομ. om. R. — Ib. [δέ] om. U. — Ch. 17, l. 12. δοκιμάζεσθαι. U.

χλιαρῷ ὕδατι, καὶ τοῦ δακτύλου λιπαινομένου. Ὅταν δὲ μὴ ὑπακούῃ, Cocchi 161.
τότε δοκιμαζέσθω τὸ εἰρησόμενον· λίνου παχυτάτου ἐστραμμένου 2
μία ἀρχὴ τριχοῦται ὡς εἰώθασιν ποιεῖν οἱ σκυτορράφοι, καὶ διὰ
τοῦ δακτυλιδίου εἴρεται· τὸ δὲ λοιπὸν τοῦ λίνου χάλασμα περιει-
λεῖται τῷ δακτύλῳ. Τούτου γενομένου ἕλκεται ἡ τετριχωμένη τοῦ 3
λίνου ἀρχὴ, καὶ τοῦ λίνου ἀνειλουμένου προβιβάζεται τὸ δακτυλί-
διον πρὸς τὴν ἐξαίρεσιν. Ὅταν δὲ μηδὲ οὕτως ὑπακούῃ, ἐπὶ τὴν τοῦ 4
κρίκου διακοπὴν ἔρχεσθαι δεῖ, διαρινήσει χρωμένους μαχαιροειδεῖ
ῥίνῃ, ἢ ἐκκόπτειν σμιλιωτῷ ἐκκοπεῖ. Πρὸς δὲ ἑκατέραν ἐνέργειαν 5
ὑποβαλλέτω τῷ κρίκῳ τοῦ δακτυλιδίου δορύδιον τυφλαγκίστρου, ἢ
πλατυμήλης. Διακοπέντος τοῦ κρίκου, λίνα, ἢ σπαρτία περιτίθεται 6
τῷ δακτυλιδίῳ, διὰ ὧν ἑλκόμενος ὁ κρίκος ἐξαπλοῦται· ἢ ἑκατέρωθεν
τῆς σφενδόνης διακόπτεται, ἵνα μερισθὲν τὸ δακτυλίδιον εὐχερῶς
κομισθῇ.

une onction avec quelque matière grasse sur le doigt. Si l'anneau résiste 2
à ces manœuvres, on recommandera l'opération suivante : on effile,
comme les cordonniers ont l'habitude de le faire, un des bouts d'un fil
de lin entortillé et très-épais, et on le passe entre l'anneau et le doigt,
tandis qu'on roule autour du doigt le reste du fil qui est libre. Après 3
cela, on tire sur le bout effilé du fil, et, tandis que ce fil se déroule, l'an-
neau avance vers le point où on pourra le retirer du doigt. Si l'anneau 4
résiste même à cette tentative, il faut en venir à la section de l'anneau; à
cet effet on le limera avec une lime en forme de couteau, ou bien on le
cassera avec un scalpel à excision ressemblant à un scalpel ordinaire. Mais, 5
qu'on ait recours à l'une ou à l'autre de ces deux opérations, on placera,
dans les deux cas, au-dessous du cercle même de l'anneau, le fer de
lance d'un crochet mousse ou d'une sonde large. Après avoir divisé 6
l'anneau, on l'entoure de fils en lin, ou en spart, à l'aide desquels on
tirera sur lui pour le déployer; ou encore on divise l'anneau des deux
côtés du chaton, afin qu'il puisse être facilement enlevé, étant coupé
par morceaux.

1. δακτυλίου R. — 10. ὑποβάλλεται U.

ΒΙΒΛΙΟΝ ΜΗ′.

α′. Πῶς ϖλέκεται βρόχος ὁ καλούμενος ἑρτός; Ἐκ τῶν Ἡρακλᾶ.

Mai 82.

1 Ἕνεκα τῆς τοῦ ἑρτοῦ βρόχου ϖλοκῆς καιρία ϖροσλαμβάνεται διπλῆ, ἧς αἱ μὲν ἀρχαὶ τῇ εὐωνύμῳ χειρὶ διακρατοῦνται, ἡ δὲ ἀγκύλη διὰ τῆς δεξιᾶς χειρὸς ταῖς ἀρχαῖς ἐπιτίθεται, εἶτα διὰ μέσης τῆς ἀγκύλης τὰ χαλάσματα τῆς καιρίας, τουτέσΊιν αἱ ἀρχαὶ, συνέχονται· ἐντεῦθεν γὰρ γίνονται ϖαρὰ μέρος μὲν ἡ τοῦ βρόχου ϖλοκὴ,
2 ϖαρὰ μέρος δὲ αἱ ἀρχαί. ἜσΊι δὲ ὁ βρόχος οὗτος τῇ δυνάμει ἀνισότονος, καὶ εὔχρησΊος οὐ μόνον ϖρὸς τὴν τάσιν, ἀλλὰ καὶ ϖρὸς κράτημα κώλου ἐν καταρτισμοῖς καὶ ϖρὸς σχηματισμοὺς σωμάτων ἐν χρήσει χειρουργίας· ϖρὸς μὲν γὰρ τὴν τάσιν ᾤκείωται ἐπὶ τῶν διζύγων κώλων, ὅταν τὸ ἕτερον τῶν ὀσΊέων ϖάθῃ, τῶν μὲν ἀγκυλῶν τοῦ

LIVRE XLVIII.

1. COMMENT ON FAIT LE LACS APPELÉ *TRESSÉ* — TIRÉ D'HERCULE.

1 Pour construire le lacs tressé, on prend un cordon plié en deux; on tient les chefs avec la main gauche, et on place avec la main droite l'anse sur les chefs; ensuite les parties pendantes, c'est-à-dire les chefs, doivent êtres tenues ensemble pour passer par le milieu de l'anse : de cette manière le nœud du lacs se trouvera placé d'un côté, et les chefs de l'autre.
2 Quant à son action, c'est un lacs à tension inégale; il est utile non-seulement pour exercer une traction, mais aussi pour retenir le membre pendant la réduction, et pour donner aux parties une position convenable pendant qu'on fait une opération chirurgicale : en effet, il est spécialement approprié à exercer une traction sur les membres à deux os, lorsque l'un des deux os est lésé; dans ce cas, on place les anses sur

Ch. 1, l. 3. ἐκ τῆς U. — 6-7. ἰσότονος P; ὁ τόνος U. — 8. ϖρὸς σχημ. ex em. Dietz; ϖρὸς σχηματισμοῦ U; ϖροσχηματισμοῖς R. — 9. οἰκειόταται RU.

Mai 82-83.

βρόχου τασσομένων κατὰ τοῦ σιναροῦ ὀστέου, τῶν δὲ ἀρχῶν κατὰ τοῦ ὑγιεινοῦ· προσπίπτουσαι γὰρ αἱ ἀγκύλαι τῷ χρωτὶ νεανικῶς τείνουσι τὰ πάσχοντα, αἱ δὲ ἀρχαὶ ἀφιστάμεναι τοῦ χρωτὸς οὐ τείνουσι τὰ μὴ πάσχοντα, ἢ ἐπὶ ἔλαττον τείνουσιν. Πρὸς κράτημα δὲ 3
κώλου ἐν καταρτισμοῖς ἥρμοσεν ὁ βρόχος οὗτος, κα|θάπερ ἐπὶ τῶν 83
τριῶν τοῦ ἀγκῶνος διαφορῶν ἐπὶ ὧν κέκαμπται ἡ χεὶρ ἐκτείνεσθαι μὴ δυναμένη, τουτέστιν ἐπὶ τῆς ἔσω διαφορᾶς καὶ τῆς ἔξω καὶ τῆς ὀπίσω, πλησίον τοῦ καρποῦ περιτίθεται ὁ βρόχος τοῖς τοῦ πήχεως ὀστέοις, καὶ τότε αἱ ἀρχαὶ ἀναφέρονται εἰς τὰ μετέωρα, καὶ ἀποδίδονταί τινι ἀκινήτῳ πρὸς κράτημα. Ἔτι πρὸς σχημα- 4
τισμὸν σώματος ἐν χειρουργίᾳ λυσιτελὴς γέγονεν ὁ βρόχος· ἐπὶ γὰρ τῶν κατεσκευασμένων παθῶν κατὰ τὴν ἕδραν ὑποβάλλονται μὲν οἱ πήχεις ταῖς ἰγνύαις, οἱ δὲ ἑρτοὶ βρόχοι τοῖς πήχεσι περιτίθενται πλησίον καρπῶν, εἶτα ἀναφέρονται τῶν βρόχων αἱ ἀρχαὶ ἐπὶ τὸν αὐχένα τοῦ πάσχοντος καὶ πρὸς ἀλλήλας ἀμματίζονται. — Ὅτι 5

l'os malade, et les chefs sur l'os intact : en s'appliquant immédiatement sur la peau, les anses tireront vigoureusement les parties lésées, tandis que les chefs, restant écartés de la peau, exerceront une traction nulle, ou du moins faible, sur les parties saines. Nous citerons, pour exemple 3
des cas où ce lacs convient pour retenir un membre pendant qu'on le réduit, les trois espèces de luxations du coude dans lesquelles le bras est fléchi sans qu'on puisse l'étendre, c'est-à-dire les luxations en dedans, en dehors et en arrière (voy. XLIX, 11); dans ces cas, on place le lacs autour des os de l'avant-bras, dans le voisinage du carpe; alors on fait remonter les chefs vers les parties supérieures, et on les attache à quelque objet immobile pour les retenir. Ce lacs est aussi utile pour don- 4
ner une position convenable au corps pendant qu'on fait une opération chirurgicale : en effet, dans les affections qui se sont formées au siége, on place les avant-bras sous les jarrets, et on applique les lacs tressés autour des avant-bras près du carpe; puis on fait remonter les chefs en arrière vers le cou du malade et on les noue ensemble. — Non-seule- 5

4. μή] μέν R; μή e corr. — 6. κέκαμπται ex em.; καὶ κέκαμπται U; καὶ κάμπτεται R. — 7. ἔσω ex em. Vid.; ἔω RU. — Ib. καὶ τῆς ἔξω ex em. Vid.; om. RU. — 8. τῆς ὀπίσω τῆς πλ. R. — 12. κατεσκευαζομένων RU.

Mai 83. ὁ ἐρτὸς βρόχος οὐ μόνον πλέκεται καὶ περιτίθεται, ἀλλὰ καὶ ἐκ περιθέσεως τοῦ κώλου ἀπαρτίζεται· . . . . γὰρ ἡ καιρία, καὶ ἡ μὲν ἀγκύλη ὑποβάλλεται τῷ κώλῳ, αἱ δὲ ἀρχαὶ τῆς
6 καιρίας διὰ μέσης τῆς ἀγκύλης διαβάλλονται. Καὶ οὕτως ἐκ περιθέσεως γίνεται ὁ προκείμενος βρόχος.

β'. Πῶς πλέκεται βρόχος ὁ καλούμενος ναυτικός;

1 Καιρία προσλαμβάνεται, καὶ ἐκ μέσου τοῦ τῆς καιρίας χαλάσματος δύο πλέκεται ἀγκύλια κατὰ ἐναλλαγὴν ἀλλήλοις παρατιθέμενα, τὸ μὲν ἔσωθεν ἔξω, τὸ δὲ ἔξωθεν ἔσω· οὕτω γὰρ ἀναφαίνεται παρὰ μέρος μὲν ἡ τοῦ βρόχου πλοκὴ, παρὰ μέρος δὲ αἱ ἀρχαί.
2 Εὐθετεῖ δὲ καὶ οὗτος ὁ βρόχος πρὸς τὰς ἀνισοτόνους τάσεις, καὶ πρὸς κράτημα ναρθήκων ἐπὶ τῶν ναρθηκιζομένων καταγμάτων· μετὰ γὰρ τὴν ἐπίδεσιν τῇ μὲν εὐωνύμῳ διακρατεῖται ἡ τοῦ ἱμάντος ἀρχὴ, ἀπὸ δὲ τοῦ λοιποῦ χαλάσματος μία καὶ δευτέρα ἀγκύλη γίνεται μετὰ

ment on prépare d'avance le lacs tressé pour l'appliquer en cas de besoin, mais on le dispose aussi au moment même où on en entoure le membre : en effet [on prend] un cordon, on place l'anse au-dessous du membre, et on fait passer les chefs à travers le milieu de l'anse.
6 C'est de cette manière qu'on fait le lacs dont il s'agit au moment même de l'appliquer.

2. COMMENT ON FAIT LE LACS APPELÉ *LACS DES MARINS.*

1 On prend un cordon, et on fait, avec le milieu de la partie pendante de ce cordon, deux petites anses placées l'une à côté de l'autre en sens contraire, l'une allant de dedans en dehors, et l'autre de dehors en dedans; de cette manière le nœud sera d'un côté et les chefs seront de l'autre.
2 Ce lacs convient aussi pour exercer des tractions inégales et pour retenir les attelles dans les cas de fractures qui réclament ces pièces de pansement : après avoir appliqué les bandes, on tient avec la main gauche le chef du cordon et on forme autour du membre malade, avec le reste de la

4-5. προθέσεως U. — Ch. 2, l. 7. κατά ex em.; καὶ κατά RU. — 8. τὸ.... τό ex em.; ὁ.... ὁ RU. — Ib. ἀναφαίρεται U; ἀναφέρεται PR, et sic sæpius.

Mai 83-84.
χαλάσματος περὶ τὸ πάσχον κῶλον· ἡ δὲ ἀντικειμένη τοῦ ἱμάντος
ἀρχὴ διὰ μέσων τῶν ἀγκυλῶν διεκβάλλεται ἐκ τῶν πρὸς ἡμᾶς μερῶν
εἰς τὰ ἀντικείμενα, καὶ ὑπὸ τῆς εὐωνύμου χειρὸς διακρα|τεῖται. Μετὰ 84 3
δὲ τὴν τοῦ βρόχου πλοκὴν οἱ μὲν νάρθηκες παρεντίθενται περὶ τὸ
πάσχον κῶλον, ἕλκονται δὲ αἱ τοῦ ἱμάντος ἀρχαὶ καὶ πρὸς ἀλλήλας
ἀμματίζονται πρὸς τὴν τῶν ναρθήκων συνοχήν. Ὥσπερ δὲ πρὸς τὴν 4
τάσιν καὶ τὴν συνοχὴν τῶν ναρθήκων, οὕτω καὶ πρὸς ἀνάληψιν τοῦ
πήχεως ὁ αὐτὸς ᾠκείωται βρόχος· μὴ παρόντος γὰρ πλατυτάτου
τελαμῶνος πρὸς ἀνάληψιν τοῦ πήχεως, πλέκεται καὶ περιτίθεται
τῷ πήχει, καὶ αἱ μὲν ἀγκύλαι τοῦ βρόχου ἀπὸ ἀλλήλων χωρίζονται
οὕτως ὥστε τὴν μίαν ἀγκύλην παρὰ τῷ ἀγκῶνι τετάχθαι, τὴν δὲ
ἑτέραν παρὰ τῷ καρπῷ, αἱ δὲ ἀρχαὶ περὶ τὸν τένοντα τοῦ πάσχοντος ἀναφέρονται καὶ πρὸς ἀλλήλας ἀμματίζονται.

γ'. Πῶς πλέκεται βρόχος ὁ καλούμενος χιεστός;

Ἕνεκα τῆς πλοκῆς τοῦ χιεστοῦ βρόχου καιρία προσλαμβάνε- 1

partie pendante, une première et une seconde anse lâches; on fait passer le chef opposé du cordon par le milieu des anses en allant du côté le plus rapproché de nous vers le côté le plus éloigné, et on retient ce
chef de la main gauche. Après avoir disposé le lacs, on place les attelles 3
autour du membre entre lui et les bandes, on attire les chefs du cordon
et on les noue ensemble pour retenir les attelles. Ce même lacs est aussi 4
particulièrement propre à la suspension de l'avant-bras, tout aussi bien que pour exercer une traction ou pour retenir les attelles : ainsi, quand on n'a pas à sa disposition une bande très-large pour suspendre l'avant-bras, on forme le lacs dont nous parlons, on en entoure le membre, et on écarte ses anses assez loin l'une de l'autre pour que l'une soit placée près du coude et l'autre près du carpe, tandis qu'on fait remonter les chefs vers la partie postérieure du cou du malade pour les nouer ensemble.

3. COMMENT ON FAIT LE LACS APPELÉ *CROISÉ*.

Pour faire le lacs croisé, on prend un cordon plié en deux; on tient les 1

5. αἱ P; διά RU. — 7. τοῦ om. U. — 10. καὶ αἱ μέν om. R.

Mai 84-85.
ται διπλῆ, καὶ αἱ μὲν ἀρχαὶ τῆς καιρίας τῇ εὐωνύμῳ χειρὶ διακρα-
τοῦνται, ἡ δὲ ἀγκύλη τῇ δεξιᾷ διακρατεῖται, εἶτα ἐπιστρέφεται ἡ
ἀγκύλη, ἵνα χιεσθῇ τὰ τῆς καιρίας χαλάσματα· ἐντεῦθεν γὰρ καὶ
2 χιεστὸς βρόχος εἴρηται. Μετὰ δὲ τὸν χιεσμὸν τῶν τῆς καιρίας χα-
λασμάτων ἐπιβάλλεται ἡ ἀγκύλη τοῖς χιέσμασι, καὶ διὰ μέσης τῆς
ἀγκύλης τὸ ὑποκείμενον τῆς καιρίας χάλασμα ἀνασπᾶται· οὕτω γὰρ
γίνεται μέση μὲν ἡ τοῦ βρόχου πλοκὴ, παρὰ ἑκάτερα δὲ ὅπου μὲν
3 ἀγκύλη μία, ὅπου δὲ ἀρχαὶ δύο. Ἔστι δὲ καὶ ὁ βρόχος οὗτος ἀνισό-
τονος τῇ δυνάμει.

δʹ. Πῶς πλέκεται βρόχος ὁ καλούμενος βουκολικὸς ὁ καὶ σανδάλιος.

1 Ὁ βουκολικὸς βρόχος ὁ καλούμενος εἴρηται ὑπό τινων καὶ σαν-
δάλιος· ὡς δὲ ἂν ὑπό τινος προσαγορεύηται, πλέκεται σὺν τῷ
προσαγορευομένῳ χιεστῷ· δεῖ γὰρ πλέξαι πρῶτον τὸν χιεστὸν,
85 εἶτα, ἵνα γένηται ὁ σανδάλιος, τὴν παρειμένην | τοῦ χιεστοῦ ἀγκύλην

chefs de ce cordon avec la main gauche, et l'anse avec la main droite; en-
suite on contourne l'anse pour croiser les chefs; car c'est aussi en raison
2 de cette disposition qu'on a appelé ce lacs *lacs croisé*. Après le croisement
des parties pendantes du cordon, on place l'anse sur les parties entre-
croisées, et on attire celle des parties pendantes du cordon qui est placée
en dessous, à travers le milieu de l'anse : en effet, de cette manière, le
nœud se trouvera placé au milieu, tandis qu'à gauche et à droite on aura
3 d'un côté une anse, et de l'autre deux chefs. Quant à l'action qu'il exerce,
ce lacs est encore de ceux qui produisent une traction inégale.

4. COMMENT ON FAIT LE LACS APPELÉ *LACS DU BOUVIER* ET AUSSI *LACS À SANDALE*.

1 Le lacs qu'on nomme *lacs du bouvier* est aussi appelé par quelques-uns *lacs à sandale;* mais, quelque nom qu'on lui donne, on le fait avec le lacs croisé : on dispose d'abord le lacs croisé; puis, pour obtenir le lacs à sandale, on attire de bas en haut l'anse libre du lacs croisé à travers

3. καί om. U.

διὰ μέσης ἀνασπάσαι κάτωθεν ἄνω τῆς ἀντικειμένης ταῖς ἀρχαῖς Mai 85.
ἀγκύλης· ἐντεῦθεν γὰρ ἀναφαίνεται παρὰ μέρος μὲν ἡ τοῦ βρόχου
πλοκὴ, παρὰ μέρος δὲ αἱ ἀρχαί· ἐν δὲ τῇ πλοκῇ τρεῖς ὁρῶνται
ἀγκύλαι γεγονυῖαι, δύο μὲν παρὰ ἑκάτερα, ἡ δὲ τρίτη μέση. Εὐ- 2
χρηστεῖ δὲ ὁ βρόχος οὗτος πρὸς ἀπότασιν σφυροῦ καταρτιζομένου·
ἡ μὲν γὰρ μία ἀγκύλη περιτίθεται τῷ πλατεῖ νεύρῳ ὄπισθεν τοῦ
σφυροῦ, ἡ δὲ ἑτέρα ἀγκύλη τάσσεται εἰς τὰ ἐμπρόσθια μέρη κατὰ
τὴν τοῦ ταρσοῦ τάξιν, ἡ δὲ μέση ἀγκύλη, τουτέστιν ἡ τρίτη, κατὰ
τὴν τάξιν τοῦ πέλματος βάλλεται, καὶ τότε αἱ ἀρχαὶ τοῦ βρόχου
τοῖς τῆς τάσεως αἰτίοις ἀποδίδονται. Οὐκ ἐπὶ μόνου δὲ τοῦ σφυροῦ 3
ἥρμοκεν ὁ βρόχος οὗτος, ἀλλὰ καὶ ἐπὶ γένυος καταρτιζομένης ἐν
τοῖς ὀλισθήμασιν· ἡ μὲν γὰρ μία ἀγκύλη τοῦ βρόχου βάλλεται
κατὰ τὸ μέτωπον τοῦ πάσχοντος, ἡ δὲ ἑτέρα κατὰ τὸ ἰνίον, ἡ δὲ
μέση ἀγκύλη μεταξὺ τοῦ στόματος παρεντίθεται ὑπὸ τὴν ἄνω γέ-
νυν, αἱ δὲ ἀρχαὶ διὰ τῶν κροτάφων ὑπὲρ κεφαλῆς τοῦ πάσχοντος
ἀναφέρονται, καὶ ἀποδίδονται ἤτοι πρὸς κράτημα, ἢ πρὸς ἀνά-
τασιν.

le milieu de l'anse opposée aux chefs : de cette manière, on aura d'un côté le nœud, et de l'autre les chefs, et on verra dans ce tracé trois anses, deux des deux côtés, et la troisième au milieu. Ce lacs convient pour opé- 2
rer l'extension, lorsqu'on réduit la malléole : à cet effet on place l'une des anses autour du nerf large situé derrière la malléole, et l'autre sur les parties antérieures [du pied] dans la région du tarse, tandis qu'on applique l'anse du milieu, c'est-à-dire la troisième, sur la région de la plante du pied; alors on met les chefs du lacs en rapport avec les agents de tension. Ce lacs n'est pas uniquement applicable à la malléole, mais 3
il sert aussi à réduire la mâchoire [inférieure] dans les cas de déplacement: à cet effet on met l'une des anses du lacs sur le front du malade, et l'autre sur l'occiput, tandis qu'on insère l'anse du milieu dans la bouche sous la mâchoire supérieure et qu'on fait passer les chefs par les tempes pour les ramener par-dessus la tête du malade et les mettre en rapport avec un agent qui puisse les retenir, ou les tirer en haut.

5. ἀποσλασιν RU; it. p. 259, l. 8. — τάσιν RU; it. l. 9. Voy. p. 259, l. 3. — 7. ἐμπροσθεν U. — 8. τάξιν ex em.; 9. πέλματος Vid.; τελαμῶνος RU.

Mai 85-86.

ε'. Πῶς πλέκεται βρόχος ὁ καλούμενος δράκων;

1 Ἕνεκα τῆς πλοκῆς τοῦ καλουμένου δράκοντος ἡ μεσότης τάσσε-
ται κατὰ τὸν ὀπίσθιον τοῦ σφυροῦ τόπον, ἔνθα τοῦ πλατέος νεύρου
ἐσῖιν ἡ τάξις· αἱ δὲ ἀρχαὶ διὰ τῶν πλαγίων μερῶν φέρονται εἰς τὰ
ἐμπρόσθια κατὰ τὸν ταρσὸν καὶ κατὰ χιεσμὸν ἐναλλάσσονται, εἶτα
ἀναφέρονται ἐπὶ τὸ πέλμα, καὶ πάλιν ἐναλλάσσονται. Ἀπὸ δὲ τοῦ
2 πέλματος ἐπιβάλλονται τῇ κατὰ τὸ σφυρὸν κυκλοτερεῖ εἰλήσει,
ἤτοι κάτωθεν ἄνω, ἢ ἄνωθεν κάτω, καὶ τότε ἀποδίδονται τοῖς τῆς
3 τάσεως αἰτίοις. Εὐθετεῖ δὲ οὗτος ὁ βρόχος πρὸς ἀπότασιν σφυροῦ
καταρτιζομένου.

86 | ϛ'. Πῶς πλέκεται βρόχος ὁ καλούμενος ἁπλοῦν ἅμμα;

1 Ὁ βρόχος ὁ καλούμενος ἁπλοῦν ἅμμα ὑπὸ ἐνίων ὠνόμασῖαι καὶ
2 περίναιος. Ὅπως ποτὲ δὲ ἂν λέγηται, πλοκῆς ἠξίωται τοιᾶσδε·

5. COMMENT ON FAIT LE LACS APPELÉ *DRAGON*.

1 Pour faire le *dragon*, on place le milieu [du cordon] sur la région
postérieure de la malléole, là où se trouve l'emplacement du nerf large,
tandis qu'on fait marcher les chefs par les parties latérales vers la région
antérieure [du pied] sur le tarse, où on les entrelace en les croisant; en-
suite on les ramène vers la plante du pied et on les entrelace de nou-
2 veau. À partir de la plante du pied, on les fixe sur le tour de bande
qui enveloppe la malléole, en allant soit de bas en haut, soit de haut
3 en bas; alors on les met en rapport avec les agents de tension. Ce lacs
convient pour pratiquer l'extension, quand il s'agit de réduire la mal-
léole.

6. COMMENT ON FAIT LE LACS APPELÉ *NOEUD SIMPLE*.

1 Le lacs appelé *nœud simple* a reçu de quelques médecins le nom de
2 *périnée*. Quelque nom qu'on lui donne, on s'y prend de la manière sui-

Ch. 4, l. 3. πλατίων U; πλατέων P. — Ib. *καί* om. RU. — Ib. *κατά*] *εἰς* — 4. *κατὰ τόν* ex em.; *κατάγοντα* RU. (*εἰς τόν*?) P. — 7. *ἄνω* om. R.

καιρία προσλαμβάνεται, καὶ ταύτης γίνεται ἁπλοῦν ἅμμα, εἶτα αἱ Mai 86.
μὲν ἀγκύλαι τῆς καιρίας ἀνασπῶνται, αἱ δὲ ἀρχαὶ παρειμέναι ἐῶν-
ται, εἶτα τότε τίθεται τὸ καταρτιζόμενον κῶλον μεταξὺ τῶν ἄνω
ἀγκυλῶν, εἶτα ἡ μία ἀγκύλη διὰ τῆς ἑτέρας ἀγκύλης ἐκβάλλεται
καὶ φέρεται πρὸς τὰς ἀρχὰς, καὶ κατὰ κοινὸν οὖν ἅμμα ταῖς ἀρχαῖς
τῷ τῆς τάσεως αἰτίῳ ἀποδίδοται. Καὶ οὗτος δὲ ὁ βρόχος τῇ δυνά- 3
μει ἐστὶν ἀνισότονος.

ζ'. Πῶς πλέκεται βρόχος ὁ καλούμενος λύκος;

Δύο καιρίαι προσλαμβάνονται αὐτάρκεις τῷ μήκει καὶ διπλοῦν- 1
ται, καὶ αἱ μὲν ἀρχαὶ κατὰ τὸν αὐτὸν τάσσονται τόπον, αἱ δὲ ἀγκύ-
λαι ἀντὶ ἀλλήλων, εἶτα τότε τῆς μὲν καιρίας αἱ ἀρχαὶ κάτωθεν ἄνω
ἀνασπῶνται, αἱ δὲ ἄνωθεν κάτω καθέλκονται, ὥστε φανῆναι κατὰ
τὴν μεσότητα τὴν τοῦ βρόχου πλοκὴν, παρὰ ἑκάτερα δὲ ἀρχαὶ δύο.
Οὗτος ὁ βρόχος ἰσότονος μέν ἐστι τῇ δυνάμει, ἥρμοκε δὲ οὐ μό- 2
νον πρὸς τὴν τάσιν τῶν καταρτιζομένων ὀστέων, ἀλλὰ καὶ πρὸς

vante pour le construire : on fait un nœud simple avec un cordon;
ensuite on tire à soi les anses du cordon, et on laisse pendre librement
les chefs; cela fait, on place le membre qu'il s'agit de réduire entre les
anses supérieures; alors on fait passer l'une des anses à travers l'autre,
on la ramène aux chefs, et on la met en rapport avec les agents de tension
à l'aide d'un nœud qui, du reste, sert également pour les chefs. Quant 3
à l'action qu'il exerce, ce lacs est également un lacs à tension inégale.

7. COMMENT ON FAIT LE LACS APPELÉ *LOUP*.

On prend deux cordons de longueur suffisante, et on les plie en 1
deux; on place les chefs au même endroit, et les anses l'une en face de
l'autre; après cela on tire les chefs de l'un des cordons de bas en haut,
et ceux de l'autre de haut en bas, de manière que le nœud paraisse au
milieu, et qu'il y ait de chaque côté deux chefs. Quant à l'action qu'il 2
produit, ce lacs est un lacs à tension égale, et il convient non-seulement
pour exercer une traction sur les os qu'on remet, mais aussi pour lier le

6. *αἰτίῳ* ex em. Dietz; *ἀγγίῳ* U; *ἀγγείῳ* PR. — Ib. *ἀποδίδονται* RU.

Mai 86-87.
ἀπόσφιγξιν περιτοναίου, ἀνασκευαζομένου τοῦ ἐντεροκηλικοῦ πά-
3 θους, καὶ πρὸς ἀπόσφιγξιν ἀγγείων αἱμοῤῥοούντων. Σύνηθες δὲ
ἡμῖν ἐσΊι ταῖς ἀγκύλαις τοῦ βρόχου λίνα περιάπΊειν ἁπλᾶ· ταῦτα
4 δὲ τὰ λίνα ὁ ἰατρικὸς ὅμιλος ὠνόμασε σχασΊηρίας. Οὐκ ἀσκόπως
δὲ ταῖς σχασΊηρίαις χρώμεθα, ἀλλὰ ἵνα, ὅταν θελήσωμεν τὴν
σφίγξιν ἀνεῖναι, μὴ διὰ τῶν ἀρχῶν τοῦ βρόχου, ἀλλὰ διὰ τῶν σχα-
σΊηριῶν τοῦτο πράσσωμεν.

87 | η'. Πῶς πλέκεται ἡρακλεωτικὸν ἅμμα;

1 Ἕνεκα τοῦ ἡρακλεωτικοῦ ἅμματος καιρία προσλαμβάνεται, καὶ
2 γίνεται ἐκ τῆς καιρίας δύο ἅμματα ἀπὸ ἀλλήλων διεσΊῶτα. Ἐντεῦ-
θεν παρανακύπΊει τὸ ἡρακλεωτικὸν ἅμμα, παρὰ ἑκάτερα ὅπου μὲν
3 ἀγκύλη μία, ὅπου δὲ ἀρχαὶ δύο. ἜσΊι δὲ ἰσότονος ὁ βρόχος οὗτος·
εἴ τις δὲ τὴν ἀντικειμένην ταῖς ἀρχαῖς ἀγκύλην μέσην διακόψειεν,
εὑρήσει γεγονότα τὸν λύκον.

péritoine, quand on réduit l'affection dite hernie intestinale, ainsi que
3 pour lier les vaisseaux dont il s'écoule du sang. Nous avons l'habitude
de suspendre aux anses du lacs des fils simples, et la foule des médecins
4 donne à ces fils le nom de *fils de détente*. Ce n'est pas sans intention que
nous employons les fils de détente; nous nous proposons en effet de pro-
duire le relâchement de la ligature, en nous servant, pour obtenir ce
résultat, non des chefs du lacs, mais des fils de détente.

8. COMMENT ON FAIT LE NOEUD D'HÉRACLÉE.

1 Pour faire le *nœud d'Héraclée*, on prend un cordon, et on fait avec
2 ce cordon deux nœuds éloignés l'un de l'autre. C'est ainsi que se pro-
duit le nœud d'Héraclée : à savoir, des deux côtés, d'une part une anse,
3 et de l'autre deux chefs. Ce lacs est un lacs à tension égale, et, si on
veut couper par le milieu l'anse opposée aux chefs, on verra qu'il en
résulte un *loup*.

Ch. 8, l. 8-9. καὶ γίνεται καί Codd.

Mai 87.

θʹ. Πῶς πλέκεται βρόχος ὁ ἁπλοῦς καρχήσιος;

Ὁ ἁπλοῦς καρχήσιος ἰσότονος τῇ δυνάμει, πλέκεται δὲ οὕτως· 1
καιρία προσλαμβάνεται διπλῆ, καὶ αἱ μὲν ἀρχαὶ τῇ εὐωνύμῳ χειρὶ
διακρατοῦνται, ἡ δὲ ἀγκύλη διὰ τῆς δεξιᾶς χειρὸς ἀνακλασθεῖσα
ταῖς ἀρχαῖς ἐπιτίθεται. Καὶ τὰ μὲν μέσα τῆς καιρίας χαλάσματα 2
κατὰ χιεσμὸν ἐναλλάσσονται, ἡ δὲ ἐπιτεθεῖσα ταῖς ἀρχαῖς ἀγκύλη
ἄνωθεν κάτω διὰ μέσου τοῦ χιέσματος ἀνασπᾶται. Ἐντεῦθεν ἀνα- 3
φαίνεται μὲν μέση ἡ τοῦ βρόχου πλοκὴ, παρὰ ἑκάτερα δὲ ὅπου μὲν
ἀγκύλη μία, ὅπου δὲ ἀρχαὶ δύο.

ιʹ. Πῶς πλέκεται διπλοῦς καρχήσιος;

Ὁ διπλοῦς καρχήσιος βρόχος ἐσΊὶν ἰσότονος μὲν τῇ δυνάμει, 1
κατὰ πολὺ δὲ ἁπλοῦ καρχησίου εὐτονώτερος. Πλέκεται δὲ ὅμως 2
τρόπῳ τοιῷδε· καιρίαι προσλαμβάνονται διπλαῖ, καὶ αἱ μὲν ἀρχαὶ

9. COMMENT ON FAIT LE CÂBLE SIMPLE.

Eu égard à l'action qu'il exerce, le *câble simple* est un lacs à tension 1
égale, et on le fait de la manière suivante : on prend un cordon double,
dont on tient les chefs avec la main gauche, tandis qu'avec la main
droite on replie l'anse et on la met sur les chefs. On entrelace par le 2
milieu, en les croisant, les parties pendantes du cordon, et on attire de
haut en bas, en passant par le milieu de l'endroit où s'est fait le croi-
sement, l'anse placée sur les chefs. De cette façon, on verra apparaître 3
au milieu le nœud, et, des deux côtés, d'une part une anse, et de l'autre
deux chefs.

10. COMMENT ON FAIT LE CÂBLE DOUBLE.

Eu égard à l'effet qu'il produit, le *câble double* est un lacs à tension 1
égale; mais il exerce une action beaucoup plus énergique que le câble 2
simple. On le fait de la manière suivante : on prend des cordons doubles,

Ch. 9, l. 5. χαλάσσονται U. — 7. μὲν ἡ μέση τοῦ RU.

Mai 87-88.
3 τῇ εὐωνύμῳ χειρὶ κρατοῦνται, ἡ δὲ ἀγκύλη ϖαρειμένη ἐᾶται. Καὶ ἀπὸ μὲν τοῦ ἀντικειμένου τῆς καιρίας χαλάσματος μικρὸν ϖλέκεται ἀγκύλιον καὶ κατὰ τῆς ἀριστερᾶς τίθεται χειρός· διὰ μέσου δὲ τοῦ ἀγκυλίου τὸ ἕτερον τῆς καιρίας ἀνασπᾶται χάλασμα, εἶτα ἐπιστρέ-
88 φεται διὰ τῶν ἀγ|κυλῶν ἡ ϖλοκὴ, καὶ κατὰ τῆς ἀριστερᾶς τίθεται
4 χειρός. Μετὰ δὲ τὴν στροφὴν ϖάλιν ἐκ τοῦ ἀντικειμένου τῆς καιρίας χαλάσματος ἕτερον ϖλέκεται ἀγκύλιον καὶ κατὰ τῆς ϖλοκῆς
5 τάσσεται. Ἐπὶ τέλει δὲ ἡ ϖαρειμένη ἀγκύλη κάτωθεν ἄνω [διὰ] μέσης τῆς ϖλοκῆς ἀνασπᾶται· ἐντεῦθεν γὰρ ϖάλιν μέση μὲν εὑρίσκεται ἡ τοῦ βρόχου ϖλοκὴ, ϖαρὰ ἑκάτερα δὲ ὅπου μὲν ἀγκύλη μία, ὅπου δὲ ἀρχαὶ δύο.

ια'. Πῶς ἐκ τοῦ ἁπλοῦ διπλοῦς ϖλέκεται καρχήσιος;

1 Ἐπεὶ ὁ διπλοῦς καρχήσιος ϖοικίλως εἴωθεν ἀποτελεῖσθαι, ϖοτὲ μὲν ἀπὸ ἑαυτοῦ ϖλεκόμενος, ϖοτὲ δὲ ἀπὸ τοῦ ἁπλοῦ καρχησίου,

et on retient les chefs avec la main gauche, tandis qu'on laisse pendre
3 librement l'anse. Puis on fait avec la partie pendante opposée du cordon une petite anse qu'on place sur la main gauche, et on attire l'autre partie pendante du cordon à travers le milieu de cette petite anse; ensuite on retourne le nœud à l'aide des anses, et on le place sur la main
4 gauche. Cette conversion opérée, on fait de nouveau, avec la partie pendante opposée du cordon, une autre petite anse et on la met sur
5 le nœud. Vers la fin on attire de bas en haut à travers le milieu du nœud l'anse pendante : en effet, de cette façon, le nœud apparaîtra au milieu, tandis que, des deux côtés, il y a d'une part une anse, et de l'autre deux chefs.

11. COMMENT ON FAIT LE CÂBLE DOUBLE AVEC LE CÂBLE SIMPLE.

1 On a l'habitude de construire le câble double de diverses manières, attendu qu'on le fait quelquefois par lui-même, et d'autres fois à l'aide

1. τῇ δὲ ἀγκ. ἡ ϖαρειμ. RU. — 3-4. τοῦ ἀγκυλίου Vid.; τῶν ἀγκυλίων Codd. — 8. [διά] e conj. Vid. qui habet *per*; om. Codd. — 9. τάσσεται U. — Ch. 11, l. 13. ἑαυτοῦ ex em. Vid.; αὐτοῦ Codd.; it. p. 264, l. 2.

ἔστιν ὅπῃ δὲ καὶ ἐκ περιθέσεως ἀπαρτίζεται, κατὰ τὸν εἰκότα λό- Mai 88.
γον ὑποδείξαντες πῶς ἐξ ἑαυτοῦ πλέκεται, νῦν διδάξαι βουλόμεθα
πῶς ἐκ τοῦ ἁπλοῦ συντελεῖται. Τοίγαρτοι δεῖ πρῶτον διαπλέξαι
τὸν ἁπλοῦν καρχήσιον καὶ τὰς ἀγκύλας ἀπὸ ἀλλήλων διαστῆσαι, 2
εἶτα τότε τὴν ὑποκειμένην ἀγκύλην κατὰ τῆς μετεώρου ἀγκύλης
ἐπιβάλλειν, διαστῆσαί τε ἀπὸ ἀλλήλων τὰς ἀγκύλας, καὶ διὰ μέ-
σης τῆς διαστάσεως αὐτῶν τὴν ἀντικειμένην ταῖς ἀρχαῖς ἀγκύλην
ἀνασπάσαι κάτωθεν ἄνω· οὕτω γὰρ πάλιν μέση εὑρίσκεται ἡ τοῦ
βρόχου πλοκὴ, παρὰ ἑκάτερα δὲ ὅπου μὲν ἀρχαὶ δύο, ὅπου δὲ μία
ἀγκύλη.

ιϐʹ. Πῶς ἐκ περιθέσεως ὁ διπλοῦς καρχήσιος γίνεται;

Ἐπεὶ πολλάκις ἐκ τῶν εὐτόνων σωμάτων σφοδρᾶς τῆς τάσεως 1
γινομένης ἀπὸ μέρους αἱ τοῦ βρόχου ῥήγνυνται ἀρχαὶ, μηδέπω τῆς
τάσεως ἀπαρτισθείσης, ἵνα μὴ χαλάσωμεν τὰς καταλελειμμένας τοῦ

du câble simple; il existe aussi un procédé pour l'arranger autour du membre même auquel on l'applique; puisque nous avons enseigné de notre mieux comment on le fait par lui-même, nous voulons donc dire
maintenant comment on le construit à l'aide du câble simple. D'abord 2
on fait le câble simple, puis on écarte les anses l'une de l'autre; ensuite on met l'anse placée en dessous sur l'anse supérieure, on éloigne les anses l'une de l'autre, et on attire de bas en haut, à travers le milieu de l'espace qui sépare ces anses, l'anse opposée aux chefs : en effet, de cette manière on verra que le nœud est placé au milieu, tandis qu'il y a, des deux côtés, d'une part deux chefs, et de l'autre une anse.

12. COMMENT ON FAIT LE CÂBLE DOUBLE TOUT EN L'APPLIQUANT.

Puisqu'il arrive souvent que des parties robustes donnent lieu, lors- 1
qu'on exerce sur elles une traction très-forte, à une déchirure partielle des chefs du lacs avant que la traction ait acquis le degré de force nécessaire, nous construisons le lacs dit câble [double] au moment même

3. δεῖ πρῶτον δεῖ U. — Ch. 12, Ib. μέρ. αἱ τοῦ μέρους αἱ τοῦ βρ. R. — l. 11, τῆς om. U. — 12. γενομ. U. — 13. ῥήσεως R.

Mai 88-89. βρόχου ἀρχάς, ἐκ περιθέσεως ἀποτελοῦμεν τὸν καρχήσιον βρό-
89 χον· διακρατοῦμεν γὰρ τῇ εὐωνύμῳ χειρὶ | τὴν ἀρχὴν τῆς καιρίας, εἶτα τρεῖς ἀγκύλας ἀποτελοῦμεν περὶ τὸ καταρτιζόμενον κῶλον
2 ἀπὸ ἀλλήλων διεστώσας μὲν διὰ χαλάσματος ἱκανοῦ. Μετὰ δὲ ταῦτα τὴν πρώτην ἀγκύλην κατὰ τῆς τελευταίας τάσσομεν ἀγκύλης, καὶ ἅπαξ ἢ δὶς ἐπιστρέψαντες διὰ μέσου αὐτῶν τὴν μέσην ἀνασπῶμεν ἀγκύλην· πάλιν γὰρ οὕτω περὶ μὲν αὐτὸ τὸ κῶλον τοῦ βρόχου γίνεται [ἡ] πλοκή, παρὰ ἑκάτερα δὲ ὅπου μὲν ἀρχαὶ δύο, ὅπου δὲ ἀγκύλη μία.

ιγ'. Πῶς πλέκεται βρόχος ὁ καλούμενος πλίνθιος ὁ τετράκυκλος;

1 Ἕνεκα τῆς πλοκῆς τοῦ πλινθίου βρόχου καιρία προσλαμβάνεται κεκρικοποιημένη, τουτέστιν ἀρχὴν οὐκ ἔχουσα, καὶ περιτίθενται ἀμφοτέρων τῶν χειρῶν κατὰ τὸν ἔνδον τόπον τοῖς ἀντίχειρσιν καὶ τοῖς μικροῖς δακτύλοις, περιτίθενται δὲ καὶ τοῖς λιχανοῖς, ἵνα πᾶ-

où nous l'appliquons, de peur de relâcher les chefs restés libres : à cet effet nous saisissons le chef du cordon avec la main gauche; puis nous formons, autour du membre qu'il s'agit de réduire, trois anses, en
3 la place autour du corps par le procédé suivant. On entoure le sein, pour le recouvrir, du sac destiné à le relever; ensuite on amène le côté le plus long de la ceinture sur l'épine du dos, et on le réunit, par un
4 nœud, sous le sein exempt de maladie, au chef court. On fait remonter les deux jambes antérieures de la bande [qui forme le sac], et on les roule, en les croisant, autour de la partie postérieure du cou, tandis qu'on réunit les deux autres jambes, par un nœud, aux chefs pendants.

5. τῆς συῤῥαφῆς RU. — Ib. ὡς ex em.; ὡσανεί RU. — 6. ϖροσράπτομεν, ὡς ex em.; ϖροσράπτομεν ᾧ RU. — 8. [ϖεριπλέκεται δέ] conj.; om. RU. — Ib. ϖ. δὲ τοιᾷδε U. — 13. ϖαρειλεῖται RU.

Mai 109.

να'. Εἰλητὸς ἐπίδεσμος ἐπὶ μαστῶν.

1 Μακροτέρου τελαμῶνος τῷ πλάτει αὐτάρκους ὄντος πρὸς τὴν χρείαν ἡ μία ἀρχὴ ῥήγνυται εἰς δύο σκέλη, τάσσεται δὲ κατὰ τὸν ἀντικείμενον τόπον πλησίον τοῦ ὑγιοῦς μαστοῦ, εἶτα [ἐπὶ ῥάχιν], ἀπὸ ῥάχεως ἄγεται λοξὴ κατὰ τοῦ πεπονθότος μαστοῦ καὶ τῷ ὑγιεῖ ὑπειλεῖται, εἶτα ἐπὶ ῥάχιν, ἀπὸ ῥάχεως ἐπὶ τὸν πεπονθότα μαστὸν ἄνω ὡς ἐπὶ τὸν ὑγιῆ λοξή, ἵνα γένηται χίεσμα κατὰ τὸ μεσομάζιον, ἀπὸ τούτου ἐπὶ ῥάχιν. 2 Αἱ ἐπινομαὶ κατὰ τῶν αὐτῶν πρὸς τὴν τῶν γυμνῶν σκέπην. 3 Τὸ δὲ πέρας τοῦ τελαμῶνος ῥήγνυται, καὶ τότε τὰ σκέλη πρὸς ἄλληλα ἀμματίζεται, οὗ μὲν ἅμματος ὑπὸ τὸν ὑγιῆ μαστὸν γινομένου, οὗ δὲ ὑπεράνω τούτου.

νβ'. Εἰλητὸς ἐπίδεσμος ἐπὶ ἀγκῶνος.

Ἐπὶ τοῦ ἀγκῶνος εἰλητῷ ἐπιδέσμῳ τοιούτῳ χρώμεθα. Τοῦ τελα- 1-2

51. BANDAGE ROULÉ POUR LE SEIN.

On déchire en deux lanières l'un des chefs d'une bande assez longue 1
et ayant une largeur suffisante pour l'usage auquel on la destine; on
place cette bande sur le côté opposé à la lésion, près du sein exempt de
maladie; ensuite on l'amène sur l'épine du dos; à partir de l'épine du
dos, on fait passer un tour oblique sur le sein malade, et l'on continue
sous le sein resté intact; puis on va de nouveau à l'épine du dos; partant
de ce point, on fait sur le sein malade un [second] tour oblique qui
remonte vers le sein bien portant, afin qu'il y ait un croisement dans
l'espace intermédiaire entre les deux mamelles; de cet espace, on re-
tourne encore une fois à l'épine du dos. Les tours complémentaires des- 2
tinés à recouvrir les points restés nus doivent passer par les mêmes parties.
On déchire le bout de la bande, et alors on réunit entre elles les jambes 3
par des nœuds, dont l'un se trouvera sous le sein exempt de maladie, et
l'autre au-dessus de cet organe.

52. BANDAGE ROULÉ POUR LE COUDE.

Pour le coude, nous nous servons du bandage roulé suivant. Nous 1-2

Ch. 51, l. 3. τόπον om. R. — Ib. [ἐπὶ ῥάχιν] conj.; om. RU. — 6. τόν] τά R.

Ch. 52, l. 11. Ἐπὶ τοῦ ἀγκ. om. RU.

Mai 109-110.
μῶνος τὴν ἀρχὴν προστιθέντες τοῦ βραχίονος κατὰ τὰ ἀπολήγοντα
110 μέρη τὰ πλησιάζοντα τῷ ἀγκῶνι, κυκλοτερῆ περιείλησιν ἐργα|ζόμενοι τοπικὴν, λοξὴν ἄγομεν καταβολὴν κατὰ τὸν ἐμπρόσθιον τόπον τοῦ ἀγκῶνος, κατὰ ὃν αἱ φλεβοτομίαι γίνονται, καὶ τῷ πήχει ὑπειλοῦντες, ἀνάγομεν λοξὴν ὡς ἐπὶ τὸν βραχίονα, ἵνα γένηται χίεσμα
3 κατὰ τὸν ἐμπρόσθιον τόπον τοῦ ἀγκῶνος. Ἡ δὲ τῆς ἐπιδέσεως νομὴ κατὰ τῶν αὐτῶν ὀφείλει γενέσθαι πρὸς τὴν τῶν γυμνῶν σκέπην,
4 ἀεὶ τοῦ ἅμματος ἐκ πλαγίων τοῦ ἀγκῶνος γινομένου. Κοινότερον δὲ ὅ τε βραχίων καὶ ὁ πῆχυς πάντα τε τὰ κῶλα ταῖς κυκλοτερέσι περιειλήσεσιν ἐπιδεδῆσθαι ὀφείλει, μετὰ ὧν ἔστιν ὅτε καὶ ταῖς ἐπαγομέναις λοξαῖς καταβολαῖς πρὸς τὴν τῆς ἐπιδέσεως ἀσφάλειαν, τούτου τοῦ ἐπιδέσμου τοῦ πέρατος ἢ καταῤῥαπτομένου, ἢ στενῷ τελαμωνιδίῳ καταλαμβανομένου, ἢ ῥηγνυμένου, ἵνα τὰ δύο σκέλη ἐνηλλαγμένα κατὰ τὸ ἕτερον μέρος τοῦ κώλου ἁμματισθῇ.

plaçons le chef de la bande sur la partie fuyante du bras dans le voisinage du coude; nous conduisons dans cette région un tour circulaire autour du membre, puis nous amenons un tour oblique sur la région antérieure du coude, là où l'on fait les saignées; nous déroulons la bande au-dessous de l'avant-bras, et nous faisons remonter un [second] tour oblique vers le bras, afin qu'il y ait un croisement sur la partie antérieure
3 du coude. Les tours complémentaires de ce bandage, destinés à recouvrir les points restés nus, doivent passer par les mêmes parties, de manière
4 que le nœud tombe toujours sur les côtés du coude. Assez généralement les bandages qu'on applique sur le bras et l'avant-bras, comme, du reste, sur tous les membres, doivent consister en tours circulaires, que l'on combine quelquefois, en vue de la sûreté de l'appareil, avec des tours obliques amenés sur le membre; quant à l'extrémité de la bande, on la coud sur les tours placés en dessous, ou bien on l'assujettit avec une bandelette étroite, ou encore on la déchire, pour réunir par un nœud, sur le côté opposé du membre, les deux lanières qu'on obtient de cette façon, après les avoir soumises à un croisement.

1. προστεθέντος — 10. ἐπιδεδῆσθαι ex em.; ἐπιτελεῖσθαι RU. — Ib. ὧν ου (sic) ἐστιν R. — 11. γλώσσαις R. — 12-13. ἢ στενοῦ τελαμωνιδίου RU. — 13. καταλαμβανομένου ἢ ῥηγνυμένου om. U.

Mai 110-111.

νγʹ. Ἔξακρος Μενεκρίτου.

Ἡ ἀρχὴ τοῦ ἐπιδέσμου τάσσεται κατὰ τὰ ἀπολήγοντα τοῦ πήχεως πλησίον καρποῦ, καὶ μετὰ μίαν τοπικὴν κυκλοτερῆ περιείλησιν ἄγεται λοξὴ κατὰ τοῦ μετακαρπίου, εἶτα ὑπειλεῖται τῷ κοίλῳ τῆς χειρὸς, ἀπὸ οὗ ἀνάγεται λοξὴ ἀντικειμένη τῇ πρώτῃ, ἵνα χίασμα γένηται κατὰ τὸ μετακάρπιον, ἀπὸ δὲ τοῦ μετακαρπίου ἐπὶ τὸν καρπόν. 1 Πάλιν δὲ ἡ τῆς ἐπιδέσεως νομὴ κατὰ τῶν αὐτῶν γίνεται πρὸς τὴν τῶν γυμνῶν σκέπην. 2 Οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ πρὸς ἐπίδεσιν τοῦ καρποῦ καὶ τοῦ μετακαρπίου. 3

νδʹ. Καρκίνος.

Στενοῦ τελαμωνιδίου ὡς διδακτυλιαίου ἡ ἀρχὴ προστίθεται τῷ καρπῷ καὶ τῷ κοίλῳ τῆς χειρὸς, ἔπειτα ἄγεται λοξὴ ἔσωθεν ἔξω ὡς ἐπὶ τὸν μέγαν δάκτυλον, εἶτα ἔξωθεν ἄλλη λο|ξὴ κατὰ τοῦ δακτύ- 1 III

53. BANDAGE POINTU DE MÉNÉCRITE.

On place le chef de la bande sur les parties fuyantes de l'avant-bras près du carpe, et, après avoir conduit dans cette région un tour circulaire autour du membre, on fait un tour oblique qui traverse le métacarpe; ensuite on déroule la bande au-dessous du creux de la main; à partir de ce point, on mène vers le haut un [second] tour oblique opposé au précédent, afin qu'il y ait un croisement sur le métacarpe; du métacarpe on va au carpe. 1 Les tours complémentaires du bandage, destinés à recouvrir les points restés à nu, doivent passer sur les mêmes parties. 2 Ce bandage convient pour le carpe et le métacarpe. 3

54. CRABE.

On place sur le carpe et le creux de la main le chef d'une bandelette large d'environ deux doigts; ensuite on mène, du côté intérieur vers l'extérieur, un tour oblique sur le pouce; puis on fait, en commençant à l'extérieur, un second tour oblique opposé au précédent, tour qui passe par 1

Ch. 54, l. 9. ὡσεὶ R. — Ib. ἡ om. R.

Mai 111. λου ὡς ἐπὶ τὸν καρπὸν ἀντικειμένη τῇ πρώτῃ, ἵνα γένηται χίεσμα
2 κατὰ τὰ ἔξω μέρη τοῦ ἀντίχειρος δακτύλου. Κατὰ δὲ τῶν αὐτῶν
3 ἡ ἐπίδεσις πρὸς τὴν τῶν γυμνῶν σκέπην. Ἐπὶ τέλει δὲ μία γίνεται
4 κυκλοτερὴς περιείλησις περὶ τὸν καρπὸν, ὅπου καὶ τὸ ἅμμα. Οὗτος
ὁ ἐπίδεσμος εὐθετεῖ πρὸς ἐπίδεσιν τοῦ μεγάλου δακτύλου τοῦ ἀντί-
χειρος λεγομένου.

νε'. Ἁπλοῦς βουβωνίσκος, ὃν τινες καρκίνον ἐπὶ βουβῶνος προσηγόρευσαν.

1 Ἡ ἀρχὴ τοῦ ἐπιδέσμου κατὰ τὴν ἀντικειμένην λαγόνα τάσσε-
ται, ἔπειτα ἀπὸ τῆς ὀσφύος ἄγεται λοξὴ κατὰ τοῦ βουβῶνος τοῦ
δεομένου σκέπης, καὶ τότε ὑπειλεῖται τῷ ἀκρισχίῳ, ἀπὸ τοῦ ἀκρι-
σχίου ἀνάγεται ἐπὶ τὸν αὐτὸν βουβῶνα καὶ τὸ ἦτρον, ἵνα γένηται
2 χίεσμα, ἀπὸ τοῦ ἤτρου ἐπὶ τὴν ἀντικειμένην λαγόνα. Ἡ δὲ τῆς ἐπι-
δέσεως νομὴ κατὰ τῶν αὐτῶν γίνεται πρὸς τὴν τῶν γυμνῶν σκέ-
3 πην. Καὶ τότε μία κυκλοτερὴς περιείλησις δοκιμάζεται περὶ τὴν

le [même] doigt pour aller au carpe, afin qu'il y ait un croisement sur
2 le côté extérieur du pouce. La partie du bandage destinée à recouvrir
3 les points restés à nu devra passer par les mêmes endroits. Vers la fin,
on fait un tour circulaire unique qu'on passe autour du carpe, région
4 sur laquelle devra se trouver également le nœud. Ce bandage convient
pour le grand doigt appelé pouce.

55. BANDAGE INGUINAL SIMPLE, QUE QUELQUES-UNS ONT APPELÉ *CRABE POUR L'AINE*.

1 On place le chef de la bande sur le flanc opposé [à la lésion]; ensuite
on passe, en commençant aux lombes, un tour oblique sur l'aine qui a
besoin d'être recouverte; alors on déroule la bande au-dessous du som-
met de la fesse, et, de ce point, on la ramène, en montant, à l'aine du
même côté et au pubis, afin qu'il y ait un croisement; du pubis on va au
2 flanc du côté opposé. Les tours complémentaires, destinés à recouvrir les
3 points restés à nu, se font sur les mêmes parties. Alors on conseille de
faire un tour circulaire unique passé autour des lombes et du pubis; les

1. χίασμα U, et sic semper.

Mai 111-112.

ὀσφὺν καὶ τὸ ἦτρον, τῶν ἁμμάτων γινομένων κατὰ τὸ ἦτρον. Οὗτος 4
ὁ ἐπίδεσμος εὐθετεῖ πρὸς ἐπίδεσιν βουβῶνος.

νϛ'. Διπλοῦς βουβωνίσκος.

Ἐπὶ τετελειωμένῳ τῷ ἁπλῷ βουβωνίσκῳ χωρὶς τῆς κυκλοτεροῦς 1
περιειλήσεως, ὁ διπλοῦς ἔχει ἀπὸ τῆς ὀσφύος λοξὴν καταβολὴν ὡς
ἐπὶ τὸ ἦτρον καὶ τὸν ἕτερον βουβῶνα, εἶτα ὑπὸ τὸ ἀκρίσχιον, ἀπὸ
τοῦ ἀκρισχίου ἐπὶ τὸν αὐτὸν βουβῶνα, ἵνα κατὰ ἑκάτερον φανῇ
χίεσμα, εἶτα ἐπὶ τὴν ὀσφύν. Ἡ δὲ δευτέρα πλοκὴ κατὰ τῶν αὐτῶν 2
γίνεται πρὸς τὴν τῶν γυμνῶν σκέπην. Οὗτος ὁ ἐπίδεσμός ἐστιν 3
ἐπιτήδειος πρὸς τὴν τῶν δύο βουβώνων ἐπίδεσιν, ἐπὶ τέλει τῆς πλο-
κῆς τῆς κυκλοτεροῦς περιειλήσεως δοκιμαζομένης.

| νζ'. Βουβωνοφύλαξ. 112

Εἰλητῷ ἐπιδέσμῳ πρὸς μίαν ἀρχὴν ὡς ἐπὶ τριπαλαίστου διαστή- 1

nœuds doivent se trouver sur cette dernière région. Ce bandage convient 4
pour l'aine.

56. BANDAGE INGUINAL DOUBLE.

Après avoir achevé le bandage inguinal simple, en supprimant toute- 1
fois le tour circulaire, il faut, pour obtenir le bandage inguinal double,
y ajouter un tour oblique, qui des lombes va au pubis et à l'aine de
l'autre côté, qui passe ensuite au-dessous du sommet de la fesse, pour
aller de ce point à l'aine du même côté, de manière qu'il se produit un
croisement sur chaque aine; après cela, on retourne aux lombes. La se- 2
conde partie de ce bandage, destinée à recouvrir les points restés à nu,
doit passer sur les mêmes endroits. Ce bandage convient pour faire la 3
déligation des deux aines, pourvu que, vers la fin de la déligation, on
ait recours à un tour circulaire.

57. GARDE-AINE.

On coud sur un des chefs d'une bande roulée, à trois palmes de dis- 1

1. τῶν..... ἦτρον om. U. — Ch. 56, l. 4. περιειλήσεως om. R. — 6. ἑκάτερον] ἕτερον RU. — Ib. φαίνη R. — 10. δοκιμαζόμενος RU. — Ch. 57, l. 11. Εἰλητῷ ἐπιδέσμῳ ex em.; Εἰλητοῦ ἐπιδέσμου RU.

Mai 112.
ματος εὐθὺς τελαμὼν προσράπτεται πήχων δύο τὸ μέγεθος ἔχων.
2 Τούτου τοῦ ἐπιδέσμου ἡ ἀρχὴ τάσσεται κατὰ τὴν ἀντικειμένην λα-
γόνα, ἔπειτα [ὁ] εὐθὺς τελαμὼν ἐξόπισθεν ἀπὸ τῆς ὀσφύος καὶ τοῦ
γλουτοῦ ὑπάγεται τῷ περινέῳ, ἀπὸ τοῦ περινέου ἄγεται ἐπὶ βου-
3 βῶνα τὸν δεόμενον σκέπης. Τούτου δὲ τοῦ τελαμῶνος ἀνατεινομέ-
νου, ἀπὸ τοῦ εἰλητοῦ ἐπιδέσμου ἐπάγονται δύο ἢ τρεῖς κυκλοτερεῖς
περιειλήσεις, καὶ τότε ὁ τελαμὼν κατέχεται διὰ αὐτοῦ ὡς ὑπὸ ἅμ-
ματος, ἅμα ταῖς κυκλοτερέσι περιειλήσεσι πιεζομένου τοῦ βουβῶ-
νος· εἶτα ὑπειλεῖται τῷ ἀκρισχίῳ, ἀπὸ δὲ τούτου ἀνάγεται ἐπὶ τὸν
4 αὐτὸν βουβῶνα καὶ τὸ ἦτρον. Καὶ τότε ἐκ τοῦ εἰλητοῦ ἐπιδέσμου
ἢ τοῦ ἁπλοῦ βουβωνίσκου γίνεται πλοκὴ, τῶν ἁμμάτων συντελου-
5 μένων κατὰ τὸ ἦτρον. Ἄριστός ἐστιν ὁ ἐπίδεσμος οὗτος ἐπὶ βουβω-
νοκήλης, τῆς χειρουργίας ὑπέρθεσιν ἐχούσης.

tance de son extrémité, un linge coupé à fil droit, de l'étendue de deux
2 coudées. On place le chef de cette bande [roulée] sur le flanc du côté
opposé [à la lésion]; ensuite on passe, en commençant par derrière, sur
les lombes et la fesse, le linge à fil droit au-dessous du périnée, et de là
3 on l'amène sur l'aine qui a besoin d'être recouverte. En attirant vers le
haut le linge dont nous parlons, on fait sur lui, avec la bande roulée,
deux ou trois tours circulaires; alors le linge est retenu par la bande,
comme si c'était par un nœud, en même temps que l'aine est compri-
mée par les tours circulaires; après cela, on déroule le linge au-dessous
du sommet de la fesse, et, de ce point-là, on le ramène sur l'aine du
4 même côté et sur le pubis. Alors on trace, avec la bande roulée, le
5 bandage inguinal simple, en faisant les nœuds sur le pubis. Ce bandage
est excellent pour les cas de hernie inguinale, lorsque l'opération est
différée.

1. προσάπτεται R. — 3. [ὁ] ex em.; om. RU. — 4. ἐπάγεται U. — 6. ἀπὸ δὲ τοῦ RU. — 7. κατέχεται conj.; καθέλκεται RU.

Mai 112-113.

νη'. Ῥαπτὸς ἐπὶ ἕδρας.

Τελαμῶνα δεῖ λαβεῖν ϖλάτει [καὶ] μήκει ἱκανὸν ϖρὸς τὴν δη- 1
λουμένην ἐπίδεσιν. Πρὸς μίαν ἀρχὴν ἄλλος ϖλάγιος στερεώτερος 2
τελαμὼν ϖροσράπτεται, ὡς τριδακτυλιαῖος τῷ ϖλάτει· ζώνη δὲ οὗ-
τος καλεῖται. Ἀπὸ διαστήματος τῆς ζώνης ὡς ἐπὶ σπιθαμιαίου ἄλλος 3
ϖλάγιος τελαμὼν ϖροσράπτεται ὁμοιοπλατὴς τῇ ζώνῃ· οὗ τὰ
ἑκατέρωθεν μέρη καλεῖται ϖαρασκέλια. Τὸ δὲ ἕτερον ϖέρας τοῦ 4
εὐθέος τελαμῶνος τὸ τῇ συῤῥαφῇ ἀντικείμενον εἰς δύο ῥήγνυται
σκέλη. Τῇ ζώνῃ ϖεριχάσκων ζώννυται ὁ ϖάσχων, καὶ τότε [ὁ] 5
εὐθὺς τελαμὼν ἀπὸ τῆς ὀσφύος ἄγεται ἐπὶ τὴν ἕδραν καὶ τὸν ϖε-
ρίνεον· οὗ τὰ σκέλη διὰ τῶν βουβώνων ἀναχθέντα ἐπεμβάλλεται
τῇ ζώνῃ, καὶ τότε τὰ ϖαρασκέ|λια ἀνάγεται τεταμένα, καὶ τότε 113
τῇ αὐτῇ ζώνῃ ἐπεμβληθέντα ϖρὸς τὰς τῶν σκελῶν ἀρχὰς ἀμματί-

58. BANDAGE COUSU POUR LE SIÉGE.

On prend une bande dont la largeur et la longueur suffisent pour 1
faire la déligation que nous sommes en train de décrire. Sur l'un des 2
chefs de cette bande, on coud transversalement une autre bande plus
solide de la largeur de trois doigts ; cette bande est appelée *ceinture.* À un 3
empan de distance de la ceinture, on coud [sur la bande nommée en
premier lieu] une seconde bande transversale de la même largeur que la
ceinture ; on appelle *jambières* les parties de cette bande situées des deux
côtés. On déchire en deux lanières l'un des deux bouts de la bande 4
droite, celui qui est placé du côté opposé à la couture. On entoure le ma- 5
lade avec la ceinture, en l'ouvrant largement ; puis on amène la bande
droite des lombes au siége et au périnée ; on fait remonter les jambes
de cette bande par les aines et on les fait passer au-dessous de la cein-
ture ; ensuite on ramène en haut les jambières en tirant sur elles, et
alors on les fait passer au-dessous de cette même ceinture, et on les

Ch. 58, l. 1. [καὶ] ex em.; om. RU. — 3. ϖροσάπτεται U; it. l. 5. — 8. [ὁ] ex em.; om. RU. — 9. ἄγεται om. U. — 9-10. τὸν ϖερίνεον ex em.; τὸν ϖερίναιον U; τὸ ϖεριτόναιον R. — 12. τά om. R.

Mai 113.
6 ζεται. Τούτῳ τινὲς τῷ ἐπιδέσμῳ χωρὶς τῶν παρασκελίων ἐπὶ τῶν λελιθοτομημένων ἐχρήσαντο, ἡμεῖς δὲ αὐτὸν παραιτούμεθα διὰ τὰς ἐκ τῶν ῥαμμάτων ἀνωμαλίας, ἵνα μὴ Θλίβηται τὸ ἦτρον· πιεζο-
7 μένη γὰρ ἀνωμάλως ἡ κύστις εἰς Φλεγμονὴν περιίσταται. Χρώμεθα δὲ ἡμεῖς ἐπὶ τῶν λελιθοτομημένων ἐπιδέσμῳ τῷ μικρῷ πρόσθεν ἐπὶ βουβωνοκήλης ἱστορημένῳ, νῦν κολοβώτερον εὐθὺν τελαμῶνα συῤῥάπτοντες καὶ κατὰ τὸ πέρας εἰς δύο σκέλη ῥηγνύντες, ὃς κατὰ πολύ ἐστι τοῦ ἑδρικοῦ αἱρετώτερος· τῷ γὰρ εἱλητῷ ἐπιδέσμῳ κατὰ κύκλον περιειλουμένῳ σκέπεται ὅλον τὸ ἦτρον καὶ ἡ ὀσφὺς, οὗ τὸ πέρας καταῤῥάπτεται πρὸς τὰς κατὰ τὸ ἦτρον κυκλοτερεῖς περιειλήσεις, καὶ τοῦ εὐθέος τελαμῶνος τὸ συνεχὲς μέρος ἀπὸ τῆς ὀσφύος ἄγεται ἐπὶ τὴν ἕδραν καὶ τὸν περίνεον, καὶ τότε καὶ τὰ σκέλη διὰ βουβώνων ἀχθέντα προσάπτεται ταῖς κυκλοτερέσι περιειλήσεσιν.
8 Σπουδαῖόν ἐστιν ὁ ἐπίδεσμος οὗτος ἐπὶ τῶν λελιθοτομημένων.

6 réunit par des nœuds au bout des jambes [de la bande droite]. Quelques médecins se sont servis de ce bandage chez les malades qui ont subi l'opération de la taille, en supprimant toutefois les jambières; mais nous le rejetons à cause des inégalités qui résultent des coutures, de peur de comprimer le pubis : car, si la vessie éprouve une compression
7 inégale, elle est prise d'inflammation. Nous avons recours, chez les malades qui ont subi l'opération de la taille, au bandage que nous avons décrit un peu plus haut (ch. 57) pour la hernie inguinale; seulement, dans le cas actuel, nous prenons une bande droite plus courte pour la coudre sur la bande roulée, et nous en déchirons l'extrémité en deux lanières; cette bande est de beaucoup préférable au bandage pour le siége; en effet, la bande roulée recouvre toute l'étendue du pubis ainsi que les lombes, puisqu'elle enveloppe circulairement ces parties; le bout de cette bande est rattaché par une couture à la partie des tours circulaires placée sur le pubis; la partie non déchirée de la bande droite est menée des lombes au siége et au périnée; alors on fait aussi remonter les jambes [de cette bande] par les aines, pour les rattacher aux
8 tours circulaires. Ce bandage convient parfaitement après l'opération de la taille.

3-4. πιεζουμένη U. — 6. νῦν om. R. ὅς ex em.; οἷς RU. — 9. σκέπτεται U. — Ib. εὐθύ R. — 7. εἰς om. R. — Ib. — 14. Σπουδαῖός U.

Mai 113-114.

νθʹ. Σχισ7ὸς ἐπὶ ὀσχέου.

Τελαμῶνα δεῖ λαβεῖν πλάτει [καὶ] μήκει ἱκανὸν δυνάμενον ἐξαρ- 1
κέσαι πρὸς τὴν δηλουμένην ἐπίδεσιν, ἔπειτα ἑκατέρωθεν αὐτὸν
ῥῆξαι εἰς σκέλη τέσσαρα καὶ τέσσαρα, ὀκτὼ τὰ πάντα. Τῶν δεδη- 2
λωμένων σκελῶν ἃ μὲν κολοβώτερα γινέσθω, ἃ δὲ μακρότερα. Ὑπὸ 3
δὲ [τοῖς] μέσοις τοῖς κολοβωτέροις σκέλεσιν ὁ τελαμὼν ἐκκοπ7έσθω
ἐκκοπῇ ἀναλογούσῃ τῇ τοῦ καυλοῦ περιοχῇ. Πρὸς τὴν χρείαν ζώνῃ 4
δὲ περιζωννύσθω ὁ πάσχων, καὶ τότε τοῦ τελαμῶνος δύο τὰ μέσα
[τὰ] κολοβώτερα σκέλη ἐπεμβληθέντα τῇ ζώνῃ ἁμματιζέσθω πρὸς
ἄλληλα, τὰ δὲ λοιπὰ δύο σκέ|λη τῇ αὐτῇ ζώνῃ ἐπεμβληθέντα 114
ἐάσθω παρειμένα. Ἔπειτα ὁ καυλὸς διὰ τῆς ἐκκοπῆς ἐκλαμβανέσθω, 5
ὁ δὲ ὅλος ὀσχέος τῷ συνεχεῖ μέρει τοῦ τελαμῶνος σκεπέσθω. Καὶ 6
τότε τῶν κάτω παρειμένων τὰ μακρότερα σκέλη δύο τὰ ἔξω κατὰ

59. BANDAGE FENDU POUR LE SCROTUM.

On prend une bande dont la largeur et la longueur sont assez consi- 1
dérables pour qu'elle puisse suffire à la déligation que nous sommes en
train de décrire; ensuite on déchire cette bande des deux côtés, en quatre
lanières pour chacun, de sorte qu'il y en ait huit en tout. De ces lanières, 2
les unes doivent être plus courtes, et les autres plus longues. Sous les 3
lanières du milieu, qui doivent être les plus courtes, on pratiquera dans
la bande un trou dont les dimensions correspondent à la circonférence
de la verge. Pour appliquer le bandage, on entoure le corps du malade 4
d'une ceinture; alors on passe les deux jambes de la bande qui sont pla-
cées au milieu, et qui sont en même temps les plus courtes, au-dessous
de la ceinture, et on les rattache l'une à l'autre par un nœud; on passe
également au-dessous de la même ceinture les deux autres jambes;
mais on les laisse pendre librement. Ensuite on passe la verge à travers 5
le trou, et on recouvre toute l'étendue du scrotum avec la partie non
déchirée de la bande. Alors on prend, parmi les jambes pendantes [de 6
l'autre côté de la bande], les deux qui sont placées à l'extérieur, et qui

Ch. 59, l. 1. [καί] ex em.; om. RU. — 5. [τοῖς] ex em.; om. RU. — 8. [τά] ex em.; om. RU. — Ib. ἐπιβληθέντα U. — 10. ἐγκοπῆς U. — 12. τὰ μακρότερα σκέλη ex em.; τῶν μακροτέρων σκελῶν RU.

Mai 114. ἐναλλαγὴν παρειληθέντα τῷ ὀσχέῳ, τῇ αὐτῇ ζώνῃ ἐπεμβληθέντα, ὡς τὰ πρῶτα ἐάσθω παρειμένα, τὰ δὲ λοιπὰ δύο τὰ μέσα πάλιν τῷ ὀσχέῳ κατὰ ἐναλλαγὴν ὑπειληθέντα διὰ τῶν ἀκρισχίων ἀναγέσθω, καὶ τῇ αὐτῇ ζώνῃ ἐπεμβληθέντα πρὸς τὰς παρειμένας ἀρχὰς τῶν πρώτων σκελῶν ἀμματιζέσθω.

ξ'. Ἁπλοῦς ἐπίδεσμος πρὸς κράτημα κώλου.

1 Πρὸς κράτημα κώλου ἐν καταρτισμοῖς ἁπλοῦς ἐπίδεσμος ἀναγέγραπται, τοῦ κώλου, ὡς τοῦ βραχίονος, ἀσφαλιζομένου πρός τι, ὡς πρὸς κλιμάκιον κλίμακος, ἢ διάπηγμα στασίμου ὀργάνου, ἢ ἄλ-
2 λου τινὸς τῶν ὁμοίων. Ἡ ἀρχὴ τῆς καιρίας ἄνω τάσσεται, ἄγεται λοξὴ κατὰ τοῦ κώλου, καὶ τῷ διαπήγματι ὑπειλεῖται, εἶτά ἄγεται
3 ἄνωθεν κάτω λοξὴ ἀντικειμένη τῇ πρώτῃ. Δὶς ἢ τρὶς τὰ αὐτὰ γίνεται, καὶ τότε ἄνω τὸ ἄμμα.

sont en même temps les plus longues, pour les dérouler le long du scrotum, après leur avoir fait subir un croisement; on les fait passer au-dessous de la même ceinture, et on les laisse pendre comme les premières (c'est-à-dire *comme les jambes extérieures de l'autre côté de la bande*); on conduit à leur tour les deux jambes restantes, c'est-à-dire celles du milieu, au-dessous du scrotum, en les croisant; on les ramène en haut en passant par le sommet des fesses, on les fait passer au-dessous de la même ceinture, et on les noue avec les chefs pendants des premières jambes (c'est-à-dire, *avec celles de l'autre côté de la bande*).

60. BANDAGE SIMPLE POUR RETENIR UN MEMBRE.

1 On décrit un bandage simple destiné à retenir un membre pendant la réduction, le membre, par exemple le bras, étant attaché à un objet quelconque, au degré d'une échelle, à la traverse d'une machine droite,
2 ou à quelque autre objet semblable. On place le chef de la bande en haut, on amène un tour oblique sur le membre, et on déroule la bande au-dessous de la traverse; ensuite on fait un tour oblique allant de haut
3 en bas et qui est l'opposé du premier. On répète deux ou trois fois la même chose, et alors on place le nœud en haut.

Ch. 60, l. 8. κλίμακος ex em.; καὶ μῆκος RU. — 8-9. ἢ δι' ἄλλου U. — 10. ἄγεται ex em.; ἄνω ἄγεται R; ἄνω ἀνάγεται U. — 11. τὰ τοιαῦτα U.

Mai 114-115.

ξα'. Εὔκυκλος, οἱ δὲ Ἱπποκράτους εὔκυκλος.

Οὗτος ὁ ἐπίδεσμος ἐπί τινος κώλου κυκλοτερέσι περιειλήσεσιν 1
ἐπαγομέναις συντελεῖται. Κατὰ ταὐτὰ δὲ καὶ οὗτος εὐθετεῖ πρὸς 2
κράτημα κώλου ἐν καταρτισμοῖς· μᾶλλον δὲ δεδοκίμασῖαι πρὸς
παρακόλλησιν ἀφεσῖώτων σωμάτων, τῇ τεχνικῇ παρατηρήσει τῆς
ἐπιδέσεως γινομένης· κάτω μὲν γὰρ ὄντος τοῦ σῖομίου καὶ τῶν
ἀφεσῖώτων, ἄνωθεν κάτω ἡ τῆς ἐπιδέσεως γίνεται νομή, ἵνα τὰ
μὲν ὑγρὰ ἐκκρίνηται, τὰ δὲ ἀφεσῖῶτα προσπίπῖῃ πρὸς τὴν πα|ρα- 115
κόλλησιν· ἄνω δὲ τοῦ σῖομίου ὄντος, κάτωθεν ἄνω ἐγκρίνεται ἡ
ἐπίδεσις. Ὅταν δὲ ᾖ τὰ πλαγία ἀφεσῖῶτα σώματα, ἀπὸ αὐτῶν 3
ἄγονται περιειλήσεις ὡς ἐπὶ τὸ σῖόμιον πρὸς τὴν τῶν ὑγρῶν ἔκ-
κρισιν.

61. BANDAGE CIRCULAIRE QUE QUELQUES-UNS APPELLENT *BANDAGE CIRCULAIRE D'HIPPOCRATE.*

Ce bandage consiste en tours circulaires qu'on amène sur quelque 1
membre. Ce bandage convient également pour retenir un membre pen- 2
dant la réduction; mais il a plus de renom pour les cas où il s'agit de
recoller des parties qui ont perdu leur adhérence, pourvu qu'on fasse
la déligation en observant les règles de l'art : en effet, quand l'orifice
[de l'abcès ou de la fistule] ainsi que les parois écartées l'une de l'autre
se trouvent en bas, le parcours de la déligation doit se porter de haut
en bas, afin que les liquides soient expulsés et que les parois écartées
s'appliquent l'une sur l'autre pour se recoller; si l'orifice est en haut,
on adopte un bandage qui va de bas en haut. Quand les parties laté- 3
ralement situées ont perdu leur adhérence, on fait des tours circulaires
qui de ces parties vont à l'orifice, pour favoriser l'expulsion des liquides.

Ch. 61, l. 1. ἐπίδεσμος ex em.; δεσμός RU. — 2. ταῦτα RU. — 4. κατακόλλησιν U. — 8. ἄνω δέ ex em.; κάτω δέ RU. — 9. ᾗ om. U.

Mai 115.

ξϐ'. Ἰσοσκελὴς ῥόμϐος.

1 Οὗτος ὁ ἐπίδεσμος ἐπὶ τοῦ μηροῦ ἀναγέγραπται, τραύματος ὄν-
τος κατά τι τοῦ μηροῦ μέρος καὶ τῶν πλησίον σωμάτων ἀφεσταμέ-
2 νων· συντελεῖται δὲ τρόπῳ τοιούτῳ. Κατὰ τὰ κάτω μέρη τοῦ ἕλκους
ὑπὲρ τὸ γόνυ γίνεται κυκλοτερὴς περιείλησις, ἀπὸ ἧς ἀνάγεται
λοξὴ ἐκ πλαγίων τοῦ ἕλκους, καὶ πάλιν ἄνω γίνεται κυκλοτερὴς
περιείλησις, ἀπὸ ἧς ἄγεται λοξὴ κάτω, ἵνα γένηται χίασμα, ἔπειτα
ἐκ διαστήματος συμμέτρου παρὰ τὸ ἕλκος ἄλλαι δύο λοξαὶ, ἡ μὲν
κάτωθεν ἄνω, ἡ δὲ ἄνωθεν κάτω, ἵνα γένηται δύο χιάσματα, ὧν
μέσος ῥόμϐος κατὰ τὸ ἕλκος, ὥστε διὰ τοῦ μέσου διαστήματος,
3 γεγυμνωμένου τοῦ τόπου, τὴν τῶν ὑγρῶν ἔκκρισιν γίνεσθαι. Ἡ δὲ
νομὴ κατὰ τῶν αὐτῶν ὀφείλει γίνεσθαι πρὸς τὴν τῶν γυμνῶν σκέ-
πην, ὥστε τὰ μὲν ἀφεσταμένα διὰ τῆς ἐπιδέσεως πειθηνίως ἄγε-

62. RHOMBE À JAMBES ÉGALES.

1 On décrit ce bandage comme applicable à la cuisse, lorsqu'il y a une
plaie sur quelque point de ce membre et que les parties voisines se sont
2 écartées; on le construit de la manière suivante. On fait un tour cir-
culaire au-dessus du genou, sur les parties situées au-dessous de la plaie,
après lequel on fait remonter un tour oblique sur les côtés de cette lé-
sion; puis on fait de nouveau, en haut, un tour circulaire, après lequel
on amène un tour oblique de haut en bas, afin qu'il y ait un croise-
ment; ensuite on fait, à une petite distance, deux autres tours obliques
le long de la plaie, dont l'un va de bas en haut, et l'autre de haut en
bas, afin qu'il y ait deux croisements, au milieu desquels se trouve un
rhombe correspondant à la plaie : de cette manière, l'expulsion des li-
quides se fera par l'espace vide du milieu, vu que le lieu affecté est
3 resté à nu. Les tours complémentaires, destinés à recouvrir les points
restés à nu, doivent passer par les mêmes parties, de sorte que, par l'ef-
fet de la déligation, les parties écartées sont docilement amenées à se

Ch. 61, l. 2-3. ἀφεσταμένων ex em.; ἀφισταμένων U; om. R. — 6. ἀνάγεται R. — 8. ὧν ex em.; τῶν U; om. R. — 10. τήν om. U. — 12. ἀφιστάμενα R.

Mai 115-116.

σθαι πρὸς παρακόλλησιν, γεγυμνωμένου δὲ τοῦ ἕλκους τὰ συλλεγόμενα ὑγρὰ ἐκκρίνεσθαι.

ξγ'. Ἀνισοσκελὴς ῥόμϐος.

Ἐπὶ τετελειωμένῳ τῷ προκειμένῳ ἐπιδέσμῳ ἔχει ὁ ἐπίδεσμος 1
οὗτος καὶ κατὰ τοῦ ἕλκους ἀγομένας λοξὰς καταϐολάς. Τούτῳ δὲ 2
ἐχρήσαντο ἅμα βουληθέντες σκεπάσαι τὸ ἕλκος.

ξδ'. Σκέπαρνος.

Οὗτος ὁ ἐπίδεσμος ἀναγέγραπται ὑπὸ τῶν χρησαμένων | αὐτῷ 1 116
ἐπὶ ὧν ἕλκους ὄντος κατά τι μέρος τοῦ μηροῦ τὰ γειτνιῶντα μέρη
προσαφίσταται· γίνεται δὲ τρόπῳ τοιούτῳ. Ὑπὸ τὸ ἕλκος ἐνσκέ- 2
παρνος γίνεται καταϐολὴ, τὸ μὲν περίκυρτον ἔχουσα ἐσχηματισμένον κάτω, τὸ δὲ σιμὸν ἄνω, εἶτα ἄλλη ἀντικειμένη ταύτῃ ὑπὲρ
τὸ ἕλκος. Ἡ δὲ τῆς ἐπιδέσεως νομὴ συντελεῖται πρὸς τὴν τῶν 3

recoller, tandis que, la plaie étant restée à nu, les liquides sont expulsés à mesure qu'ils se rassemblent.

63. RHOMBE À JAMBES INÉGALES.

Après avoir achevé le bandage précédent, il faut, pour obtenir le 1
bandage actuel, y ajouter des tours obliques qui passent sur la plaie. On 2
a employé ce bandage lorsqu'on voulait recouvrir aussi la plaie.

64. DOLOIRE.

Ceux qui se sont servis de ce bandage le donnent comme applicable 1
aux cas où il y a une plaie sur quelque point de la cuisse, en même temps que les parties voisines ont perdu leur adhérence; on le construit
de la manière suivante. On fait sous la plaie un tour en doloire, dont la 2
convexité est tournée en bas, et la concavité en haut; ensuite on fait, au-
dessus de la plaie, un autre tour opposé au précédent. On fait les tours 3
complémentaires destinés à recouvrir les parties restées à nu, en allant

Ch. 64, l. 9. τείνεται U. — 10. ἄλλην ἀντικειμένην RU.

Mai 116. γυμνῶν σκέπην, τῆς μὲν κάτω πρὸς τὰ ἄνω, τῆς δὲ ἄνω πρὸς τὰ κάτω, ἔσῖιν ὅτε δὲ καὶ κατὰ τοῦ ἕλκους πρὸς τὴν τοῦ ἕλκους σκέπην.

ξε'. Πλάγιος χιεσμός.

1 Πρώτη γίνεται κυκλοτερὴς περιείλησις.................
καὶ κατὰ τὰ ἀποληγοντα τοῦ μηροῦ πλησίον τοῦ γόνατος, ἀπὸ ἧς
ἄγεται λοξὴ ἀντικειμένη τῇ πρώτῃ, ἵνα γένηται χίεσμα ἐκ πλαγίων
2 τοῦ γόνατος. Ἡ δὲ νομὴ τῆς ἐπιδέσεως κατὰ τῶν αὐτῶν γίνεται τό-
3 πων. Οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ ἐπὶ παρηρθρηκότος γόνατος εἰς τὰ
πλάγια μετὰ τὸν καταρτισμὸν δοκιμαζόμενος, τῶν χιεσμάτων γι-
νομένων κατὰ τὸν τοῦ παραρθρήματος τόπον.

ξϛ'. Χελώνη.

1 Ὑπὲρ τὸ γόνυ γίνεται κυκλοτερὴς περιείλησις, ἀπὸ ἧς ἄνωθεν
κάτω ἄγεται λοξὴ κατὰ τῆς ἐπιγονατίδος ὡς ἐπὶ ἰγνύαν, εἶτα ἄλλη

de bas en haut pour la partie inférieure du bandage, et de haut en bas pour la partie supérieure; quelquefois on fait aussi des tours sur la plaie pour la recouvrir.

65. CROISEMENT LATÉRAL.

1 On fait d'abord un tour circulaire :........................ et
sur les parties fuyantes de la cuisse, dans le voisinage du genou, après
lequel on trace un tour oblique opposé au précédent, afin qu'il y ait un
2 croisement sur les côtés du genou. Les tours complémentaires du ban-
3 dage doivent passer par les mêmes points. Ce bandage convient en cas
de subluxation latérale du genou, et on recommande de l'employer
après la réduction, en plaçant les croisements sur le point correspon-
dant à la subluxation.

66. TORTUE.

1 On fait un tour circulaire au-dessus du genou, après lequel on amène
de haut en bas un tour oblique qui passe sur la rotule pour aller au

Ch. 65, l. 9-10. γενομ. U.

γίνεται κυκλοτερὴς ϖεριείλησις ὑπὸ τὸ γόνυ, [ἔπειτα λοξὴ] ἀντι- Mai 116-117.
κειμένη τῇ ϖρώτῃ, ἵνα γένηται χίεσμα κατὰ τὴν ἐπιγονατίδα,
καὶ τότε ἐπάγεται μέση κυκλοτερὴς ϖεριείλησις ϖερὶ τὴν ἰγνὺν
καὶ τὴν ἐπιγονατίδα. Ἡ δὲ νομὴ τῆς ἐπιδέσεως κατὰ τῶν αὐτῶν γί- 2
νεται. Οὗτος ὁ ἐπίδεσμος ἀναγέγραπται ἐπὶ ϖαντὸς γονατίου ϖαραρ- 3
θρήματος.

| ξζ'. Περισφυρίς.

117

Ὑπὲρ τὸ σφυρὸν γίνεται κυκλοτερὴς ϖεριείλησις, ἀπὸ ἧς ἄγε- 1
ται λοξὴ κατὰ τοῦ ταρσοῦ, εἶτα ὑπειλεῖται τῷ ϖέλματι, ἀπὸ τοῦ
ϖέλματος ἀνάγεται λοξὴ ἀντικειμένη τῇ ϖρώτῃ, ἵνα γένηται χίε-
σμα κατὰ τὸν ταρσόν. Ἡ δὲ νομὴ κατὰ τῶν αὐτῶν. Ὁ ἐπίδεσμος 2-3
οὗτος εὐθετεῖ ϖρὸς τὴν τοῦ σφυροῦ ἐπίδεσιν. Ὅταν οὖν συνεπιδέη- 4
ται τῷ σφυρῷ τὸ ϖεδίον, ἅμα τῇ εἰρημένῃ ϖλοκῇ κυκλοτερεῖς γί-
νονται ϖεριειλήσεις.

jarret; puis un autre tour circulaire au-dessous du genou, [et puis un tour oblique] opposé au premier, afin qu'il y ait un croisement sur la rotule; alors on amène sur le milieu un tour circulaire qui enveloppe le jarret et la rotule. Les tours complémentaires du bandage doivent 2
passer sur les mêmes parties. Ce bandage est décrit comme applicable à 3
toutes les subluxations du genou.

67. BANDAGE POUR ENTOURER LA MALLÉOLE.

On fait au-dessus de la malléole un tour circulaire, puis un tour 1
oblique passant sur le tarse; ensuite on déroule la bande au-dessous de la plante du pied, et, partant de la plante du pied, on fait remonter un tour oblique dans une direction opposée à celle du premier, afin qu'il y ait un croisement sur le tarse. Les tours complémentaires doivent passer 2
par les mêmes points. Ce bandage convient pour la malléole. Lorsqu'on 3-4
veut faire un bandage qui serve à la fois pour le métatarse et la malléole, on ajoute des tours circulaires à ceux que nous venons de décrire.

1. [ἔϖειτα λοξή] conj.; om. RU. — σφυροῦ R ind. — 9. ἄγεται U. — 9-10. 3. μετάγεται R. — Ch. 67, tit. Περὶ χιέσματα R.

Mai 117.

ξη'. Περιπτερνίς.

1 Περὶ τὸ σφυρὸν γίνεται κυκλοτερὴς περιείλησις, ἀπὸ ἧς ὀπίσω
λοξὴ ἐκ πλαγίων τοῦ πλατέος νεύρου..................
ἀντικειμένη τῇ πρώτῃ, καὶ τότε ὑπειλεῖται τῇ πτέρνῃ, ἀπὸ δὲ
2 τῆς πτέρνης ἐπὶ τὸν ταρσόν. Ἡ δὲ νομὴ κατὰ τῶν αὐτῶν γίνεται.
3 Ὁ ἐπίδεσμος οὗτος εὐθετεῖ πρὸς τὴν τῆς πτέρνης ἐπίδεσιν.

ξθ'. Στάχυς ἐπὶ ἴχνους.

1 Κυκλοτερὴς γίνεται περιείλησις περὶ τὸν μέγαν δάκτυλον, ἀπὸ
ἧς ἄγεται λοξὴ κατὰ τοῦ πεδίου, καὶ τῷ σφυρῷ περιειλεῖται, ἀπὸ
τοῦ σφυροῦ ἄγεται λοξὴ κατὰ τοῦ πεδίου, ἵνα γένηται χίασμα, ὡς
2 ἐπὶ τὸν μικρὸν δάκτυλον, εἶτα ὑπειλεῖται τῷ στήθει τοῦ ποδός. Ἡ
3 δὲ νομὴ τῆς ἐπιδέσεως κατὰ τῶν αὐτῶν γίνεται. Οὗτος ὁ ἐπίδεσμος
ἀναγέγραπται τοῖς προγενεστέροις πρὸς τὴν τοῦ μεγάλου δακτύ-

68. BANDAGE POUR ENTOURER LE TALON.

1 On fait un tour circulaire autour de la malléole, après lequel [on
fait] en arrière un tour oblique sur les côtés du *nerf* large (*tendon d'A-
chille*)..... opposé au premier; alors on déroule la bande au-dessous
2 du talon, et du talon on va au tarse. Les tours complémentaires doivent
3 passer par les mêmes parties. Ce bandage convient pour le talon.

69. ÉPI POUR LA PLANTE DU PIED.

1 On fait un tour circulaire qui entoure le gros orteil, après lequel on
fait passer un tour oblique sur le métatarse, et on déroule la bande
autour de la malléole; partant de la malléole, on fait [de nouveau] un
tour oblique qui passe par le métatarse pour aboutir au petit orteil, afin
qu'il y ait un croisement; ensuite on passe la bande au-dessous du mé-
2 tatarse. Les tours complémentaires doivent passer par les mêmes points.
3 Nos prédécesseurs ont décrit ce bandage comme un appareil convenable
pour le gros orteil, bien que, à mon avis, il contienne des détails inu-

Ch. 69, l. 8. λέγεται R. — 10. σύνδεσμος U.

Mai 117-118.
λου τοῦ ποδὸς | ἐπίδεσιν, καί μοι δοκεῖ περίεργος εἶναι τοῦ δακτύ- 118
λου τῷ πεδίῳ συνεπιδεομένου· διό μοι δοκεῖ τοπικὴν ἐπιτελεῖν τὴν τοῦ δακτύλου ἐπίδεσιν, συνεπιδεομένου τοῦ πεδίου καὶ τοῦ στήθους τοῦ ποδὸς κατὰ τὰ πρὸς τοῖς δακτύλοις μέρη, ὡς ἐπὶ τῆς χειρὸς εἴρηται.

ο'. Περὶ ἀμμάτων.

Παραδοὺς τοὺς ἐπιδέσμους, ἔτι βούλομαι ἐπὶ τέλει τοῦ ὑπομνή- 1
ματος περὶ τῶν ἀμμάτων διαστείλασθαι· ἀκολουθήσω δὲ Ἱπποκράτους τῇ λέξει ἐν τῷ Κατὰ ἰητρεῖον δεδηλωμένῃ, διὰ ἧς ἔφη· ἀρχὰς βάλλεσθαι μὴ ἐπὶ τὸ ἕλκος, ἀλλὰ ἔνθα τὸ ἅμμα· τὸ δὲ ἅμμα μήτε ἐν τρίβῳ, μήτε ἐν ἔργῳ, μήτε ἐκεῖσε ὅπου ἐνεόν. Οἱ δὲ οὕτως· ὅπῃ 2
κενεόν. Καὶ ἀμφότερα δὲ σημαίνει τὸ ἄπρακτον. Τρίβον δὲ ἐξηγή- 3-4

tiles, attendu qu'outre cet orteil on comprend [tout] le métatarse dans la déligation; pour cette raison, il me semble qu'il faut localiser les tours de bande et les limiter au gros orteil, en comprenant toutefois dans la déligation les parties des surfaces supérieure et inférieure du métatarse qui se rapprochent des orteils, comme cela a été indiqué lorsque nous parlions de la main (chap. 54?).

70. DES NŒUDS.

Ayant exposé les bandages, je veux encore, dans la dernière partie de 1
mon traité, disserter sur les nœuds; j'expliquerai les préceptes donnés par Hippocrate dans son traité *De l'officine du médecin* (§ 8, t. III, p. 296-298), et conçus dans les termes suivants : « Il ne faut pas placer les chefs sur la plaie, mais là où se trouve le nœud; or le nœud ne doit être fait ni sur le point exposé aux frottements, ni sur celui où se passent les actions, ni là où il ne servirait de rien (ἐνεόν). » D'autres lisent : « là où 2
il serait vain (κενεόν). » Mais les deux mots ont également la signification 3
d'*inutile*. Les commentateurs d'Hippocrate ont expliqué que τρίβος (*lieu* 4

1. τοῦ om. R. — 2. τῷ πεδ. καὶ τῷ σφυρῷ U. — Ch. 70, l. 9. ἔνθα ex em.; ἔνθα ἢ ἔνθα RU; Vid. Hippocr. — 10. ἐνεόν ex em.; μὴ ἐνὸν ἢ R; μὴ κενεὸν ἢ U; Vid. Hippocr. — 11. κενεόν ex em.; μὴ κενεὸν ἢ RU.

Mai 118. σαντο οἱ ἐξηγησάμενοι τὸν ἄνδρα τὸ πέλμα, ἐπείπερ ἐν τῷ περιπάτῳ τρίβεται· οὐ δεῖ δὲ ἐν τῷ πέλματι ποιεῖν τὸ ἅμμα διὰ τὴν
5 ἀνωμαλίαν. Ἔστω μὲν οὕτως· ἐχέτω δὲ ἡ ἀπόδοσις κοινὴν τὴν ἔκδοσιν, ὥστε εἶναι τρίβον πάντα τόπον τὸν τριβόμενον, ἢ ἐν περιπάτῳ, ἢ ἐν καθέδρᾳ, ἢ ἐν κατακλίσει· ὥσπερ γὰρ ἐπὶ τὸ πέλμα ἅμμα ποιεῖν οὐ δεῖ, οὕτως οὐδὲ κατὰ ἰσχίον διὰ τὴν ἐφέδραν, οὐδὲ κατὰ νῶτον, ἢ ῥάχιν, διὰ τὴν ἐν τῷ ὑπτίῳ σχήματι κατάκλισιν.
6 Μηδὲ ἐν ἔργῳ· πάλιν ἔργον ἐξηγήσαντο οἱ ἄλλοι τὰς χεῖρας, τὰ
7 κοῖλα τῶν χειρῶν· διὰ γὰρ τῶν χειρῶν γίνεται τὰ ἔργα. Προσδεκτέον μέντοι τὴν ἀπόδοσιν· κοινὸν δὲ πᾶν ἔργον νοείσθω ἄρθρον διὰ τὴν κίνησιν καὶ τὴν ἐνέργειαν· οὔτε γὰρ κατὰ ὦμον, ἢ μασχάλην ἅμμα δεῖ ποιεῖν, οὔτε κατὰ ἀγκῶνα, οὔτε κατὰ βουβῶνα, ἢ
8 ἰγνύαν, ἢ ἄλλο τι ἄρθρον. Μηδὲ μὴν ἐκεῖ ὅπου ἄπρακτον ἔσται·

exposé aux frottements) désignait la plante du pied, puisque cette partie éprouve du frottement quand on marche; or il ne faut pas faire de nœud
5 sur la plante du pied, à cause de l'inégalité qui en résulte. Qu'il en soit ainsi; mais qu'on donne à cette conclusion une acception générale, de façon que τρίβος signifie toute région du corps qui éprouve du frottement, que ce soit pendant la marche, dans la position assise, ou quand on est couché : en effet, de même qu'on ne doit pas faire le nœud sur la plante du pied, on ne doit pas en faire non plus sur les fesses, parce qu'on s'assied dessus, ni sur le dos, ni sur la colonne vertébrale, à
6 cause de la position qu'on prend en se couchant sur le dos. « Ni là où se passent les actions (ἐν ἔργῳ) : » les autres ont dit que ces mots ἐν ἔργῳ signifiaient les mains, ou le creux des mains, parce que les travaux
7 se font avec les mains. Il faut sans doute accepter cette explication; mais on doit l'étendre par la pensée à toute espèce de travail, c'est-à-dire à toutes les articulations, à cause de leur mouvement et de leur activité : en effet, il ne faut pas non plus faire de nœud ni sur l'épaule ou dans l'aisselle, ni sur le coude, ni sur l'aine, ni dans le jarret, ou sur quelque
8 autre articulation. « Ni, certes, là où il est inutile : » en conséquence,

3. μέν] δέ U. — Ib. ἐχέτω ex em.; ἔχεται RU. — 4. πάντα τὸν τόπον τρ. U. — 7. κατά] καί U. — 11. γάρ] καί U. — 12. οὔτε post ποιεῖν ex em.; οὐδέ RU. — 13. Μηδὲν ἔχει ὅπου ἄπρακτον (sic) U.

Mai 118.
διὰ τοῦτο ἡμεῖς ὡς ὅτι μάλισlα, τὰ κῶλα ἐπιδέοντες, λείαν ϖοιοῦ-μεν κατὰ τὴν ἀρχὴν τὴν ἐπίδεσιν. Τετελείωταί μοι διὰ τοσούτων 9
τὸ ϖερὶ τῶν ἐπιδέσμων ὑπόμνημα.

nous nous attachons autant que possible, quand nous appliquons une bande aux membres, à donner une surface unie au commencement du bandage. Par ces considérations se termine mon traité sur les bandages. 9

1. *λείαν* conj.; *λίνον* RU. — 2. *τὴν ἐπίδεσιν* conj.; *τῆς ἐπιδέσεως* RU.

| ΒΙΒΛΙΟΝ ΜΘ'.

Mai 119.

α'. Περὶ διαφορᾶς καταρτισμῶν. Ἐκ τῶν Ἡλιοδώρου.

1 Τρεῖς εἰσιν αἱ γενικαὶ καὶ ὡσανεὶ ὁλοσχερεῖς διαφοραὶ τῶν
καταρτισμῶν· οἱ μὲν γὰρ αὐτῶν λέγονται παλαισΊρικοὶ τρόποι, τὸ
πλεῖσΊον διὰ ψιλῶν χειρῶν τελειούμενοι· ἀσθενεῖς ὄντες εὐθετοῦ-
σιν ἐπὶ τῶν εὐαφῶν σωμάτων, παιδικῶν τε καὶ γυναικείων, ἐπὶ
ἀῤῥενικῶν τε τῶν ἤδη ἰσχυροτέρων, ὅταν ἔτι ᾖ πρόσφατα [τὰ]
ὀλισθήματα· οἱ δὲ μεθοδικοὶ καταρτισμοὶ, διὰ τῶν κοινῶν τοῦ βίου
ἐργαλείων συντελούμενοι, τῶν παλαισΊρικῶν τρόπων εἰσὶν ἰσχυ-
2 ρότεροι. Εὐθετοῦσι δὲ ἐπὶ πάντων ἀνδρῶν, θηλειῶν ἐπὶ ἀῤῥενικῶν
τε [καὶ] τῶν ἔτι τούτων ἰσχυροτέρων, ἐπί τε τῶν νεανικῶν σωμά-

LIVRE XLIX.

1. DES DIVERSES ESPÈCES DE RÉDUCTION DES LUXATIONS. — TIRÉ D'HÉLIODORE.

1 Toutes les méthodes pour réduire les luxations se ramènent à trois
générales, ou, pour ainsi dire, universelles : les unes sont appelées *mé-
thodes de la palestre*, et on n'y emploie, le plus souvent, que les mains
seules; comme ces méthodes sont peu puissantes, elles conviennent chez
les individus dont la peau est délicate, tels que les enfants et les femmes,
et aussi chez les hommes qui ont déjà acquis un certain degré de vi-
gueur, quand les luxations sont encore récentes; les procédés de réduc-
tion dits *méthodiques*, et dans lesquels on se sert des ustensiles ordi-
naires de la vie habituelle, sont plus puissants que les méthodes de la
2 palestre. Les procédés de réduction méthodiques sont applicables à tous
les hommes, aux femmes de complexion virile, ou encore plus robustes,

Ch. 1, l. 2-3. κατὰ τὸ πλεῖσΊον U. — 5. ἤδη conj.; ἔτι τούτων RU. Cf. l. 9. — Ib. [τά] ex em.; om. RU. — 8. ἀῤῥενικῶν conj.; ἀῤῥένων RU. — 9. τε [καὶ] τῶν ἔτι τούτων conj.; τῶν ἤδη RU. Cf. l. 5.

Mai 119-120.
των καὶ τῶν ἤδη κατὰ ποσὸν κεχρονικότων ὀλισθημάτων. Οἱ δὲ 3
ὀργανικοὶ καταρτισμοὶ τούτων εἰσὶ πρακτικώτεροι· καὶ γὰρ ἐπὶ
τῶν χρονίων εὐθετοῦσι, καὶ ἐπὶ τῶν ἀθλητικῶν σωμάτων, πάντα
τε ὅσα θεραπευτὰ ὀλισθήματα μὴ δύνανται οἱ μεθοδικοὶ τρόποι
καταρτίσαι, ταῦτα διὰ τῶν ὀργανικῶν καταρτίζεται.

β'. Περὶ διαφορᾶς ὀργάνων.

Τῶν ἰατρικῶν ὀργάνων διαφοραί εἰσιν ὁλοσχερεῖς καὶ ὡσανεὶ 1
γενικαί, κατὰ μὲν τοὺς ἄλλους ὡς ἐπὶ τὸ πλεῖστον ἀριθμῷ τρεῖς,
εἴπερ τὰ μὲν αὐτῶν ἐστι τόνια, ἃ δὲ στάσιμα, ἄλλα δὲ μηχανήματα·
κατὰ δὲ ἡμᾶς ἐστιν αὐτῶν τὰ μὲν τόνια, τὰ δὲ μηχανήματα, ἃ δὲ
στάσιμα, ἃ δὲ ἐφέδρανα. Τόνια | μὲν οὖν ἐστιν ὅσα μικρὰ καὶ εὐ- 2 120
σταλῆ ὄντα ταῖς κατασκευαῖς, τάσιν μόνον ἐπαγγέλλεται, δεῖται
δέ τινων ἐπεισάκτων ἵνα ἐνεργήσῃ ὡς βάθρου, κλίνης, κλίμακος,

aux individus qui ont une vigueur juvénile, et quand les luxations sont
déjà un peu anciennes. Les méthodes de réduction avec les machines 3
sont encore plus efficaces que les précédentes; aussi sont-elles appliquées
avec succès aux luxations chroniques, aux sujets de complexion athlétique, et aux luxations susceptibles de guérison, mais qu'on ne peut réduire par les procédés *méthodiques*.

2. DES DIVERSES ESPÈCES DE MACHINES.

Les espèces de machines employées par les médecins se réduisent, 1
si l'on en croit les auteurs, au plus à trois générales, ou, pour ainsi dire, universelles; ce sont des machines ou de traction, ou droites, ou des *mécaniques;* suivant nous, au contraire, il y a des machines de traction, des *mécaniques,* des machines droites, et des machines sur lesquelles on s'assied. Les machines de traction sont peu volumineuses et 2
composées de pièces faciles à manier; elles ont pour but unique d'exercer une traction; leur mise en œuvre exige l'emploi de certains objets accessoires, par exemple un banc, un lit ou une échelle, attendu que,

5. ὀργάνων R.

Mai 120.
3 κατὰ αὐτὰ ἐνεργῆσαι μὴ δυνάμενα. Διὰ δὲ τοῦτο καὶ πρόσδετα,
4 ἔτι τε ἐπίπεδα καλεῖται. Ὅταν ἐν ἀγρῷ ἢ ἐρήμῳ τινὶ τόπῳ καταρ-
τίζωμεν, καὶ μήτε βάθρον ἔχωμεν, μήτε κλίνην, μήτε κλίμακα, ἐπὶ
τοῦ ἐδάφους καταπήξαντες, πρὸς αὐτὸ ἀσφαλιζόμεθα τὸ τόνιον.
5 Μηχανήματα δέ ἐστιν ὄργανα ὅσα μείζονα ὄντα τῶν τονίων, μικρό-
τερα δὲ τῶν ἄλλων ὀργάνων, οὐ μόνον τάσιν, ἀλλὰ καὶ μοχλείαν
ἐπαγγέλλεται, προηγουμένως ἐπί τινων μελῶν κατεσκευασμένα.
6 Στάσιμα δὲ ὄργανά ἐστιν ὅσα εἰς ὕψος ἀνατεταμένας ἔχοντα τὰς
κατασκευὰς, οὐ μόνον τάσεις, ἀλλὰ καὶ μοχλείας ἐπαγγέλλεται.
7 Ἐφέδρανα δέ ἐστιν ὄργανα ὅσα κεκλιμένας ἔχοντα τὰς κατασκευὰς,
περιέχει ἐν αὐτοῖς τοὺς τατικοὺς καὶ μοχλευτικοὺς τρόπους, ὥστε
8 ἐπικαθημένους αὐτοῖς τοὺς πάσχοντας καταρτίζεσθαι. Εἰσὶ δέ τινες
αὐτῶν ἰδικαὶ παραλλαγαὶ κατασκευῶν.

3 par elles-mêmes, elles ne sauraient produire aucun effet. Pour cette
raison, elles portent aussi le nom de machines *attachées*, et, en outre,
4 celui de machines *plates*. Lorsque nous faisons des réductions à la cam-
pagne ou dans quelque endroit désert, et que nous n'avons ni banc, ni
lit, ni échelle, nous fixons la machine sur le sol et nous l'y assujettis-
5 sons. Les *mécaniques* sont des machines dont le volume est plus consi-
dérable que celui des machines de traction, mais moindre que celui des
autres; de plus, ces machines n'ont pas seulement pour but d'exercer
une traction, mais aussi celui d'agir comme un levier, et elles ont été
6 principalement construites en vue de certains membres. Dans les ma-
chines droites, les pièces ont une direction verticale; elles n'ont pas
seulement pour but d'exercer une traction, mais on les fait agir aussi
7 comme des leviers. Dans les machines sur lesquelles on s'assied, les
pièces ont une direction horizontale; elles contiennent les objets né-
cessaires pour exercer une traction aussi bien que pour agir comme des
leviers : par suite de cette disposition, les malades dont on réduit les
8 luxations doivent s'asseoir sur ces machines. Les pièces de ces machines
présentent certaines dispositions particulières.

γʹ. Ἐξ ὧν ὀφείλει τὰ ὄργανα κατασκευάζεσθαι;

Βάσεις, σκέλη, πλευρὰ, διαπήγματα, ἀγκῶνες, χελῶναι, παρα- 1
σκέλια, πάντα ταῦτα ὅσα μεγάλα ἐσῖιν ἐν τοῖς ὀργάνοις κατα-
σκευάσματα, ξύλινα ὀφείλει γίνεσθαι ἐκ τῆς εὐτονωτάτης ὕλης, τῆς
πρινίνης, ἐν δευτέρᾳ δὲ τάξει καὶ τῆς μειλίνης. Εὐτονωτάτην δὲ 2
εἶναι δεῖ τὴν ὀργανικὴν ὕλην, ἵνα δύνηται ὑπομένειν τὰς τῶν καταρ-
τισμῶν βίας, καὶ μάλισῖα ἐπὶ τῶν σῖασίμων ὀργάνων. Σῖροφώ- 3
ματα δὲ καὶ ῥίζαι, τύλοι τε καὶ κόρακες, ἀλύσεις τε καὶ σκυτάλαι,
πάντα ὅσα ἐσῖὶ μικρὰ, καὶ μᾶλλον τὰ ἐν τοῖς ἐνεργητικοῖς, ὀφεί-
λει γίνεσθαι χαλκᾶ ἢ σιδηρᾶ, ἵνα τὸ ἐλλιπὲς διὰ τὴν μικρότητα
τῆς κατασκευῆς ἀπαρτίζηται τῇ τῆς ὕλης εὐτονίᾳ. Ἐζήτηται καὶ 4
περὶ τοῦ πότερον | χαλκᾶ δεῖ κατασκευάζειν, ἢ σιδηρᾶ. Οἱ δὲ τὸν 121 5
χαλκὸν τοῦ σιδήρου προκρίναντες, ἔφασαν αὐτὸν λειότερον, εὐ-
πινέσῖερον, δυσιωτότερόν τε εἶναι τοῦ σιδήρου· οἱ δὲ τὸν σίδη-

3. DE QUELLE MATIÈRE LES MACHINES DOIVENT ÊTRE CONSTRUITES.

Les bases, les jambes, les côtés, les traverses, les coudes, les tor- 1
tues, les jambes accessoires, toutes ces pièces constituantes des ma-
chines, vu leur volume, doivent être faites en bois de l'essence la plus
solide qu'il y ait; c'est-à-dire de bois d'yeuse, et, en second lieu, de bois
de frêne. Le bois dont on se sert pour fabriquer les machines doit être 2
très-solide, pour supporter les efforts vigoureux qu'on fait pendant les
réductions, surtout quand il s'agit de machines droites. Les charnières, 3
les tiges, les chevilles, les crochets, les chaînes, les leviers, en un mot,
toutes les pièces peu volumineuses doivent être construites, surtout dans
les machines puissantes, en bronze ou en fer, afin que la solidité du
matériel compense ce qui manque aux dimensions de l'appareil. On a 4
agité la question de savoir si on doit construire ces pièces en bronze
ou en fer. Ceux qui préfèrent le bronze au fer disent que le bronze est 5
plus poli, qu'il reste plus brillant et que la rouille l'envahit moins faci-

Ch. 3, l. 3. *εὐτονωτέρας* U. — 4. *μειλίνης* ex em. Vid.; *μηλίνης* RU. — 7. *ἀλύσεις* e P; *λυσιτελεῖς* RU. — Ib. *τε καί* ex em.; *ταῖς* RU. — Ib. *σκυτάλαις* RU; *vectes* Vid. — 13. *δυσίωτον* RU.

Mai 121.
ρον τοῦ χαλκοῦ προκρίναντες, διὰ τὴν δύναμιν αὐτοῦ ἐπήνεσαν
τὴν ὕλην· δυνατώτερος γὰρ καὶ ἰσχυρότερός ἐστιν ὁ σίδηρος τοῦ
6 χαλκοῦ. Ὡς μὲν οὖν ὁ σίδηρος τοῦ χαλκοῦ ἐστιν εὐτονώτερος, συμ-
πεφώνηται· τὸ δὲ περισσὸν τῆς ἰσχύος παρέλκει, ὅταν αὐτοῦ τὴν
7 ἐνέργειαν μὴ ἔχῃ. Δύναται γοῦν εὐθετεῖν τὰ χαλκᾶ κατασκευά-
σματα ὄντα εὐπινῆ καὶ αὐτάρκη δύναμιν ἔχοντα· δύναται δὲ καὶ
8 τὰ σιδηρᾶ. Ἀλλὰ ἐὰν μὲν χαλκᾶ γίνηται, ἐξ ἐλατοῦ χαλκοῦ κατα-
σκευαζέσθω· ὁ γὰρ χυτὸς λεγόμενος εὔθρυπτός ἐστι καὶ εὔρηκτος,
καὶ ἔστιν αἱρετώτερον μᾶλλον τῷ σιδήρῳ ἢ τῷ χυτῷ χαλκῷ χρῆ-
9 σθαι. Ἀλλὰ ἐπεὶ ἰοῦται ταχέως ὁ σίδηρος, διὰ τοῦτο αὐτὸν συνε-
χέστατα λιπαίνειν διά τινων ἡμερῶν καὶ χειροτριβεῖν, χάριν τοῦ
μὴ ἰοῦσθαι αὐτὸν, ἐρεῖ τις· ἐὰν δὲ καταλειπόμενος ὁ σίδηρος ἀτη-
μέλητος ἰούμενος φθείρηται, ἔσται ἡ τοῦ ἐγκλήματος ἀναφορὰ ἐπὶ
τὸν κεκτημένον τὸ ὄργανον.

lement; ceux, au contraire, qui préfèrent le fer au bronze le louent à
cause de sa solidité : en effet, le fer est plus solide et plus résistant que
6 le bronze. Que le fer soit plus résistant que le bronze, c'est un point sur
lequel tout le monde est d'accord; mais le surplus de force ne sert à rien
7 quand cette force n'exerce pas toute son activité. Les pièces en bronze
sont donc admissibles, attendu qu'elles restent brillantes et qu'elles
ont une force suffisante; mais les pièces en fer le sont également.
8 Seulement, quand on construit les pièces en bronze, il faut les faire en
bronze laminé, car ce qu'on appelle bronze fondu est friable et cassant;
9 il vaudrait mieux se servir de fer que de bronze fondu. Mais on pourrait
bien ajouter que, puisque le fer est si accessible à la rouille, il faut le grais-
ser très-fréquemment et à peu de jours d'intervalle, et le frotter avec les
mains, afin qu'il ne se rouille pas; si le fer se gâte par la rouille lors-
qu'on l'abandonne à lui-même sans le soigner, cette accusation retombe
sur le propriétaire de la machine.

2. γὰρ αὐτοῦ καί U. — 4-5. αὐτοῦ τὴν ἐνέργ. conj.; αὐτοῦ ἡ ἐνέργεια RU. — 5. Δύνανται R; it. l. 6 RU. — Ib. γοῦν conj.; γάρ RU. — 13. φθείρεται RU.

Mai 121-122.

δʹ. Ἐκ τίνων κατεσκεύασται τὰ ὄργανα, καὶ τίνες αὐτῶν χρεῖαι;

Πᾶν ὄργανον κατεσκεύασται οὐκ ἐκ πάντων ὧν λέγω, ἀλλὰ ἔκ 1
τινων τῶν καταριθμουμένων τῶνδε· ἐκ βάσεων, σκελῶν, διαπηγμά-
των, ἀγκώνων, ἀξόνων, κανόνων, χελωνῶν, κοχλιῶν, τυμπάνων,
τύλων, περιαγωγίδων, σκυταλῶν, ἐπιτονίων, ἀντηρίδων, σφηνοει-
δῶν, μηνοειδῶν, τροχῶν, τροχαλιῶν, καπέτων, πωμάτων, στροφω-
μάτων, περονῶν, ῥιζῶν, κορά|κων, ἀλύσεων, ψαλίδων, ἐφεδράνων, 122
πριαπίσκων· ἅμα δὲ καὶ τοῦ λεγομένου περικοχλίου, σφηνίσκων,
χηνίσκων, πρίστεων, ἐργάτου. Σχεδόν τι ταῦτά ἐστιν ἐξ ὧν τὰ 2
ὄργανα κατασκευάζεται· δεῖ δέ με τούτων ἐπομένως τὰς χρείας δι-
δάξαι ἑκάστου αὐτῶν. Αἱ βάσεις προηγουμένως κατεσκευάσθησαν 3
πρὸς τὸ ἐπὶ αὐτῶν βεβηκέναι τὰ στάσιμα ὄργανα. Σκέλη δὲ ἐν ὀρ- 4
γάνοις λέγεται καὶ πλευρὰ, ἀλλὰ ἐν μὲν τοῖς στασίμοις ὀργάνοις

4. DE QUELLES PIÈCES SE COMPOSENT LES MACHINES ET QUELLE EST L'UTILITÉ DE CES PIÈCES.

Toute machine est composée, sinon de toutes les pièces que je vais 1
énumérer, du moins de quelques-unes d'entre elles, à savoir : de *bases*,
de *jambes*, de *traverses*, de *coudes*, d'*axes* (*essieux*), de *règles*, de *tortues*,
de *vis*, de *tambours* (noix), de *chevilles*, de *manivelles*, de *leviers*, de *boutons*,
de *supports*, d'*embouts en forme de coin*, de *demi-lunes*, de *roues*, de *poulies*,
de *fossettes*, de *couvercles*, de *charnières*, de *tringles*, de *tiges*, de *crochets*,
de *chaînes*, de *voûtes*, de *siéges*, de *priapisques*; en outre, les pièces sui-
vantes entrent encore dans la construction des machines : ce qu'on ap-
pelle *couvre-vis* (vis femelle), les *petits coins*, les *oisons*, les *poissons-scies*, le
cabestan. Ce sont à peu près là les pièces qui entrent dans la construction 2
des machines : je dois maintenant exposer quelle est l'utilité de chacune
de ces pièces en particulier. Les bases ont été construites, en premier 3
lieu, pour appuyer sur elles les machines droites. Quand il s'agit de 4
machines, on se sert indifféremment des mots *jambes* et *côtés*; mais, pour
les machines droites, *jambes* est le mot propre, et l'on ne se sert du mot

Ch. 4, l. 4. ἀντηρείδων RU. — 5. μηνοειδῶν om. RU text.

Mai 122.
κυρίως μὲν σκέλη, καταχρηστικῶς δὲ πλευρὰ καλεῖται· ἐν δὲ τοῖς
τονίοις κυρίως μὲν πλευρά, καταχρηστικῶς δὲ σκέλη καλεῖται.
5 Κοινῶς δὲ ταῦτα κατεσκεύασται ἐπὶ τῶν ὀργάνων πρὸς συνοχὴν
τῶν ἐν αὐτοῖς μηχανημάτων· ἰδίως δὲ ἐπὶ τῶν στασίμων ὀργάνων
εὖ καὶ καλῶς τὰ σκέλη μεμετρημένα εὐθετεῖ πρὸς τὸν λεγόμενον
6 κατὰ ὑπεραιώρησιν καταρτισμόν. Τὰ δὲ διαπήγματα, ὥσπερ καὶ
αὐτὸ δηλοῖ τοὔνομα, γέγονε πρὸς τὸ διαπήσσειν τὰ σκέλη καὶ τὰ
7 πλευρά. Ἡ μὲν ἀπότακτος αὐτῶν χρεία καὶ προηγουμένη ἐστὶν αὕτη·
κατὰ δέ τι παρεπόμενον τὰ διαπήγματα γέγονε καὶ πρὸς συνοχὴν
8 μηχανημάτων ὡς τροχιλιῶν, ἀγκώνων, ἄλλων τινῶν. Οἱ δὲ ἀγκῶνες
ἐν τοῖς ὀργάνοις γεγόνασι πρὸς τοὺς κατὰ ἀνάτασιν καταρτισμούς,
ὥσπερ ἔστιν ἰδεῖν ἐπί τε τοῦ τέκτονος καὶ τοῦ Ἀνδρέου ὀργάνου· διὰ
γὰρ τοῦ ἄνω διαπήγματος διενηνεγμένοι [οἱ] ἀγκῶνες ἐπιβεβήκασι τῇ
χελώνῃ, ὡς τῆς χελώνης ἀναβιβαζομένης οἱ κατὰ ἀνάτασιν γίνων-

côtés que par abus : pour les machines à traction, au contraire, le mot
propre est *côtés*, et c'est un abus d'appeler *jambes* les pièces dont il s'agit.
5 Maintenir les appareils intermédiaires que renferment les machines est
le but commun qu'on se propose en faisant entrer ces pièces dans leur
composition; mais, dans les machines droites, les jambes, quand leurs
dimensions ont été rigoureusement et savamment combinées, servent
6 encore spécialement pour la *réduction par soulèvement*. Les traverses
(διαπήγματα) ont été imaginées, comme leur nom l'indique, pour tenir
7 écartés (διαπήσσειν) les jambes et les côtés. C'est là leur utilité princi-
pale et le but auquel elles sont destinées : cependant les *traverses* ont
aussi pour utilité accessoire de tenir réunis certains appareils, comme
8 les poulies, les coudes et quelques autres encore. Dans les machines,
on a fait les *coudes* pour opérer les réductions qui se font en tirant
vers le haut, comme on peut le voir dans la machine de l'artisan et dans
celle d'Andréas : en effet, dans ces machines, les coudes sont enchâssés
dans la traverse supérieure de manière à la dépasser, et s'appuient sur
la tortue : d'où il résulte qu'en remontant la tortue, il se produit des

1. μὲν τὰ σκέλη RU. — 13. διενηνεγμένοι ex em.; κατενηνεγμένοι RU. (Voy. ch. 23.) — Ib. [οἱ] ex em.; om. RU.

Mai 122-123.

ται καταρτισμοί. Κεκλήκασι δὲ οἱ ὀργανικοὶ τὰ μὲν ἄνω μέρη τῶν 9
ἀγκώνων τὰ πλατέα πτερώσεις, τὰ δὲ κάτω τετράγωνα πτέρνας.
Κυρίως μὲν οὖν ἀγκῶνες λέγονται· ἐν καταχρήσει δὲ ὑπό τινων 10
σπάθαι. Ἐπενοήθησαν πρὸς μοχλείαν εἶναι χρήσιμοι. Ἡ δὲ ἐν τῷ 11-12
[τοῦ] τέκτονος καὶ [τῷ τοῦ] Ἀνδρέου σπάθη πρὸς τὴν κατὰ ἐξελκυσμὸν μοχλείαν ἐπὶ τῆς ὀπίσω τοῦ μηροῦ διαφορᾶς τέτακται· εἰσὶ δὲ καὶ ἄλλαι σπάθαι ἐν ὀργάνοις τισὶ πρὸς ἄλλας μοχλείας κατεσκευασμέναι. Ῥίζαι δὲ καὶ περόναι ἐν τοῖς | ὀργάνοις πλείστας 13 (123)
ἔχουσι χρείας. Εὐθέως μέντοι ῥίζα καὶ περόνη συνέχει πρὸς τὴν 14
χελώνην τὴν ἐκ τοῦ τέκτονος ὀργάνου σπάθην· ἐν δὲ τῇ χελώνῃ ἐστὶν ἡ ῥίζα. Αὕτη δὲ ἡ σπάθη, κατὰ ὃ μέρος ἐστὶ τετράγωνος, 15
μέσην ἔχει ἐκκοπὴν, καὶ εἰς τὴν ἐκκοπὴν ἔγκειται ἡ ῥίζα, εἶτα ἐκ πλαγίων κατακλείεται περόνη εἰς τετρημένην τὴν σπάθην καὶ τὴν ῥίζαν, ἥ τις τῆς συνοχῆς αἰτία ἐστίν. Ἰδίως δὲ αἱ ῥίζαι γεγόνασι 16
πρὸς ἐμπλώσεις κοράκων καὶ πρὸς ἄλλας τοιαύτας χρείας· αἱ δὲ

réductions de l'espèce indiquée. Les mécaniciens donnent le nom d'*ailes* 9
aux parties supérieures et aplaties des coudes, et celui de *talons* à leurs parties inférieures et carrées. *Coudes* est le nom propre des pièces 10
dont nous parlons; mais quelques médecins leur donnent, par abus, celui de *spathes*. Ces pièces ont été inventées pour servir de leviers. La 11-12
spathe qui existe dans la machine de l'artisan et dans celle d'Andréas est destinée à produire, dans la luxation du fémur en arrière, le mouvement de levier capable d'attirer le membre; dans certaines machines, il y a encore d'autres spathes construites en vue d'autres mouvements de levier. Dans les machines, les *tiges* et les *tringles* ont des usages très- 13
nombreux. Ainsi, dans la machine de l'artisan, la tige et la tringle 14
tiennent la tortue réunie à la spathe; car la tige est enchâssée dans la tortue. Cette spathe a, au milieu de sa partie carrée, une excavation 15
où la tige est placée; puis on introduit sur les côtés la tringle, qui est l'agent destiné à tenir réunie la spathe à la tige, dans le trou percé à travers ces deux pièces. Considérées en elles-mêmes, les tiges ont été 16
faites pour fournir un appui aux crochets et pour d'autres usages sem-

5. [τοῦ] et [τῷ τοῦ] ex em.; om. RU. — 12. ἐγκοπήν utrobique RU.

Mai 123.
περόναι χάριν τοῦ τὰ μηχανήματα εἶναι ἀκίνητα, ὥσπερ ἄξονας
17 *ἀκινήτους φυλάσσουσιν. Αἱ δὲ ἀλύσεις γεγόνασι χάριν τοῦ ἐξ αὐτῶν κρεμασθῆναι τὰς περόνας, ἵνα μένωσιν ἐν τοῖς ὀργάνοις καὶ*
18 *μὴ διαπίπτωσιν. Οἱ δὲ κόρακες πρὸς ἀκινησίαν τῶν κινουμένων μηχανημάτων γεγόνασιν ὡς ἀξόνων, ἵνα ῥίζαις ἐμπίπτοντες στή-*
19 *σωσί τινα τῶν ὀργάνων μηχανήματα. Τὰ δὲ στροφώματα γέγονε πρὸς πλείστας χρείας, ἵνα τινὰ τῶν ὀργάνων ἀκινητοῦντα διὰ αὐτῶν κινῆται, ὥσπερ τὰ σκέλη τοῦ Ἀνδρέου ὀργάνου, [οὗ] ἐπὶ ὀργάνου τὰ σκέλη πλάγια διαπέπρισται καὶ συνέχεται στροφώμασι καὶ περόναις, ἵνα ποτὲ μὲν ἡνωμένα, ποτὲ δὲ διὰ τῶν στροφωμάτων*
20 *καμπτόμενα τὴν κατὰ περίσφαλσιν μοχλείαν ἐμποιῇ. Ἐν ποιᾷ δὲ κατασκευῇ τοῦ Ἀνδρέου ὀργάνου τοῦ πλινθίου πλησίον τῆς βάσεως διαπέπρισται καὶ πάλιν τοῖς στροφώμασι συνέχεται, ἵνα ποτὲ μὲν ὄρθιον ἡνωμένον ᾖ στάσιμον ὄργανον, [ποτὲ δὲ] διὰ τῶν στροφω-*

blables, et les tringles, pour tenir les pièces immobiles : ainsi elles em-
17 pêchent le mouvement des axes. Les *chaînes* ont été faites pour y suspendre les tringles, afin qu'elles restent en place et qu'elles ne tombent
18 pas. Les *crochets* ont été faits dans le but de tenir immobiles les pièces susceptibles de mouvement, comme les axes; en d'autres termes, tom-
19 bant sur les tiges, ils arrêtent certaines pièces des machines. Les *charnières* ont été faites en vue de plusieurs buts, qu'on atteint en mettant en mouvement certaines pièces des machines [habituellement] immobiles, comme les jambes dans la machine d'Andréas : en effet, dans cette machine, les jambes ont été sciées transversalement en deux, et sont retenues par des charnières et des tringles, afin qu'elles puissent produire le mouvement de levier donnant lieu à un glissement rotatoire, en restant tour à tour unies et brisées par l'intervention des charnières.
20 Dans une certaine disposition de la machine d'Andréas dite *plinthium* (conf. p. 349, l. 11), les jambes, sciées en deux près de la base, sont de nouveau réunies par des charnières, afin de pouvoir former tour à tour une machine droite, et accomplir les fonctions d'une machine à

5. *ἐπεμπίπτοντες* R. — 7. *πρὸς τὰς πλ.* RU. — 8. [*οὗ*] conj.; om. RU. — 10-11. *ἡνωμένη... καμπτομένη* RU. — 12. *τοῦ πλ.* ex em.; *τὰ τοῦ πλ.* RU. — 13. *μὲν ᾖ* R. — 14. *στάσιμον* ex em.; *τὸ στάσιμον* RU — Ib. [*ποτὲ δέ*] ex em. Vid.; om. RU

ματων ἐπὶ τὰ παρασκέλια κινῆται καὶ τὴν τοῦ ἐφεδράνου ὀργάνου
χρείαν ἐπιτελῇ. Τοιαῦταί εἰσιν αἱ τῶν σΊροφωμάτων [ἐν] τοῖς ὀρ- 21
γάνοις χρεῖαι· ἄξονες δὲ ἐν ὀργάνοις γεγόνασι πρὸς τὰς τῶν σω-
μάτων ἀγωγὰς, λέγω δὲ τὰς τάσεις. Τῶν δὲ ἀξόνων οἱ μέν εἰσιν 22
ἔκθετοι αὐτοκίνητοι, οἱ δὲ κρυπΊοὶ, ὑπὸ ἑτέρων μηχανημάτων κι-
νούμενοι. Ἔκθετός ἐσΊιν ἄξων ὁ ἔν τε τῷ τοῦ Νειλέως πλινθίῳ, καὶ 23
οἱ ἐν τῷ Ἱπποκράτους βάθρῳ ἄξονες· κρυπΊοὶ δὲ οἱ ἐν τῷ Ἀπελλίδους
τρισπάσΊῳ, καὶ ὁ ἐν τῷ Νυμφοδώρου γλωσσοκόμῳ. Οἱ μὲν οὖν ἔκθε- 24
τοι ἄξονες αὐτόθεν διὰ τῶν χειρῶν σΊρέφονται, οἱ δὲ κρυπΊοὶ διά
τινων ἑτέρων μηχανημάτων, ὡς οἱ ἐν τῷ Νυμφοδώρου | γλωσσοκόμῳ 124
διὰ τυμπάνων καὶ φακωτοῦ κοχλίου, οἱ δὲ ἐν τῷ τρισπάσΊῳ διὰ κά-
λων ἐμφύσεως. Τύλοι οἱ τοῖς ἄξοσιν ἐγκαθηλωμένοι ὠφελοῦσι πρὸς 25
τὴν περίθεσιν τῶν κάλων, ἢ τῶν καιριῶν, ἤ τινων ἄλλων τῶν πρὸς
τάσιν ἐπιτηδείων ὄντων. Περιαγωγίδες δὲ καὶ ἐπιτόνια καὶ σκυτά- 26
λαι, ταῦτα πάντα μηχανήματα γέγονε πρὸς κίνησιν ἀξόνων καὶ

siége, en restant perpendiculaires et unies dans le premier cas, tandis
que, dans le second, on les place, à l'aide des charnières, sur les jambes
accessoires. Voilà quels sont, dans les machines, les usages auxquels 21
servent les charnières; quant aux *axes*, ils ont été faits pour donner
une impulsion aux parties du corps, c'est-à-dire pour exercer une trac-
tion sur elles. Les axes sont ou saillants et reçoivent leur mouvement 22
des médecins eux-mêmes, ou cachés et mis en mouvement par d'autres
appareils. L'axe qui existe dans le *plinthium* de Nilée, ainsi que ceux 23
du banc d'Hippocrate, sont saillants; au contraire, ceux du *trispaste*
d'Apellidès et celui du *glossocome* de Nymphodore sont cachés. On em- 24
ploie les mains pour tourner les axes saillants; certains appareils rem-
plissent le même but pour les axes cachés : ainsi il y a, dans le glosso-
come de Nymphodore, des tambours et une vis lenticulaire qui tournent
l'axe, mais, dans le *trispaste*, le même effet est produit par des cordes
attachées sur les axes. Les *chevilles* clouées sur les axes nous mettent 25
à même de les entourer facilement de cordes, de cordons, ou d'autres
agents capables d'exercer une traction. *Manivelles*, *boutons* et *leviers* 26
sont autant de pièces qui ont été faites pour mettre en mouvement

2. [ἐν] ex em. Vid.; om. RU. — 6. ὁ ex em.; ὡς RU. — 8. καὶ οἱ R.

Mai 124.
27 κοχλιῶν. Αἱ δὲ περιαγωγίδες [τὴν πρώτην], σκυτάλαι δευτέραν
ἔχουσι τάξιν· ἧσσον δὲ τούτων ἐνεργεῖ τὰ ἐπιτόνια· τὰ γὰρ πλεῖ-
28 στα αὐτῶν τὰ μικρότερα μιᾷ χειρὶ στρέφεται. Οἱ δὲ χηνίσκοι ἐπε-
νοήθησαν πρὸς συνοχὴν ἀξόνων, ὡς ἐν τῇ λύρᾳ· μὴ παρόντων δέ,
χηνίσκον εἰς διαφορώτερα ἄν τις νοήσειεν· κατὰ γὰρ τὴν δύναμιν
τὴν τῶν σκελῶν ἔχουσι χρείαν, τῆς δὲ εὐπρεπείας χάριν ἐκ δια-
29 γλυφῆς χηνίσκων προτομαὶ μεμόρφωνται ξύλιναι. Φλιαὶ δὲ ἐν ὀρ-
γάνοις ἐπενοήθησαν πρὸς τὴν τῶν ἐκθέτων ἀξόνων συνοχήν, ὥσπερ
30 ἐν τῷ τοῦ Ἱπποκράτους βάθρῳ καὶ ἐν τῷ ἡμετέρῳ. Ἔστι δέ τις ἄλλη
ἐν τῷ Ἱπποκράτους ὀργάνῳ μέση πιοειδὴς φλιὰ πρὸς τὴν κατὰ
ἐξελκυσμὸν μοχλείαν ἐπινενοημένη ἐπὶ τῆς [τοῦ] μηροῦ διαφορᾶς.
31 Τροχιλίαι δὲ γεγόνασιν ἐν τοῖς ὀργάνοις πρὸς διαδρομὰς ἀκωλύ-
τους κάλων, ὥσπερ ἐν τῷ τοῦ τέκτονος ὀργάνῳ τροχιλία ἐστὶ διπλῆ

27 des axes ou des vis. Les manivelles occupent le premier rang, et les
leviers le second; mais les boutons agissent moins efficacement que les
pièces des deux espèces précédentes : car on n'emploie qu'une seule
28 main pour tourner la plupart des boutons, qui sont assez petits. Les *oi-
sons* ont été inventés pour tenir les axes réunis, comme on le voit dans
la *lyre;* quand il n'y a pas d'axes, on peut trouver un but plus recher-
ché pour l'oison : car ces pièces, eu égard à l'effet qu'elles produisent,
ont la même utilité que les jambes; comme ornements, on a fait des
images en bois du genre de celles qu'on trouve sur les vaisseaux, et
auxquelles on a donné, à l'aide de la sculpture, la forme d'oisons.
29 Dans les machines, les *supports* ont été inventés pour maintenir écartés
les axes saillants (ch. 26, p. 432), par exemple dans le banc d'Hippo-
30 crate et dans le nôtre. Dans la machine d'Hippocrate, il y a encore, au mi-
lieu, un autre support en forme de Π, qui a été inventé pour produire,
en cas de luxation de la cuisse, un mouvement de levier capable d'attirer.
31 Dans les machines, les *poulies* fournissent un libre passage aux cordes;
ainsi, il y a dans la machine de l'artisan une poulie double placée sur

1. [τὴν πρώτην] ex em. Vid.; om. RU. — 5. χηνίσκον conj.; χηνίσκοι RU. — Ib. διαφορώτερα ἂν e P; διαφορώτερον RU. — Ib. νοήσειεν conj.; νοήσει RU. — 9. τοῦ e P; om. RU. — 11. [τοῦ] ex em.; om. RU. — 12. Τρόχιλοι RU, et sic sæpius. — 12-13. ἀκωλύτων RU. — 13. κάλλων RU, et sic fere semper. — Ib. ἐστὶ ex em.; δέ ἐστι RU.

Mai 124-125.

ἐπὶ τοῦ ἄνω διαπήγματος τῆς χελώνης κινητική. Κἂν τῷ ἡμετέρῳ δὲ 32
ὀργάνῳ ϖάλιν εἰσὶ τροχιλίαι διὰ κάλων ἐνδέσεως ἀναβιβάζουσαι τοὺς
ἄξονας. Κοινῶς δὲ τροχιλίαι γεγόνασι ϖρὸς διαδρομὰς ἀκωλύτους 33
κάλων καὶ καιριῶν· ἅμα δὲ καὶ ϖρὸς τὰς κατὰ μετάληψιν. Οἱ δὲ 34
τροχοὶ ϖρὸς εὐκινησίαν τῶν τροχιλιῶν ἐπενοήθησαν, εὐκίνητοι ὄν-
τες καὶ ὑπὸ αὐτῶν μεσολαβούμενοι, ὡς ἐν τῇ Δημοσθένους ἀσΊράβῃ,
καὶ ϖρὸς συνοχὴν κάλων, ὡς ἐν τῷ Ἀπελλίδους τρισπάσΊῳ. Σφη- 35
νοειδὲς, τοῦτο ϖροηγουμένως κατεσκεύασΊαι ἐπὶ τῆς εἰς τὴν μασχά-
λην τοῦ ὤμου | διαφορᾶς· κατὰ δέ τι ϖαρεπόμενον καὶ ϖρὸς ἄλλας 125
χρείας αὐτῷ χρώμεθα. Τὸ δὲ μηνοειδὲς εὐθετεῖ ἐπὶ τῆς ἔμπροσθεν 36
καὶ τῆς ὀπίσω τοῦ ὤμου διαφορᾶς. Πόλος λέγεται· ἔσΊι δὲ οὗτος ὁ 37
ϖόλος ξύλον ἐπιπεπηγὸς τοῖς ἄνω ἄκροις τῶν τοῦ ὀργάνου σκελῶν.
ἜσΊι δὲ ὁ ϖόλος οὗτος ἐν τῷ τοῦ ΦιλισΊίωνος ὀργάνῳ ϖρὸς τάδε· 38
ἐπὶ τοῦ [τοῦ] ὤμου ἐξαρθρήματος ἐκτεινομένης τῆς χειρὸς, ὁ ϖόλος

la traverse supérieure, et qui est capable d'imprimer du mouvement à la
tortue. Dans notre machine, il existe également des poulies qui remon- 32
tent les axes à l'aide de cordes attachées sur elles. En général, les pou- 33
lies ont été faites pour donner un libre passage aux cordes et aux cor-
dons, mais aussi pour changer en même temps, pendant ce passage,
la direction dans laquelle ils agissent. Les *roues* ont été inventées, soit 34
pour faciliter le mouvement des poulies, lorsqu'elles obéissent facilement
à l'impulsion et qu'elles sont resserrées au milieu de ces poulies, comme
dans le *bât* de Démosthène, soit pour soutenir les cordes, comme dans
le *trispaste* d'Apellidès. Quant à l'*embout en forme de coin*, il a été construit 35
d'abord en vue de la luxation de l'humérus dans l'aisselle; cependant
nous le faisons servir aussi accessoirement à d'autres usages. La *demi-* 36
lune convient dans le cas de luxation de l'épaule en avant ou en arrière.
On l'appelle *pôle*, et ce pôle est un morceau de bois qui surmonte les 37
extrémités supérieures des jambes de la machine. Ce *pôle*, qui fait partie 38
de la machine de Philistion, a pour usage, dans la luxation de l'épaule,

1. ἐπάνω διὰ ϖήγματος ὁ τῆς RU. (Voy. ch. 23, p. 418, l. 4.) — Ib. κινητικός RU. — 2. ἀναβιβάζοντες RU. — 3. ἀκωλύτως RU. — 4. ἅμα καὶ R. — 5. ἀκίνητοι RU. — 11. ὄπισθεν U. — 13. ϖρὸς τὰ δέ P; ϖρός τι δέ RU. — 14. [τοῦ] ex em.; om. RU. — Ib. ἐκτειν. ex em. Vid.; ἐπιτειν. RU.

Mai 125.
39 ἀντιϐαίνει τῷ αὐχένι τοῦ καταρτιζομένου. Τὸ δὲ ἐπίπωμα τὸ λεγόμενον ἐπίπηγμά ἐστι πιοειδὲς ἐπὶ τῶν ξύλων κατὰ συμπηγίαν γεγονὸς ἀντιθέτῳ τῷ τοῦ Π νεύματι, ἐπιπηγνύμενον τῷ ὀργάνῳ ἐν ποιᾷ
40 κατασκευῇ τοῦ λεγομένου Ἑρμοῦ. Γέγονε δὲ τοῦτο, ἵνα μὴ ὑπὸ τῆς προτομῆς τοῦ Ἑρμοῦ παρατρίϐηται τὰ σώματα, ὡς ἐν τῇ κατα-
41 σκευῇ τοῦ ὀργάνου δηλωθήσεται. Καλάθιον καὶ σκυτάλιον, ταῦτα κοινῶς ἐτεχνάσθησαν χάριν τοῦ βαστάζειν ἐπίπηγμα· ἔστι δὲ τὸ μὲν σκυτάλιον ξύλον ἐξαδακτυλιαῖον μεσόπαχυ, τὸ δὲ καλάθιον ξύλον ἐξαδακτυλιαῖον περιφερὲς στενοτέρᾳ βάσει κεχρημένον ὡμοιωμέ-
42 νον καλαθίῳ. Εἰσὶ δέ τινες καὶ πρίστεις ἐν ὀργάνοις ἐκ διαγλυφῆς ὡμοιωμέναι πρίστεων μορφαῖς, εὐπινείας χάριν γεγονυῖαι· αὗται δὲ αἱ πρίστεις γεγόνασι πρὸς τὸ ἄλλο βαστάζειν ἐπίπηγμα.
43 Τύμπανα δὲ ἐν τοῖς ὀργάνοις ἐγένετο χάριν τοῦ διὰ αὐτῶν ἠρέμα

39 de repousser le cou du malade au moment où on étend le bras. Le *couvercle accessoire* est une pièce en forme de Π fixée sur les machines, et qui a été construite de telle façon, que ses linéaments ont une direction contraire à ceux de la lettre en question (⊔); dans une certaine disposition de la machine dite *Mercure,* cette pièce est attachée sur la machine.
40 Cette disposition a été prise pour empêcher que la statuette de Mercure n'exerce du frottement sur les parties du corps, ainsi que nous l'expose-
41 rons dans [la description de] la structure de cette machine. La *corbeille* et le *bâtonnet* ont pour but commun, dans la construction des machines, de supporter une pièce accessoire; or le bâtonnet est un morceau de bois de la longueur de six doigts, épais au milieu, et la corbeille, un morceau de bois arrondi de la même longueur, dont la base est assez
42 étroite, et qui ressemble aux corbeilles ordinaires. Il y a aussi, dans les machines, des pièces appelées *poissons-scies*, pièces qu'à l'aide de la sculpture on a rendues semblables aux [véritables] poissons-scies, et qui ont été faites en vue d'embellissement; ces poissons-scies ont été faits [aussi]
43 pour supporter une autre pièce accessoire. Dans les machines, les *tambours* sont destinés à donner une impulsion douce à certains appareils

3. τῷ πνεύματι στοιχείῳ ἐπιπηγνύμενον RU. — 8-9. μεσόπαχυ.......... ἐξαδακτυλιαῖον e marg. U et Vid.; om. RU text. P.

Mai 125-126.

κινεῖσθαι ἐνεργητικά τινα μηχανήματα, ὡς ἄξονάς τε καὶ κοχλίας·
ἔστι δὲ τὸ τύμπανον κυκλοτερὲς κατασκεύασμα ὠδοντισμένον. Δελ- 44
φῖνες ἐπιπίπτοντες ὀδοῦσιν ἀκίνητα φυλάσσουσι τὰ μηχανήματα.
Τὴν δὲ αὐτὴν χρείαν καὶ κόρακες ἐπιτελοῦσιν. Χελῶναι ἐν ὀργά- 45-46
νοις ἐπενοήθησαν πρὸς ἠρεμαίαν καὶ ἀσπάρακτον τάσιν τῶν καταρ-
τιζομένων σωμάτων· ὥσπερ γὰρ τὰ ζῷα αἱ χελῶναι, οὕτω καὶ τὰ
μηχανήματα αὐτοῖς ὡμοιωμένα βραδυπορεῖ. Τῶν δὲ χελωνῶν αἱ μὲν 47
ἐοίκασι διαπήγματι, αἱ δὲ ὑπομήκεις, ἄλλαι δὲ κυβοειδεῖς. Δια- 48
πήγματι ἐοίκασιν [αἱ] ἐν τῷ τοῦ Ἀνδρέου ὀργάνῳ καὶ ἐν τῷ τοῦ
τέκτονος· εὐμήκης δέ ἐστιν ἡ ἐν τῷ τετραγώνῳ | κίονι τῷ λεγομένῳ 126
Ἑρμῇ· κυβοειδὴς μέντοι ἡ ἐν τῷ στρογγύλῳ κίονι τοῦ ἐφεσίου Ἡρα-
κλείδου. Ἔτι δὲ τῶν χελωνῶν [αἱ μὲν] ἀναβιβάζουσιν ἀγκῶνας καὶ 49
σπάθας, ἄλλαι δὲ μηνοειδὲς καὶ σφηνοειδές τι ἐπίπηγμα· ἔνιαι δὲ
αὐτῶν μηδὲν ἀναβιβάζουσαι πρὸς μόνην τάσιν ἐπενοήθησαν. Ἀγκῶ- 50
νας ἀναβιβάζει ἡ ἀνωφερὴς χελώνη τοῦ Ἀνδρέου ὀργάνου, ἀγκῶνας

puissants, comme les axes et les vis; or le tambour est une pièce circulaire munie de dents. Les *dauphins* tiennent les appareils dans l'immobi- 44
lité, en se rencontrant avec les dents [du tambour ?]. Les crochets servent 45
aussi à remplir le même but. Les *tortues* ont été inventées pour impri- 46
mer une traction modérée et uniforme aux membres dont on réduit les luxations : en effet, de même que les animaux dits *tortues*, ces pièces, qu'on a assimilées aux tortues, avancent lentement. Quelques tortues res- 47
semblent à une traverse, d'autres ont une forme allongée, et d'autres encore ont la forme d'un cube. Les tortues de la machine d'Andréas et 48
celles de la machine de l'artisan ressemblent à une traverse; celle de la *colonne carrée* dite *Mercure* a une forme allongée, et celle de la *colonne ronde* d'Héraclide d'Éphèse a la figure d'un cube. En outre, certaines 49
tortues servent à soulever des coudes et des spathes; d'autres, une pièce accessoire en forme de demi-lune ou de coin; quelques-unes enfin ne soulèvent rien du tout, et ont été inventées uniquement en vue de l'extension.
La tortue ascendante de la machine d'Andréas soulève des coudes; celle de 50

3. ἐπιπίπτοντες conj.; ἐπιπίπτει R; ἐπίπτει U; ἐπιπίπτει ἐπὶ τοῖς P. — 6. αἱ om. U. — 9. [αἱ] ex em.; om. RU. — 12. τε R. — Ib. [αἱ μέν] conj.; om. RU. — 13. μηνοειδὲς καὶ σφηνοειδές ex em. Vid.; μηνοειδεῖς καὶ σφηνοειδεῖς RU. — 15. ἀναβιβάζει ex em. Vid.; ἀναβιβάζειν RU.

Mai 126. δὲ καὶ σπάθην ἡ ἐν τῷ [τοῦ] τέκτονος ὀργάνῳ χελώνη· μηνοειδὲς δὲ
καὶ σφηνοειδὲς ἐπίπηγμα ἀναβιβάζει ἡ ἐν τῷ Ἑρμῇ χελώνη· οὐδὲν
δὲ ἀναβιβάζει, ἀλλὰ πρὸς μόνην τάσιν γέγονεν ἡ ἐν τῷ στρογγύλῳ
51 κίονι τοῦ ἐφεσίου Ἡρακλείδου. Ὡσαύτως δὲ καὶ ἡ κατωφερὴς χε-
λώνη ἡ ἐν τῷ τοῦ Ἀνδρέου ὀργάνῳ καὶ αἱ ἐν τῷ ὀργάνῳ πτέρυγες
δράκοντος καθηλωμέναι χελῶναι τύλων χρείας ἐπέχουσιν· ἰδίως δὲ
οἱ δράκοντες, ὅσον ἐπὶ τῇ ὕλῃ, ἀντὶ ἐπαγωγίδων ἐτεχνάσθησαν.
52 Ἐπεὶ δὲ κατὰ τὸ πλεῖστον αἱ χελῶναι ὑπὸ κοχλιῶν κινοῦνται, ἑπο-
53 μένως τὰς τῶν κοχλιῶν κατασκευὰς καὶ τὰς ἐνεργείας δηλώσω. Κο-
χλίαι δὴ [ἐν] ὀργάνοις ἐτεχνάσθησαν πρὸς κίνησιν ἄλλων μηχα-
νημάτων, ὡς τυμπάνων καὶ χελωνῶν, ἵνα ἀσπάρακτοι καὶ ἠρεμαῖαι
54 αὐτῶν γένωνται αἱ τάσεις. Τῶν δὲ κοχλιῶν οἱ μέν εἰσι τετράγωνοι,
οἱ δὲ φακωτοί· τὰ δὲ σχήματα αὐτὰ ὠνόμασται πρὸς τὰς ἕλικας,
οὐ πρὸς τὴν τοῦ ξύλου κατασκευήν· πᾶς μὲν γὰρ κοχλίας ἐστὶ

la machine de l'artisan, des coudes et des spathes (cf. ch. 23-25); celle du
Mercure, une pièce surajoutée en forme de demi-lune ou de coin; enfin
la tortue de la *colonne ronde* d'Héraclide d'Éphèse ne soulève rien du tout;
51 elle a été faite uniquement en vue de la traction. De même, la tortue
descendante de la machine d'Andréas et les tortues clouées sur la ma-
chine dite *ailes de dragon,* remplissent le rôle de chevilles; les *dragons*
ont été spécialement fabriqués pour tenir lieu de manivelles, du moins
52 eu égard à la matière dont ils sont composés. Comme les tortues sont
ordinairement mises en mouvement à l'aide de vis, je vais exposer
53 maintenant la construction des *vis* et l'action qu'elles exercent. Dans les
machines, les vis ont été fabriquées pour mettre en mouvement d'autres
appareils, comme des tambours et des tortues, afin que les tractions se
54 fassent doucement et sans secousse. Parmi les vis, les unes sont *carrées*
(*vis à filets carrés*) et les autres *lenticulaires;* ces dénominations ont été don-
nées en raison de la forme des filets, et non de la structure du corps de
la vis : en effet, toutes les vis sont rondes, et on leur imprime cette forme

1. σπάθας R. — Ib. ἡ om. R. — Ib. [τοῦ] ex em.; om. RU. — 3. στάσιν RU; it. l. 12. — 6. δράκοντος conj.; δράκοντες RU. — 10. [ἐν] ex em. Vid.; om. RU. — 14. τοῦ ξύλου ex em.; ξύλου P; τοῦ τύλου RU.

Mai 126-127.
στρογγύλος, τετορνευμένος εἰς τὸ περιφερὲς σχῆμα, διαφέρουσι δὲ
αὐτῶν οἱ κοχλίαι ταῖς ἕλιξι, δι᾽ ἃς οἱ μὲν τετράγωνοι λέγονται, οἱ
δὲ φακωτοί. Τετράγωνός ἐστι κοχλίας ὁ τετραγώνους ἔχων τὰς ἕλι- 55
κας, τὴν κοίλην ἕλικα καὶ τὴν ὑπερέχου|σαν· τοιοῦτοι δέ εἰσιν οἱ 127
κοχλίαι τοῦ Ἀνδρέου ὀργάνου. Φακωτοὶ δέ εἰσιν οἱ τὰς μὲν κοίλας 56
ἕλικας στενὰς ἔχοντες κατὰ τὰ βάθη, εὐρείας δὲ κατὰ τὰ ἄνω, τὰς δὲ
ὑπερεχούσας πλατείας μὲν κατὰ τὰς βάσεις, μεμυουρισμένας δὲ
κατὰ τὰς κορυφὰς, ἐοικυίας ἡμιτόμῳ φακῷ. Ἀπό γέ τοι τοῦ σχή- 57
ματος ὁ τοιοῦτος κοχλίας φακωτὸς ὠνομάσθη. Τοιοῦτοι δὲ ὄντες οἱ 58
τετράγωνοι καὶ οἱ φακωτοὶ κοχλίαι γεγόνασι πρὸς κίνησιν διαφό-
ρων μηχανημάτων· οἱ μὲν γὰρ τετράγωνοι χελώνας κινοῦσιν, οἱ
δὲ φακωτοὶ προηγουμένως μὲν τύμπανα, ποτὲ δὲ καὶ χελώνας ἐν
τοῖς λεγομένοις περικοχλίοις. Ἔστω οὕτως ἔχουσα ἡ κατασκευὴ 59
ὥσπερ [αἱ] ἐν τῷ τοῦ Ἀνδρέου ὀργάνῳ χελῶναι· ἑκάστη δὲ αὐτῶν

arrondie à l'aide du tour; au contraire, elles diffèrent entre elles eu égard
aux filets, d'après lesquels on donne aux unes le nom de *carrées*, et aux
autres celui de *lenticulaires*. La vis carrée est une vis dont les pas et 55
les filets sont également carrés : telles sont les vis de la machine d'An-
dréas. Les vis lenticulaires sont des vis dont les pas sont étroits dans 56
le fond et larges aux parties supérieures, tandis que les filets sont larges
à la base et se terminent en queue de souris à leur sommet, de manière
que ces filets ressemblent à une lentille qu'on aurait coupée par le milieu.
La vis lenticulaire, étant ainsi faite, a donc emprunté son nom à cette 57
forme. Les vis carrées et les vis lenticulaires étant ainsi faites, elles sont 58
destinées à imprimer un mouvement à diverses espèces d'appareils : en
effet, les vis carrées mettent en mouvement des tortues, et les vis lenti-
culaires meuvent, en premier lieu, des tambours, mais quelquefois
aussi des tortues, bien entendu lorsqu'elles sont renfermées dans ce
qu'on appelle des couvre-vis (*vis femelles*). Supposons que l'appareil 59
soit disposé de la même manière que le sont les tortues dans la ma-
chine d'Andréas; chacune des tortues [de cette machine] est percée d'un

2. αὐτῶν RU; *a capreolis* Vid. — 13. κοχλίοις U. — Ib. Ἔστω] Πῶς τετράγωνος κοχλίας κινεῖ χελώνην; Codd. et Vid. in tit. — 14. [αἱ] ex em.; om. RU.

Mai 127-128.
τέτρηται, καὶ διὰ τοῦ τρήματος διενήνεκται ὁ κοχλίας, ἔνδοθεν δὲ
κατὰ τὸ τρῆμα σιδηροῦν ἢ χαλκοῦν ἐλασμάτιον προσήλωται τῇ χε-
60 λώνῃ· τὸ δὲ ἐλασμάτιον τοῦτο κέκληται ὀδούς. Οὗτος ἤδη ὁ τῆς
χελώνης ὀδοὺς εἰς τὴν τοῦ κοχλίου ἕλικα κατακέκλεισται· λοιπὸν
δὴ συμβαίνει τῇ ποιᾷ τοῦ κοχλίου συστροφῇ εἰλούμενον τὸ ἐλασμά-
τιον τὸ λεγόμενον ὀδοντάριον περὶ τὸν κοχλίαν ἐν αὐτῇ τῇ κοίλῃ
61 ἕλικι συνεχόμενον κινεῖν τὴν χελώνην. Αὐτῶν δὲ τούτων τῶν τε-
62 τραγώνων οἱ μέν εἰσιν ἁπλοῖ, οἱ δὲ διπλοῖ. Ἁπλοῦς ἐστι κοχλίας ὁ
μιᾷ ἕλικι συντετμημένος καὶ μίαν κινῶν χελώνην· δεύτερος τοιοῦ-
τος ἐστι κοχλίας ὁ δυσὶν ἕλιξι διατετμημένος καὶ δύο κινῶν χελώ-
63 νας. Τοιοῦτος δέ ἐστι κοχλίας ἐν τῷ μεγάλῳ πλινθίῳ τῷ Ἀνδρέου
ὀργάνῳ· ἀπὸ γὰρ τῆς μεσότητος τὸ ξύλον ἐκ τῶν διαπηγμάτων
ἀντιθέτοις ἕλιξι τέτμηται, ὥστε κατὰ ποιὰν τοῦ κοχλίου συστροφὴν
ἤτοι ἀπὸ τῆς μεσότητος ἐπὶ τὰ διαπήγματα ὁρμᾶν τὰς χελώνας, ἢ
128 ἀπὸ τῶν διαπηγμάτων εἰς τὸν μέσον τόπον συντρέχειν. | Ἔστι δὲ
64 καὶ ἄλλος διπλοῦς κοχλίας ἐν τῷ λεγομένῳ κηρυκείῳ, ἄνωθεν ἀπὸ

trou traversé par la vis, tandis que, dans l'intérieur de ce trou, une
petite plaque en fer ou en bronze est clouée sur la tortue; cette petite
60 plaque a reçu le nom de *dent*. Cette *dent* de la tortue est renfermée dans
les pas de la vis : il en résulte donc tout naturellement qu'au moment
où on tourne la vis d'une certaine manière, la petite plaque dite *den-
ticule* roule autour de la vis, vu qu'elle est engagée dans les pas de
61 vis, et imprime ainsi du mouvement à la tortue. Les vis carrées sont, les
62 unes simples, et les autres doubles. Une vis simple est une vis qui n'est
creusée que d'un seul pas de vis et qui ne meut qu'une seule tortue;
mais il existe une seconde espèce de vis de ce genre : c'est celle qui est
creusée de deux pas de vis divergents, et qui met en mouvement deux
63 tortues. Il y a une telle vis dans la machine d'Andréas, dite *grand plin-
thium :* en effet, cette vis est creusée, à partir du milieu, du point où
elle touche les traverses, de pas de vis à directions opposées; d'où il
résulte que, dès l'instant où on tourne la vis d'une certaine manière,
les tortues doivent, ou cheminer du milieu vers les traverses, ou con-
64 verger des traverses vers le milieu. Il y a encore une autre espèce de
vis double qui existe dans la machine dite *caducée;* cette vis est creusée,

τῆς ἀρχῆς ἕως τοῦ πέρατος ἀντιθέτοις ἕλιξι τετμημένος, πάλιν καὶ Mai 128.
αὐτὸς κινῶν δύο χελώνας, ὡς ἐν αὐτῇ τῇ τοῦ ὀργάνου κατασκευῇ
[δηλωθήσεται]. Ὁ δὲ φακωτὸς κοχλίας κινεῖ τύμπανον· αἱ γὰρ ἕλι- 65
κες τοῦ κοχλίου ἐπιβαίνουσαι τοῖς ὀδοῦσι τοῦ τυμπάνου στρέφουσι
τὸ μηχάνημα· ὅσπερ κοχλίας διὰ τοῦ ἐπιτονίου ἢ τῆς περιαγωγίδος
στρεφόμενος καὶ ἐμπίπτων τοῖς ὀδοῦσι τοῦ τυμπάνου κινεῖ τὸ μη-
χάνημα. Κινεῖ δέ ποτε ὁ αὐτὸς κοχλίας χελώνην, ἀλλὰ οὐκέτι διὰ 66
ὀδόντος, ὥσπερ ὁ τετράγωνος, ἀλλὰ ἐν τῷ λεγομένῳ περικοχλίῳ
συνεχόμενος, ὃ περικόχλιον ἐν αὐτῇ τῇ τῆς χελώνης γίνεται κατα-
σκευῇ· αὐτὸ γὰρ τὸ τῆς χελώνης τρῆμα τὸ παραδεχόμενον τὸν κο-
χλίαν ἀντιθέτοις ἕλιξι [τοῖς] τοῦ φακωτοῦ κοχλίου περιέσκαπται,
ὥστε τὰς ἐξεχούσας ἕλικας τοῦ φακωτοῦ κοχλίου κατακεκλεῖσθαι εἰς
τὰς τοῦ περικοχλίου κοίλας καὶ παραδεδέχθαι εἰς τὰς [τοῦ φακωτοῦ

à partir d'en haut, depuis le commencement jusqu'à la fin, de pas de vis
à directions opposées, et elle meut également deux tortues, comme
nous le montrerons dans la description du *caducée*. La vis lenticulaire 65
met en mouvement un tambour : en effet, les pas de cette vis saisissent
les dents du tambour : lors donc qu'on la tourne à l'aide du bouton ou
de la manivelle, elle met en mouvement le tambour, en tombant sur les
dents de cet appareil. Quelquefois cette même vis meut aussi une tortue; 66
seulement elle ne le fait plus par l'intervention d'une *dent*, comme le
faisait la vis carrée, mais parce qu'elle est renfermée dans ce qu'on ap-
pelle couvre-vis (*vis femelle*), lequel couvre-vis a été construit dans le
corps même de la tortue : en effet, le trou de la tortue, destiné à rece-
voir la vis, est creusé lui-même, sur son pourtour, de pas de vis mar-
chant en sens opposé à ceux de la vis lenticulaire, de telle sorte que
les filets de la vis lenticulaire s'engrènent dans les pas de la vis femelle,
tandis que les filets de la vis femelle s'engrènent dans les pas de vis de

3. [δηλωθήσεται] conj.; om. RU; *videmus* Vid. — Ib. δέ ex em.; γάρ RU; *At* Vid. — 3-4. αἱ παρέλικες R. — 5. ὥσπερ RU. — Ib. ἐπιτονίου ex em.; περιτονίου RU. — 6. ἐμπίπτων ex em.; ἐπεμπίπτων RU. — 8. ὀδόντος ex em. Vid.; τένοντος RU. — Ib. περικόχλῳ RU; it. l. 13. — 11. [τοῖς] ex em.; om. RU. — 12. ἐξεχούσας ex em. Vid.; περιεχούσας RU. — 13-p. 351, l. 1. [τοῦ φακωτοῦ κοίλας τάς] ex em. Vid; om. RU.

Mai 128.
67 κοίλας τὰς] τοῦ περικοχλίου ἐξοχάς. Συμβαίνει δὴ ἐν τῇ τοῦ κο-
χλίου συστροφῇ τῶν κοχλιῶν ἐν ταῖς ἕλιξιν εἰλουμένων τὴν τῆς
68 χελώνης κίνησιν γίνεσθαι ποτὲ μὲν ἄνω, ποτὲ δὲ κάτω. Μᾶλλον
δὲ πλεονάζουσιν αἱ τοιαῦται κατασκευαὶ ἐν τοῖς πιεστηρίοις ὀργά-
νοις· ἐγένοντο γὰρ χάριν τοῦ κλινομένων τῶν ὀργάνων ἐπὶ αὐτῶν
ἐφεδράζεσθαι τοὺς καταρτιζομένους· τὰ γὰρ ἐφέδρανα ὄργανα οὕτω
κατεσκεύασται, ὥστε ἢ καθημένους ἐπὶ αὐτῶν ἢ κεκλιμένους τοὺς
69 πάσχοντας καταρτίζεσθαι. Πριαπίσκος λέγεται ὁ αὐτὸς καὶ στυλί-
70 σκος, ἔτι τε σκαλμός. Ὅπου τὸ ἐφέδρανον, ἐκεῖ καὶ τὸν πριαπίσκον
εὑρήσεις· γέγονε γὰρ οὗτος πρὸς ἀντέρεισιν τοῦ περινέου τὴν ἐν
71 τοῖς καταρτισμοῖς γινομένην. Ἔστι δὲ ὁ πριαπίσκος ξύλον ὀκτω-
δακτυλιαῖον περιφερὲς κατὰ τὸ πλεῖον αὐτοῦ μέγεθος, κατὰ δὲ τὸ
λοιπὸν μέρος τετράγωνον, ἵνα τὸ τετράγωνον αὐτοῦ μέρος εἰς τὴν

67 la vis lenticulaire. Il advient donc que, dès l'instant où se produit ce mu-
tuel engrenage, la tortue est mue tantôt de bas en haut, et tantôt de haut
68 en bas. De pareilles dispositions se rencontrent principalement dans
les machines qui agissent par pression : en effet, ces machines ont été
faites pour que les malades dont on réduit les luxations puissent s'asseoir
sur elles quand elles sont placées horizontalement; car les machines à
siége sont construites de telle façon, qu'on peut faire la réduction les
69 malades étant assis ou couchés sur les machines. On donne à une seule et
70 même pièce les noms de *priapisque*, de *colonnette* ou de *manche*. Là où il
y a un siége, on trouve aussi un priapisque : en effet, cette pièce a été
faite pour fournir un contre-appui au périnée pendant qu'on réduit les
71 luxations. Le priapisque est un morceau de bois de la longueur de huit
doigts, arrondi dans la plus grande partie de son étendue et carré dans
le reste : cette disposition a pour but de faire entrer la partie carrée du

1. τοῦ περὶ τοῦ κόχλου RU. — Ib. δέ RU. — 4. πιεστηρίοις] ἐφεδράνοις P Vid. — 5. κλειομένων RU. — Ib. ἐφ' ἑαυτῶν RU. — 6. γὰρ ἐφέδρανα ex em. Vid.; παρὰ ἐφέδραν P; παρὰ ἐφ' ἕδραν RU. — Ib. ὄργανα ex em. Vid.; ὄργανα ὅσα κελειμένους (sic) ἔχει τὰς κατασκευάς RU. (Conf. p. 335, l. 10.) — 11. γενομένην P; γενομένης U; γενομένοις R. — 13. τετράγ. ἵνα . . . . μέρος om. UP. — 13-p. 352, l. 1. εἰς τὴν πιοειδῆν ἐκκοπήν ex em. Vid.; εἰς τετράγωνον ἢ πιοειδὴς (πιειδής P) ἐκκοπή RUP.

Mai 128-129.
πιοειδῆν ἐκκοπὴν τοῦ ἐφεδράνου ἐνίζηται, τὸ δὲ λοιπὸν τὸ ἄνω μέ-
ρος ἀντερείδηται τῷ | περινέῳ. Πῖ σιδηροῦν γέγονε προσπηγνύμενον 129 72
τοῖς διαπήγμασιν ἀσφαλοῦς χάριν συνεχείας τοῦ πριαπίσκου· ἐν
δὲ τῷ ἡμετέρῳ ὀργάνῳ εὑρεθήσεται μέγα σιδηροῦν πῖ πρὸς ἄλλην
χρείαν κατεσκευασμένον, πρὸς τὴν κατὰ ἴπωσιν μοχλείαν τῶν τῆς
ῥάχεως ὑβωμάτων. Τὰ δὲ λεγόμενα πώματα γέγονεν ἐν τοῖς τονίοις 73
ὀργάνοις χάριν τοῦ ὑπὸ αὐτῶν κρύπτεσθαι τὰ μηχανήματα πρὸς τὸ
μὴ τοῖς ἰδιώταις φανερὰ γενέσθαι οὕτως ἐκκείμενα ἀσκέπαστα. Οἱ 74
δὲ κρίκοι γεγόνασιν ἐν τοῖς τονίοις τῆς προσδέσεως χάριν· ἐν ἄλ-
λοις δὲ ὀργάνοις εἰσὶ πρὸς συνοχὴν μηχανημάτων τετεχνασμένοι,
ὥσπερ ἐν τῷ τοῦ Μενεκρίτου βουκρανίῳ οἱ τὸν ἄξονα συνέχοντες.
Καὶ ἐν ἄλλοις ὀργάνοις χάριν τῆς αὐτῆς χρείας παρελήφθησαν 75
ψαλίδες· ἐν δέ τισιν ὀργάνοις πρὸς ἀσφαλῆ συμπηγίαν σκελῶν
πρὸς [τὰ] διαπήγματα ψαλίδας χαλκᾶς εὑρίσκομεν προσηλωμένας.

priapisque dans l'excavation en forme de Π du siége de la machine, pen-
dant que la partie supérieure sert de contre-appui au périnée. Puis on 72
construit un *pi* (Π) en fer, qu'on rattache aux traverses, pour assujettir
solidement le priapisque; mais, dans notre machine, on trouvera un
grand *pi* en fer construit en vue d'un autre usage, le mouvement de
levier destiné à réduire par refoulement les courbures de la colonne
vertébrale. Les pièces qu'on nomme *couvercles* ont été ajoutées aux ma- 73
chines de traction, pour cacher les appareils, de peur que ces appareils
ne soient vus par les gens du monde, quand ils sont ainsi exposés à leurs
yeux sans rien qui les recouvre. Les *anneaux* ont été ajoutés aux ma- 74
chines de traction pour y relier quelque chose; mais, dans d'autres
machines, ils ont été imaginés pour tenir réunis des appareils : tel est,
par exemple, le cas pour les anneaux qui, dans la *tête de bœuf* de Mé-
nécrite, retiennent l'axe. Dans d'autres machines, on a également em- 75
ployé des *voûtes*, en vue du même usage : en effet, dans certaines ma-
chines, nous trouvons de ces doublures en bronze voûtées et clouées
sur les jambes et les traverses, pour les rattacher solidement les unes aux

6-7. γέγονεν..... ὀργάνοις om. R. — 9. ἐν om. U. — 11. οἱ..... συνέχοντες conj.; ἡ..... συνέχουσα RU. — 14. [τὰ] ex em.; om. RU.

Mai 120.
76 Παρασκέλια δὲ ἐπὶ τῶν στασίμων ὀργάνων ἐγένετο χάριν τοῦ κλι-
νόμενα τὰ ὄργανα καὶ τὴν τῶν ἐφεδράνων χρείαν ἐπιτελοῦντα ἐπὶ
77 αὐτῶν στηρίζεσθαι. — Παραδοὺς ἐξ ὧν πάντα τὰ ὄργανα κατε-
σκεύασται, καὶ ἃς χρείας ἕκαστον τῶν ἐν αὐτοῖς μηχανημάτων ἐπι-
τελεῖ, ἑξῆς βούλομαι διδάξαι, τίνα τῶν ἐν τοῖς ὀργάνοις ἀκίνητα
ὄντα ἐνεργεῖ, τίνα κινούμενα, καὶ τῶν κινουμένων τίνα ἐν τῷ αὐτῷ
τόπῳ μένοντα κινεῖται, τίνα ἀμείβοντα ἐνεργεῖ, πάλιν τε τῶν
ἀκινητούντων τίνα ἀεὶ καὶ εἰς ἅπαν μένει ἀκίνητα, καὶ τίνα ἐξαι-
78 ρούμενα ἑτέρας χρείας ἐπιτελεῖ. Ἀκίνητα δή ἐστιν ἐν τοῖς ὀργάνοις
ταῦτα, βάσεις, σκέλη, πλευρὰ, διαπήγματα, σφηνοειδῆ, μηνοειδῆ,
ἐφέδρανα, πριαπίσκοι, ἄλλα τινὰ πλεῖστα· κινούμενα δὲ ἐνεργεῖ
στροφώματα, κόρακες, ἄξονες, τύμπανα, ἀγκῶνες, κοχλίαι, χελῶ-
ναι, ἄλλα τε πλεῖστα τούτοις ἀνάλογα, ἀλλὰ ἐν μὲν τῷ αὐτῷ τόπῳ

76 autres. On a ajouté aux machines droites des jambes accessoires, pour
que ces machines puissent s'appuyer dessus quand on les place dans
la position horizontale et qu'elles rendent les mêmes services que les
77 machines à siége. — Ayant exposé quelles sont les pièces qui entrent
dans la construction d'une machine quelconque, et quels sont les ser-
vices rendus par chacun des appareils dont se composent ces machines,
je veux maintenant vous apprendre quelles sont les pièces constituantes
des machines qui agissent en restant immobiles, et quelles sont les pièces
qui agissent en se mouvant; [je veux montrer] quelles sont, parmi les
pièces mobiles, celles qui se meuvent sans déplacement, et celles qui
agissent en changeant de place; [j'expliquerai] à leur tour quelles sont,
parmi les pièces fixes, celles qui restent toujours complétement immo-
biles, et quelles sont celles qu'on peut enlever pour les faire servir à
78 d'autres usages. Voici les pièces qui, dans les machines, restent immo-
biles : les bases, les jambes, les côtés, les traverses, les embouts en forme
de coin, les demi-lunes, les siéges, les priapisques, et un grand nombre
d'autres pièces; au contraire, les pièces suivantes agissent en se mou-
vant : les charnières, les crochets, les axes, les tambours, les coudes,
les vis, les tortues, et un grand nombre d'autres pièces analogues; seu-
lement, les pièces suivantes se meuvent en continuant à occuper le même

7. καὶ τίνα RU. — 9. δέ RU.

μένοντα κινεῖται τὰ τοιαῦτα, σΊροφώματα, κόρακες, τύμπανα, κο- 129-130.
χλίαι, οἱ πλεῖσΊοι ἄξονες. Τόπον ἐκ τόπου ἀμείβουσι χελῶναι, 79
ἀγκῶνες. Τῶν δὲ ἀκινητούν|των ἐν τοῖς ὀργάνοις ἃ μὲν ἀεὶ καὶ εἰς 80
ἅπαν ἀκίνητα μένει, ἃ δέ ἐσΊιν ἐξαίρετά τε καὶ ἔνθετα. Ἀεὶ μὲν οὖν 130 81
ἀκίνητα μένει τὰ τοιαῦτα· βάσεις, σκέλη, πλευρὰ, διαπήγματα,
ῥίζαι, ἐφέδρανα, μηνοειδῆ· ἐξαίρετα δὲ ἐπί τινων ὀργάνων ἀκίνητα
ὄντα σφηνοειδῆ. Ὡσαύτως δὲ καὶ οἱ πριαπίσκοι πρὸς ἑτέρας χρείας 82
ἔνθετοί τε καὶ ἐξαίρετοι γίνονται.

ε'. Περὶ μηχανημάτων. Ἐκ τῶν Γαληνοῦ.

Μόνον μὲν ἱκανόν ἐσΊιν εἰς ἐμβολὰς ἄρθρων τὸ καλούμενον ἱπ- 1
ποκράτειον βάθρον· εἰ δὲ ἄρα τις ἐθέλοι καὶ ἄλλοις χρῆσθαι, πρὸς μὲν τὰς ὁδοιπορίας τὸ καλούμενον πολύσπασΊον ἐπιτήδειον· Ἀρχιμήδους δὲ αὐτό φασιν εὕρημα εἶναι· πρὸς δὲ τὰς ἐν πόλει χρείας

endroit : les charnières, les crochets, les tambours, les vis et la plupart
des axes. Les tortues et les coudes vont d'un endroit à l'autre. Parmi 79-80
les pièces fixes qui entrent dans la construction des machines, il y en a qui restent toujours complétement immobiles, et d'autres qu'on peut
enlever et remettre en place. Les pièces suivantes restent toujours immo- 81
biles : les bases, les jambes, les côtés, les traverses, les tiges, les siéges et les demi-lunes ; au contraire, les embouts en forme de coin, bien qu'ils soient immobiles, peuvent être enlevés dans certaines machines.
De même on construit encore les priapisques de telle façon qu'ils peuvent 82
aussi, mais pour d'autres usages, être, à volonté, enlevés et remis.

5. DES MACHINES. — TIRÉ DE GALIEN.

La machine dite *banc d'Hippocrate* suffit à elle seule pour réduire les 1
luxations ; cependant, parmi les autres machines, on peut recommander celle qu'on appelle *polyspaste*, et qui est, à ce qu'on prétend, une invention d'Archimède ; elle est bonne pour les voyages ; la machine dite

6. *ἀκίνητα* ex em. Vid.; *κινητά* RU. — Ch. 5, l. 12. *δέ* om. R.

σ1άσιμον μὲν ἄξιον λόγου τὸ τοῦ τέκτονος καλούμενόν ἐσ1ιν, ἢ τὸ τοῦ Ἀνδρέου, ἐφέδρανον δὲ τουτὶ τὸ Ἱπποκράτους βάθρον.

ϛʹ. Περὶ τοῦ μηχανικοῦ γλωτ1οκόμου.

1 Οὐκ ἀλόγως εὑρῆσθαί μοι δοκεῖ τοῖς νεωτέροις ἰατροῖς [τὸ] γλωσσόκομον ὄργανον ἐπιτήδειον πρὸς τὰς πωρώσεις, ἐάν τε μηρὸς, ἐάν τε κνήμη συντριβῇ· πρόσκειται γὰρ αὐτῷ κατὰ τὸ κάτω πέρας ἄξων, ἐπὶ ὃν αἱ τελευταὶ τῶν ἀντιτεινόντων τὸ κῶλον βρόχων ἀχθεῖσαι περιβάλλονται· τοὺς βρόχους δὲ αὐτοὺς περιτιθέναι χρὴ
2 κατὰ τὰ πέρατα τοῦ θεραπευομένου τῶν ὀσ1ῶν. Ἔσ1ωσαν δὲ ἐκ δυοῖν διανταίων, ὡς εἶναι σκέλη τέτ1αρα τῶν βρόχων ἑκατέρου, δύο
3 μὲν ἐκ τῶν δεξιῶν, δύο δὲ ἐκ τῶν ἀρισ1ερῶν. Ταῦτα οὖν τὰ σκέλη τὰ μὲν ἐκ τοῦ κάτω βρόχου διεκβάλλοντα διὰ τρημάτων τινῶν ἐν τῷ κάτω πέρατι τοῦ γλωσσοκόμου γεγονότων ἐπὶ τὸν ἄξονα ἄγειν

de l'artisan, ainsi que celle d'Andréas, sont des machines droites dignes d'attention pour être employées dans les villes; comme machine à siége il faut conseiller, pour les villes, ce même banc d'Hippocrate.

6. DU GLOSSOCOME.

1 Ce n'est pas sans raison, ce me semble, que des médecins d'une époque comparativement récente ont inventé le *glossocome*, machine bonne pour favoriser la formation du cal, qu'il s'agisse d'une fracture de la cuisse ou de la jambe : à l'extrémité inférieure de cette machine est fixé un axe sur lequel on amène, pour l'en entourer, les bouts des lacs qui tirent le membre des deux côtés opposés (*extension et contre-extension*); quant aux lacs, ils doivent être placés sur les extrémités de l'os qui est en
2 traitement. Ces lacs seront composés de deux cordons d'égale longueur (cf. XLVIII, 7 et Gal. *Ut. des part.* VII, 14, t. IV, p. 574), de manière qu'il y ait quatre chefs pour chacun des deux lacs, deux à droite et deux à
3 gauche. Quant à ces chefs, on amènera à l'axe ceux qui appartiennent au lacs inférieur, en les faisant passer par des trous qui se trouvent à l'extrémité inférieure du *glossocome*, tandis qu'on fera marcher d'abord

1. τοῦ om. RU. — 1-2. τὸ Ἀνδρ. U; τοὐναντίον R. — Ch. 6, l. 3. [τὸ] ex em.; om. RU Gal. — 4. ὀργανικόν RU. — Ib. εἰς U Gal. — 5. κατά] πρός R. — Ib. κάτω om. R Gal. — 12. φέρειν U Gal.

χρὴ, τὰ δὲ ἐκ τοῦ ἄνω βρόχου πρότερον ἀπάγοντα πρὸς τὴν ἄνω χώραν τοῦ γλωσσοκόμου διεκβάλλειν καὶ αὐτὰ τρημάτων τινῶν ἐν τοῖς πλαγίοις αὐτοῦ μέρεσι γεγονότων· ἐχέτω δὲ τὰ τρήματα τροχιλίας ἐν ἑαυτοῖς. Εἶτα ἑκατέρωθεν ἐκ τῶν ἔξω μερῶν τοῦ γλωσσο- 4
κόμου κατάγοντα χρὴ φέρειν ἐπὶ τὸν ἄξονα τὰ εἰρημένα πέρατα τῶν βρόχων· τούτων γὰρ οὕτω σκευασθέντων μία περισΊροφὴ τοῦ ἄξονος ὡσαύτως τείνει τοὺς δύο βρόχους, κάτω μὲν τὸν ἐν τῷ κάτω πέρατι τοῦ κατεαγότος ὀσΊοῦ περιβεβλημένον, ἄνω δὲ τὸν ἕτερον, ὥσΊε μετὰ τὴν ἀπόθεσιν ἐπί σοι λοιπὸν εἶναι κατὰ ἑκάσΊην ἡμέραν ἐπανορθοῦσθαι τὴν ἀντίτασιν τῶν βρόχων, ἤτοι γε ἐπιτείνοντι τὴν τάσιν αὐτῶν, ἢ ἐκλύοντι· τὸν μὲν γὰρ ἐν τοῖς κάτω μέρεσι τοῦ κώλου βρόχον ὁ ἄξων διὰ εὐθυπόρου τάσεως ἐπισπᾶται, τὸν δὲ ἄνω μετὰ τῆς μεταληπΊικῆς ὀνομαζομένης.

les bouts du lacs supérieur vers la partie supérieure du *glossocome*, pour les faire passer, eux aussi, par des trous qui existent sur les côtés de la machine; ces trous doivent contenir des poulies dans leur intérieur. En- 4
suite il faut, des deux côtés, ramener les bouts des lacs dont nous venons de parler des parties extérieures du *glossocome* sur l'axe: il résulte de ces dispositions qu'un seul tour de l'axe suffira pour exercer également une traction sur les deux lacs, à savoir, une traction vers le bas sur celui qui entoure l'extrémité inférieure du membre fracturé, et une traction vers le haut sur l'autre; en conséquence, après avoir donné au membre la position requise, il ne dépendra dès lors que de vous de corriger chaque jour la traction que les lacs exercent dans les deux sens opposés, en exagérant ou en diminuant leur degré de tension: en effet, l'axe attire le lacs qui se trouve à la partie inférieure du membre à l'aide d'une traction directe, et le lacs supérieur à l'aide de la traction dite *traction par réflexion de mouvement.*

9. ἔτι Gal. — 13. μεταλ. ἢ ἀντιμεταληπΊικῆς R; ἀντιληπΊικῆς ἢ ἀντιμ. U.

Mai 130.

| ζʹ. Νειλέως ϖλινθίον. Ἐκ τῶν Ἡλιοδώρου.

130

1 Τὸ τοῦ Νειλέως ϖλινθίον κατεσκεύασται ἐκ τῶν λεγομένων τε-
τραγώνων ὑπομήκων τονίων· ϖλευρὰ γὰρ ἔχει δύο μήκει τετραπα-
λαιστιαῖα [ϖλάτει ϖαλαιστιαῖα], ϖάχει δακτυλιαῖα, συμπεπηγότα
ϖρὸς ἄλληλα κατὰ τὰ ϖέρατα τοῖς λεγομένοις διαπήγμασιν· τὰ δὲ
διαπήγματα ταῦτα ἰσοπλατῆ μέν ἐστι καὶ ἰσοπαχῆ ταῖς ϖλευραῖς, τῷ
2 δὲ μήκει ϖαλαιστιαῖα. Τοιγαροῦν κατὰ λόγον τῶν μὲν ὄντων τετρα-
παλαιστιαίων, ϖαλαιστιαίων δὲ τῶν διαπηγμάτων, ἐγένετο συμπηγία
3 τοῦ τονίου τετράγωνος ὑπομήκης. Ἐξέσται δὲ τῷ βουλομένῳ καὶ τὰ
ϖλευρὰ κολοβώτερα τοῦ ἱστορημένου μέτρου ϖοιῆσαι, ἐπείπερ ἑνὶ
4 ἄξονι ἐνεργεῖ τὸ ὄργανον. Ἐν δὲ μέσοις τοῖς ϖλευροῖς ἐκκεκομμένοις
στρογγύλοις καὶ διανταίοις τρήμασιν ἄξων ἐστὶν ἔκθετος μέσον ἔχων
τύλον, κατὰ δὲ τὰς ἐκθέτους ἀποτορνώσεις σκυτάλας, τῇ μὲν ὕλῃ
5 χαλκᾶς ἢ σιδηρᾶς, δεκαδακτυλιαίους δὲ τῷ μεγέθει. Ἔχει δὲ καὶ κρί-

7. PLINTHIUM DE NILÉE. — TIRÉ D'HÉLIODORE.

1 En raison de sa construction, le plinthium (*brique*) de Nilée rentre
dans la classe des machines de traction carrées et allongées; car elle a
deux côtés de quatre palmes de longueur, d'une palme de largeur, d'un
doigt d'épaisseur, et qui sont réunis entre eux à leurs extrémités par ce
qu'on appelle des traverses; ces traverses ont la même largeur et la même
2 épaisseur que les côtés; mais elles n'ont qu'une palme de longueur. Comme
les côtés ont quatre palmes en longueur, tandis que les traverses n'en ont
3 qu'une seule, l'ensemble de la machine forme un carré long. On peut
aussi, si l'on veut, donner aux côtés une longueur moindre que celle que
nous venons d'indiquer, puisque la machine n'agit que par un seul axe.
4 À égale distance des deux extrémités, chacun des deux côtés est percé d'un
trou rond [trous qui se correspondent] et qui reçoivent un axe saillant
pourvu d'une cheville sur sa partie moyenne; sur ses parties saillantes
et arrondies au tour, on dispose des leviers construits en fer ou en bronze,
5 et ayant la longueur de dix doigts. Cette machine de traction a, en

Ch. 7, l. 3. [ϖλ. ϖαλαιστ.] om. RU. — 11. ἄξων ex em. Vid.; ἐξ ὧν RU.

Mai 130-131.

κους τέσσαρας τὸ τόνιον τοῖς πλευροῖς καθηλωμένους, δύο ἄνω καὶ δύο κάτω. | Ἡ ἀρχαία δὴ κατὰ αὐτὸν τὸν Νειλέα τοῦ [τοῦ] Νειλέως 131 κατασκευή ἐστιν αὕτη· 6 γενόμενος δέ τις Ἡρόδοτος ἀνὴρ ὀργανικὸς τὰ διαπήγματα κατὰ τὰ ἐμπρόσθια μέρη κατὰ μεσότητα ἐκοίλανε σιγμοειδῶς, ἵνα αἱ ἀπὸ τῶν τεινομένων σωμάτων καιρίαι καταφερόμεναι ἐπὶ τὸν τύλον τοῦ ἄξονος μὴ προστρίβωνται ἐκθέτοις οὔσαις ταῖς γωνίαις, ἀλλὰ κατάλληλοι [ἐπὶ] αὐτὸν ἄγωνται. 7 Τοιοῦτος καὶ ὁ Ἡρόδοτος· καθάπερ δὲ ἡμεῖς παρειλήφαμεν τὴν ἱστορίαν ταύτην, κατὰ ταῦτα παραδίδομεν· λέγεται Πασικράτην τὸν ὀργανικὸν γενόμενον ἐν τῇ Σιδῶνι τεθεωρηκέναι τὸ τόνιον τοῦτο ὑπὸ ἀνδριάντος διακρατούμενον, κατασκευῇ διαφόρῳ κεχρημένον· τῆς γὰρ αὐτῆς οὔσης συμπηγίας, εἶχεν ἐκεῖνο τὸ τόνιον κατὰ τὰς ἐκθέτους τοῦ ἄξονος ἀποτορνώσεις χαλκῶν δρακόντων ἐμπλοκάς, κατὰ ἰθὺ προκειμένων τῶν κεφαλῶν καὶ τῶν οὐρῶν. 8 Οὗτοι δὲ οἱ δράκοντες τίνος χάριν ἐγένοντο; ὅτι ἀντὶ τῶν σκυταλῶν κατεσκευάσθησαν πρὸς τὴν

outre, quatre anneaux cloués sur les côtés, deux en haut et deux en bas. 6 Telle est l'ancienne disposition de la machine de Nilée, d'après Nilée lui-même; mais il y eut un certain mécanicien appelé Hérodote, qui creusa des cavités en forme de C au milieu de la partie antérieure des traverses, afin que les lacs, en descendant des parties du corps où s'exerce la traction, sur la cheville de l'axe, ne se frottassent pas contre les angles saillants, mais fussent amenés directement à l'axe. 7 Voilà ce qui concerne Hérodote; nous rapportons le fait comme nous l'avons appris; on dit aussi que Pasicrate, le mécanicien, étant allé à Sidon, y avait vu cette machine de traction portée par une statue et offrant certaines dispositions différentes : en effet, cette machine de traction avait bien la même structure générale; mais les parties de l'axe saillantes et arrondies au tour portaient un entrelacement de dragons en bronze, dont les têtes et les queues étaient placées sur la même ligne. 8 Dans quel but ces dragons avaient-ils été faits? Évidemment on les y avait mis en

2. δή ex em.; δέ RU. — Ib. [τοῦ] ex em.; om. RU. — 4. κατὰ τά e marg. P; καὶ τά RUP text. — Ib. ἔμπροσθεν R. — Ib. μεσότητας RU. — 5. *ad figuram literæ* ω Vid. — Ib. αἱ ἀπό ex em.; διά R; om. U. — 7. [ἐπὶ] αὐτόν ex em.; αὐτῶν RU. — Ib. ἄγονται RU. — 8. ὁ om. R. — 11. αὐτῆς om. U.

Mai 131-132.
τοῦ ἄξονος σΙροφὴν, ἐπεὶ τὸ ἐν τῇ Σιδῶνι ὄργανον μέσα τὰ διαπήγματα εἶχε τετρημένα σΙρογγύλοις τρήμασι καταλλήλοις τῷ τύλῳ
9 τοῦ ἄξονος. Δῆλον δὲ ὅτι τῶν τρημάτων ἐσΙὶν ἡ αὐτὴ χρεία τῇ κατὰ τὸν Ἡρόδοτον, ἵνα διὰ τῶν τρημάτων κατάλληλοι ἄγωνται ἐπὶ
10 τὸν τύλον αἱ ἀπὸ τῶν τεινομένων σωμάτων καιρίαι. Ἔτι ὁ Πασικράτης ἱσΙόρησε καὶ τῷ ἄξονι περικείμενα τέσσαρα τύμπανα περιτεθειμένα χαλκᾶ πλησίον τῶν πλευρῶν, δύο μὲν ἔνδοθεν, δύο δὲ ἔξωθεν· ἐτέτρητο γὰρ καὶ τὰ πλευρὰ κατὰ τὴν τῶν ὀδόντων τάξιν.
11 Τούτων δὲ εὐχρησΙία αὕτη· ἵνα μετὰ τὴν αὐτάρκη τάσιν ἐντιθέμεναι περόναι εἰς τὰ μεταξὺ τῶν ὀδόντων διασΙήματα σΙηρίζωσι τὸν
12 ἄξονα πρὸς τὴν ἐν τοῖς καταρτισμοῖς χρείαν. Οἱ δὲ μεταγενέσΙεροι τὰ μὲν τύμπανα παρητήσαντο, ἔτρησαν δὲ ἀντία τὰ πλευρὰ κατὰ τὰ ἐμπρόσθια μέρη, ἔτρησαν δὲ ἅμα κατὰ κύκλον ἐκ διασΙη-
132 μάτων τινῶν καὶ αὐτὰς τὰς τοῦ ἄξονος | ἀποτορνώσεις, ἵνα πρὸς τὴν δεδηλωμένην χρείαν περόναι ἐντιθέμεναι ἀκίνητον φυλάξωσι τὸν

guise de leviers, pour tourner l'axe: dans la machine de Sidon, le milieu des traverses était, en effet, percé de trous arrondis correspondant
9 à la cheville de l'axe. Il est clair que l'utilité de ces trous était la même que celle que se proposait Hérodote : amener directement à travers les trous sur la cheville de l'axe les lacs venant des parties du corps sur
10 lesquelles on exerce une traction. En outre, Pasicrate raconta que l'axe était entouré de quatre tambours en bronze placés alentour, dans le voisinage des côtés, deux à l'intérieur et deux à l'extérieur; car les
11 côtés étaient percés dans l'endroit qui correspondait aux dents. Cette disposition procurait l'avantage de pouvoir, après une traction suffisante et suivant que cela était utile dans la réduction, arrêter l'axe, en intro-
12 duisant des tringles dans les espaces qui séparent les dents. Les médecins plus récents ont supprimé les tambours; mais ils ont percé, à la partie antérieure, les [deux] côtés qui regardent les parties arrondies de l'axe, et ils ont aussi pratiqué, en cercle, dans ces parties, des trous séparés les uns des autres par un certain intervalle, pour y introduire des tringles qui tinssent l'axe immobile, et cela dans le même but que ci-dessus.

3. τῇ conj.; ἡ RU. — 5. τεινομ. ex em. Dietz; γινομ. R; γενομ. U. — 8. ὀδόντων] ὀργάνων R. — 12. ἔτρησαν e P; ἐμέτρησαν RU.

Mai 132.

ἄξονα. Ἐγὼ δὲ, ἐπείπερ διαπίπλουσιν αἱ περόναι, τῆς ἱσ7ορημένης 13
εὐχρησ7ίας χάριν κόρακας ἐφήλωσα τοῖς πλευροῖς, αὐτάς τε τὰς τοῦ
ἄξονος ἀποτορνώσεις τοῖς τῶν πλευρῶν κατὰ κύκλον ἐκ διασ7ημάτων
συμμέτρων ἔτρησα τρήμασι παραλλήλοις, ἵνα ὁπότε βουληθείην ἐν
καταρτισμῷ ἀκινητεῖν τὸν ἄξονα, κατακλείσω τὸν κόρακα εἰς τὸ
κατάλληλον τρῆμα. Ἡ κοινὴ τοῦ τονίου πλινθίου κατασκευή ἐσ7ιν 14
αὕτη· ἐγὼ δὲ καὶ ἄλλως τὸ πλινθίον κατεσκεύασα· τῶν γὰρ αὐτῶν
ὄντων μέτρων τῶν πλευρῶν, τὸ κάτω διάπηγμα ἄνω ἀναβεβίβακα, τὰ
κάτω τῶν πλευρῶν πέρατα ἔτι παλαισ7ιαῖα ὑπὲρ τὸ διάπηγμα κατα-
λιπὼν, τὸν δὲ ἄξονα ἔταξα ἐν μέσῳ τῷ τῶν διαπηγμάτων λεγομένῳ
φωτί. Καὶ βάθρον δέ τι τῶν σχολικῶν κατὰ τὸ ἓν πέρας τῆς σανί- 15
δος ἐξέκοψα τετραγώνοις ὑπομήκεσιν ἐκκοπαῖς, ἵνα τα δεδηλωμένα
τῶν πλευρῶν πέρατα ἐναρμόζηται εἰς τὰς ἐκκοπάς· αὐτὰ δὲ τὰ
πλευρὰ κατὰ τὰ πέρατα ἔτρησα ἐκ τῶν πλαγίων εἰς τὰ πλάγια
διανταίοις τρήμασιν, ἵνα ἐντιθεμένη περόνη εἰς τὰ τρήματα συνέχῃ

Comme les tringles s'échappent des trous, j'ai cloué, pour obtenir cet utile 13
résultat, des crochets sur les côtés, et j'ai disposé en cercle, à des intervalles
proportionnés, sur les parties arrondies de l'axe, des trous parallèles à ceux
des côtés, afin de pouvoir, à volonté, pendant la réduction d'une luxation,
rendre l'axe immobile, en fixant le crochet dans le trou correspondant.
Voilà quelle est la disposition ordinaire de la machine de traction dite 14
plinthium; mais j'ai aussi disposé cette machine d'une autre manière : con-
servant les mêmes dimensions aux côtés, je remontai la traverse inférieure,
en laissant les extrémités inférieures des côtés dépasser cette traverse de
la longueur d'une palme, et je plaçai l'axe dans le milieu de ce qu'on
appelle la *lumière* des traverses. Je pratiquai dans un banc du genre de 15
ceux qu'on trouve dans les écoles, à l'une des extrémités de la planche,
des entailles ayant la forme d'un carré allongé, afin que les extrémités
des côtés dont nous venons de parler pussent s'adapter aux entailles;
puis je perçai les extrémités des côtés, d'une face à l'autre [et au-dessous
de la planche?], de trous allant de part en part, afin qu'une tringle, in-

2. ἐφήλωσα conj.; ἐκτίλωσα U; ἐκτιλώσας R; *infixi* Vid. — Ib. γε RU. — 3. ἐπιτορνώσεις RU. — Ib. τοῖς conj.; σὺν τοῖς RU. — 9. ἔτι παλ. ex em.; ἐπὶ παλ. R; ἐπιπαλ. U; *quatuor digitis* Vid. — 10. τῷ om. R. — 12. ἐκκοπεῦσιν U; ἐκκοποῦσιν R. — 15. συνέχῃ ex em. Vid.; συνάγῃ RU.

Mai 132-133.

16 τὸ ϖλινθίον. Αὕτη [ἡ] τοῦ ὀργάνου κατασκευή· ἑξῆς δὲ ἐπὶ τὴν κίνησιν αὐτοῦ ϖάρειμι.

η′. Περὶ κινήσεως.

1 Ἐπεὶ τὰ τόνια ὄργανά ἐσ7ιν ἐλλιπῆ κατὰ ἑαυτὰ ἐνεργῆσαι μὴ δυνάμενα, ἀλλὰ ϖροσδεῖται ἑτέρῳ, ὡς κλίμακι, κλίνῃ, βάθρῳ, ὅ τε καταρτισμὸς μηδενὸς τούτων ϖαρόντος ἐπὶ τοῦ ἐδάφους γίνεται εἰς τὴν γῆν, καλῶς ἔχειν μοι δοκεῖ, ὡς ἐν σχολικῇ ϖαραδόσει, ϖρὸς τὴν ϖαροῦσαν διδασκαλίαν ἐπὶ κλίμακος ϖαρεσκευασμένης τήν τοῦ
2 ὀργάνου κίνησιν δηλῶσαι. Ἡτοιμάσθω κλίμαξ μία τῶν κοινῶν, μὴ
les dispositions que nous sommes obligés de faire prendre; nous parle-

1. ἐπικεκλιμένος om. R. — Ch. 12, l. 8. πέρασι ex em.; τέρασι R; πέρας U. — 13. Ἡ ex em.; Εἰ RU. — Ib. μὲν γὰρ παρασκευεῖ U. — Ib. ὀφειλε R.

Mai 143-144.
λωται· τούτους δὲ πάλιν ἐκθήσομαι τοὺς τοῦ ὤμου καταρτισμούς.
5 Δεῖ δὴ τοίνυν ἐπὶ τῶν τοῦ ὤμου ἐξαρθρημάτων κεκλιμένον σχηματί-
ζειν τὸν πάσχοντα, ἤτοι ἐπὶ τῆς κλίμακος, ἢ ἐπὶ [τοῦ βάθρου], τοῦ
τονίου πλησίον τῶν ποδῶν ὄντος, ὕπτιον μὲν ἐπί τε τῆς εἰς τὴν
μασχάλην καὶ τῆς ἔμπροσθεν διαφορᾶς, πρηνῆ δὲ ἐπὶ τῆς ὀπίσω.
6 Λοιπὸν δὲ δεῖ ἐπὶ τῆς εἰς τὴν μασχάλην διαφορᾶς ἀπάγειν τὰς τῶν
κάλων ἀρχὰς ὑπὲρ κεφαλῆς μὲν ἔμπροσθεν ἢ ὄπισθεν οὔσας, καὶ
τῆς διπλῆς καιρίας τὴν μεσότητα περιτιθέναι τῷ βραχίονι μεταξὺ
τοῦ βραχίονος καὶ τοῦ σφηνοειδοῦς, ὡς γίνεσθαι ἔξω τὰς τῆς και-
144 ρίας ἀρχάς, καὶ | οὕτως ἐᾷν παρειμένας, μετὰ ταῦτα δὲ καρχήσιον
βρόχον, ἢ ἄλλον ἰσότονον περιτιθέναι τῷ βραχίονι, καθὼς ἐλέχθη
7 πρόσθεν, οὗ βρόχου τὰς ἀρχὰς ἄγειν κάτω ὡς ἐπὶ τὸ τόνιον. Λοι-
πὸν δὴ ἔχοντες [τὰς] ἀρχὰς κάτω πρὸς τοὺς πόδας, ἐνεργήσομεν
ἢ κατὰ κράτημα καὶ ἀνάτασιν, [ἢ] κατὰ διάτασιν, ἤτοι κατὰ τὸ εὐθύ-

rons [maintenant] de ces [mêmes] luxations de l'épaule [dont il a déjà
5 été question plus haut]. Quand on veut réduire une luxation de l'épaule,
le malade étant couché, on l'étendra sur une échelle ou sur un banc,
la machine de traction étant placée à ses pieds, et on le mettra sur le
dos, quand la luxation a eu lieu dans l'aisselle ou en avant, et sur le
6 ventre, s'il s'agit d'une luxation en arrière. En cas de luxation dans l'ais-
selle, on amènera par-dessus la tête les chefs des cordes qui se trouvent
en avant et en arrière [de l'épaule]; on placera le milieu du cordon double
autour du bras, entre ce membre et l'embout en forme de coin, de ma-
nière que les chefs de ce cordon soient situés à l'extérieur, et on les lais-
sera pendre; après cela, on mettra autour du bras le *câble*, ou quelque
autre lacs à tension égale, ainsi que cela a été dit plus haut (p. 364), et
7 on fera descendre les chefs de ce lacs vers la machine de traction. Une
fois les chefs arrivés en bas, vers les pieds, nous agirons, soit en pre-
nant un point d'appui fixe et en tirant par le haut, soit en tirant des
deux côtés à la fois, effet que nous produirons ou par traction directe, ou

3. [τοῦ βάθρου] ex em.; om. RU. — 5-6. πρηνῆ..... διαφορᾶς om. R. — 6. ἐπάγειν RU. — 9. ὡς γίνεσθαι conj.; γίνεται RU. — 10. παραωνας (sic) U. — 13. δή ex em.; δέ RU. — Ib. [τάς] ex em.; om. RU. — 14. ἤ ex em.; ἧς U; εἰς R. — Ib. [ἤ] ex em.; om. RU. — Ib. κατὰ διάτασιν om. R.

πορον ἢ κατὰ μετάληψιν, ὡς πρόσθεν ὑπεδείχθη. Δεῖ δὲ μετὰ τὴν Mai 144.
αὐτάρκη τάσιν ταῖς καταλλήλοις μοχλείαις ἀρθρεμβολεῖν τὸν βρα- 8
χίονα· εὐθετεῖ δὲ εἰς τὴν τῆς μασχάλης διαφορὰν δύο μοχλευτικὰ
ἐνεργήματα, τό τε κατὰ ἐξελκυσμὸν καὶ τὸ κατὰ σφάλμα· γίνεται
δὲ ἐπιμενούσης τῆς τάσεως διὰ τῆς διπλῆς καιρίας. Τὰς ἀρχὰς δια- 9
κρατήσαντες ἐξέλκομεν βιαίως τὴν κεφαλὴν τοῦ βραχίονος, ἅμα δὲ
τῷ ἐξελκυσμῷ ἀντιμετάγομεν τὸν ἀγκῶνα ἔνδον πρὸς τὰς πλευ-
ράς· τῷ γὰρ δεδηλωμένῳ ἐνεργήματι ῥᾳδίως ἐξάγεται καὶ εὐχερῶς
μετάγεται ἡ κεφαλὴ τοῦ βραχίονος εἰς τὸν ἔξω τόπον. Τοῦ δὲ ἐξελ- 10
κυσμοῦ γενομένου, ἐπαγέσθω τὸ σφάλμα. Ὡς ταχύτατα ἅμα νοή- 11
ματι ἡ μὲν τάσις ἀνιέσθω· συλλαμβανέσθω δὲ ὁ βραχίων καὶ ἀνα-
βιβαζέσθω πρὸς ἐνάρθρωσιν. Ταῦτα δεῖ ποιεῖν ἐπὶ τῆς εἰς τὴν 12
μασχάλην διαφορᾶς.

par mouvement réflexe, ainsi qu'il a été dit plus haut (p. 370, l. 4). Quand 8
l'extension a acquis un degré d'intensité suffisant, on fera rentrer l'hu-
mérus dans l'articulation par les mouvements de levier appropriés; or
il y a deux de ces manœuvres qui conviennent pour la luxation dans
l'aisselle, à savoir : la manœuvre par attraction et celle par glissement;
mais la traction qu'on exerce avec le cordon double doit persister pen-
dant qu'on fait [la première de] ces manœuvres. On attirera violemment 9
la tête de l'humérus, en tenant les chefs; en même temps qu'on opère
l'attraction, on poussera le coude en sens inverse, vers l'intérieur, dans
la direction des côtes; car, à l'aide de la manœuvre indiquée, on enlève
aisément la tête de l'humérus de l'endroit qu'elle occupait, et on la ra-
mène facilement vers l'extérieur. Après avoir fait l'attraction, on passera 10
au glissement. Aussi vite que possible, avec la rapidité de la pensée, on 11
ralentit l'extension; on saisit le bras, et on le fait remonter pour réduire
l'humérus. Voilà ce qu'il faut faire en cas de luxation de l'humérus dans 12
l'aisselle.

4. φλάσμα U; it. l. 10. — 10. ἐπαγέσθω ex em.; ἐπαναγέσθω RU. — Ib. Ὡς ταχύτατα conj.; ὡς ἂν τὰ σχήματα RU.

Mai 144-145.

ιγʹ. Περὶ [τῆς ἔμπροσθεν καὶ ὀπίσω τοῦ] ὤμου διαφορᾶς.

1 Ἐπὶ τῆς ἔμπροσθεν καὶ τῆς ὀπίσω διαφορᾶς τοῦ ὤμου, ἐσχη-
ματισμένου τοῦ πάσχοντος καθὼς δεδήλωται, ὑπτίου μὲν ἐπὶ τῆς
ἔμπροσθεν διαφορᾶς, πρηνοῦς δὲ ἐπὶ τῆς ὀπίσω, κάλου ἢ καιρίας
μεσότης ἐρίῳ ἢ ὀθονίῳ περιειλημένη ὑποτιθέσθω τῇ μασχάλῃ, καὶ
τότε αἱ ἀρχαὶ ἀναγέσθωσαν ὑπὲρ κεφαλῆς, ἀλλὰ μὴ κατὰ κάθετον
τὸν πάσχοντα ὦμον, λοξαὶ δὲ ὡς ἐπὶ τὸν ἀντικείμενον φερέσθω-
2 σαν, καὶ ἀποδιδόσθωσαν ἀκινήτῳ τινὶ πρὸς κράτημα. Ἡ δὲ αἰτία
ἐζήτηται, διὰ τί οὐ κατὰ εὐθὺ ἀνάγονται αἱ ἀρχαὶ, ἀλλὰ λοξούμε-
145 3 ναι φέρονται ὡς ἐπὶ | τὸ ἀντικείμενον μέρος. Οἱ μὲν οὖν περὶ τὸν
Πασικράτην καί τινες ἄλλοι ἔφασαν τοῦτο γίνεσθαι, ἵνα μὴ ὑπὸ
τῆς τοῦ κάλου μεσότητος ἀνελκομένης τῆς τοῦ βραχίονος κεφαλῆς,
ἐμποδίζηται ἡ κατάτασις· ἐπλανήθησαν δὲ τῇ τοῦ μηροῦ ὁμοιότητι
τοῦ πράγματος οὐκ ἔχοντος οὕτως· ὁ μὲν γὰρ μηρὸς ἐπικλινείᾳ

13. RÉDUCTION DE LA LUXATION DE L'HUMÉRUS EN AVANT ET EN ARRIÈRE.

1 En cas de luxation de l'humérus en avant ou en arrière, on place le
malade comme il a été dit (p. 383, l. 5), c'est-à-dire sur le dos pour la luxa-
tion en avant, et sur le ventre pour la luxation en arrière; on introduit
sous l'aisselle le milieu d'une corde ou d'un cordon enveloppé de laine
ou de linge, et dont on ramène les chefs par-dessus la tête; seulement on
ne suivra pas la perpendiculaire de l'humérus malade; mais on fera mar-
cher ces chefs obliquement, dans la direction de l'épaule du côté opposé,
2 et on les assujettira sur quelque objet immobile pour les retenir. On a
agité la question de savoir pourquoi, au lieu de remonter ces chefs en
ligne droite, on les portait obliquement vers le côté opposé. (Cf. ch. 28.)
3 Pasicrate et quelques autres disent qu'on agissait ainsi, de peur que la
tête de l'humérus, attirée en haut par le milieu de la corde, n'empêchât
de pratiquer l'extension vers le bas; ces auteurs se sont laissé tromper par
l'analogie du fémur; car, en vérité, il n'en est pas ainsi; en effet, le fé-

Ch. 13, tit. [τῆς ἔμπρ. κ. ὀπ. τοῦ] Vid.; om. RU. — 5-6. κάθετον πάσχ. RU; ἴσως κατὰ τὸν κάθετον P marg. — 7. πρὸς κρατήματι RU. — 8. ἄγονται R. — 12. ἐμποδίζωνται κατατάσεις R. — Ib. δὲ αὐτοι (sic) τῇ U.

Mai 145.

κέχρηται γαμμοειδεῖ, ὁ δὲ βραχίων κατὰ ἡμίτομον ἐσφαίρωται, καὶ
οὐχ ὥσπερ ὁ μηρὸς, οὕτω καὶ ὁ βραχίων ὑπὸ τῆς μεσότητος τοῦ
κάλου ἀνέρχεται. Τίνος οὖν χάριν τοῦτο γίνεται; ἵνα μὴ ὑπὸ τῆς 4
μεσότητος τοῦ κάλου ἀναπιεζούμενα τὰ τῆς μασχάλης σώματα πλη-
ρώσῃ τὸν τῆς μασχάλης τόπον· τῆς γὰρ κοτύλης ἀναπληρωθείσης,
οὐκέτι τόπον ἕξει πρὸς τὴν ἐνάρθρωσιν ἡ κεφαλὴ τοῦ βραχίονος.
Ὡσαύτως δὲ καὶ ἡμεῖς κατὰ ταὐτὰ τοῖς οὐ πολὺ πρὸ ἡμῶν γενομέ- 5
νοις σχηματίζομεν τὴν καιρίαν ἢ τὸν κάλον διὰ τὴν ἱστορημένην
αἰτίαν. Εἰώθαμεν δέ ποτε καὶ ἄλλως τὸ κράτημα ἐπιτελεῖν· δύο 6
γὰρ βρόχους ἀνισοτόνους πλέκοντες περιτίθεμεν τῷ θώρακι καὶ
τῷ νώτῳ καὶ ὑπὸ τὰς μασχάλας καὶ κατὰ ἀντίθετον ἄξιν τὰς ἀρ-
χὰς ἀποδίδομεν τῷ κρατήματι. Γενομένου δὲ τοῦ κρατήματος κατὰ 7
τὸν ἱστορημένον τρόπον, βρόχον ἰσότονον τῷ βραχίονι περιτίθε-
μεν, καθὼς εἴρηται ἐπὶ τῆς εἰς τὴν μασχάλην τοῦ ὤμου διαφορᾶς,

mur présente une inflexion en forme de gamma (Γ), tandis que l'humé-
rus est arrondi en forme de demi-sphère, et ne remonte pas, comme le
fait le fémur, sous l'action du milieu de la corde. Pourquoi donc agit- 4
on ainsi? pour empêcher que les tissus qui forment l'aisselle ne soient
refoulés par le milieu de la corde et ne remplissent la cavité axillaire : en
effet, si la cavité cotyloïde vient à se remplir, la tête de l'humérus n'aura
plus de place pour rentrer dans l'articulation. Quant à nous, pour la raison 5
que nous venons d'exposer, nous donnons également au cordon ou à la
corde la position que lui donnaient nos prédécesseurs immédiats. Cepen- 6
dant nous avons l'habitude de nous ménager quelquefois aussi d'une
autre manière un point d'appui fixe : à cet effet nous construisons deux
lacs à tension inégale, et nous les plaçons autour de la poitrine et du dos,
en les faisant passer sous l'aisselle; puis nous faisons marcher les chefs
de ces lacs dans une direction opposée, pour les assujettir sur l'objet des-
tiné à les retenir. Ce point fixe obtenu, de la manière que nous venons 7
de décrire, nous plaçons un lacs à tension égale autour du bras, ainsi
que nous l'avons dit en parlant de la luxation de l'humérus dans l'aisselle

1. καθ' ἡμοτομῶν RU. — 3-4. ἀνέρχεται..... κάλου om. R. — 11. καί ante κατά om. R. — Ib. ἄξειν R. — 12. ἀναδίδ. RU.

Mai 145-146.
καὶ τότε τοῦ βρόχου τούτου τὰς ἀρχὰς ἄγομεν κάτω ἐπὶ τὸ τόνιον
καὶ ἀποδίδομεν τῷ ἄξονι, ἵνα [τῇ] τοῦ ἄξονος στροφῇ κράτησις γέ-
8 νηται καὶ κατάτασις. Μετὰ δὲ τὴν αὐτάρκη τάσιν τῇ κατὰ ἴπωσιν
μοχλείᾳ χρώμεθα πρὸς τὴν τοῦ ἄρθρου καταγωγὴν, τῷ θέναρι τῆς
χειρὸς βίᾳ ἰποῦντες τὴν κεφαλὴν τοῦ βραχίονος, καὶ τῇ ἑτέρᾳ
ἀντανακλῶντες τὸν ἀγκῶνα· τὸ δὲ σημεῖον τῆς καταγωγῆς πρόσθεν
9 ἡμῖν ἐδηλώθη. Ἔστιν ὅτε δέ ποτε μετὰ τοῦ ἐξαρθρήματος καὶ κάταγμα
γίνεται κατὰ μέσον τοῦ βραχίονος καὶ ἀνάγκην ἴσχει ὁ ἰατρὸς ὑπὸ
τὸν αὐτὸν καιρὸν ἀμφότερα τὰ συμπτώματα καταρτίσαι· στήσω δὲ
146 τὸν λόγον διδασκαλίας χάριν ἐπὶ τῆς | εἰς τὴν μασχάλην διαφο-
10 ρᾶς, ἅμα τοῦ βραχίονος μέσου κατεαγότος. Ἐζήτησαν δὲ οἱ προ-
γενέστεροι ἄνδρες περὶ τοῦ καταρτισμοῦ τῶν τοιούτων συμπτωμά-
των, καὶ ὁ μὲν Πασικράτης πρῶτον κατήρτισε τὸ ὀλίσθημα, ὅτι
πλείστην ἐζήτει βίαν ἐν τῷ καταρτισμῷ, τὸ δὲ κάταγμα ἧσσον.

(ch. 8, et ch. 12), nous amenons les chefs de ce lacs en bas, à la machine de traction, et nous les assujettissons sur l'axe, afin d'obtenir, en
8 tournant l'axe, l'extension vers le bas avec un point d'appui fixe. Quand l'extension a acquis un degré d'intensité suffisant, nous avons recours, pour faire rentrer le membre dans l'articulation, au mouvement de levier qui agit par refoulement : [à cet effet], nous refoulons violemment, avec la paume de la main, la tête de l'humérus, tandis que, de l'autre main, nous fléchissons le coude en sens inverse; nous avons indiqué plus haut (ch. 10) quel était le signe de la rentrée de l'os dans l'articulation.
9 Il arrive quelquefois que la luxation est compliquée d'une fracture dans le milieu de l'humérus (cf. ch. 29), et que le médecin se trouve dans la nécessité de remédier à peu près en même temps aux deux accidents; comme exemple de ma démonstration je prends le cas où l'humérus s'est luxé dans l'aisselle, en même temps qu'il existe une fracture
10 au milieu de cet os. Nos prédécesseurs ont hésité sur la manière dont il fallait remédier à de pareils accidents; Pasicrate réduisait d'abord la luxation, parce qu'elle réclame, pour être réduite, l'emploi d'une force

2. [τῇ] ex em.; om. RU. — 4. πρός ex em.; περί RU. — 6. τῆς κατὰ γῆς P. — 8. ἴσχειν RU. — 13. καταρτίσαι RU; καταρτισεαι (?) P. — 14. ἧσσον] εἴσω R.

Mai 146.

Ἂν δέ τις ὑπὸ τὸ κάταγμα περιτιθεὶς τὸν βρόχον τῷ αὐτῷ καιρῷ 11
ἀμφότερα τὰ συμπτώματα καταρτίζῃ, τοῦ κατάγματος μᾶλλον ἢ
δεῖ κατατεινομένου, ἐν ᾧ χρόνῳ αὐτάρκως τείνεται τὸ ἐξάρθρημα,
[τὰ] περικείμενα πλέγματα τῷ κατάγματι ὑπερδιατεινόμενα ἀδι-
κηθήσεται [καὶ τὰ] νεῦρα παραλυθήσεται, ἢ ῥαγήσεται· τάχα δὲ
καὶ ὅλα τὰ σώματα, μήπω φθάσαντος τοῦ ἄρθρου χαλασθῆναι. Διὰ 12
ταῦτα ἔδοξεν αὐτῷ ὑπὲρ τὸ κάταγμα βρόχον περιτιθέναι, καὶ πρῶ-
τον τὸ ἐξάρθρημα καταρτίζειν, εἶτα μετὰ τοῦτο τὸ κάταγμα. Ἀρι- 13
στίων δὲ ὑπὸ τὸν αὐτὸν καιρὸν ἠθέλησεν ἀμφότερα τὰ συμπτώματα
καταρτίζειν· ἐὰν γὰρ πρῶτον τὸ ἐξάρθρημα καταρτισθῇ, ἐν τῇ
τοῦ κατάγματος καταρτίσει ὑπόγυος κατηρτισμένη ἡ κεφαλὴ τοῦ
βραχίονος ἐκπεσεῖται. Τὰ δὲ εἰς ἑκάτερον μέρος εἰρημένα ἐγκλή- 14
ματά ἐστιν ἀληθῆ, καὶ διὰ ταῦτα ἡμῖν ἀρέσκει πρῶτον μὲν καταρ-
τίζειν τὸ ἐξάρθρημα, καὶ τότε τὸ κάταγμα, ἀλλὰ μετὰ ἀσφαλείας,

très-considérable, tandis que la fracture en exige moins. D'ailleurs, si l'on 11
réduit simultanément la luxation et la fracture, en plaçant le lacs au-des-
sous de la fracture, elle subira une extension plus forte qu'il ne convient;
puis, au moment où on soumet l'os luxé à une traction d'une vigueur suf-
fisante, les tissus qui entourent la fracture, étant tiraillés outre mesure,
seront lésés, et les nerfs seront paralysés ou déchirés; il peut même arri-
ver que toutes les parties soient ainsi compromises, avant qu'on ait réussi à
obtenir le relâchement de l'articulation. Pour cette raison, Pasicrate jugea 12
qu'il fallait placer le lacs au-dessus de la fracture, et réduire d'abord la
luxation, pour passer ensuite à la fracture. Aristion voulait, au contraire, 13
remédier dans la même séance aux deux accidents: en effet, si l'on réduit
d'abord la luxation, la tête de l'humérus récemment rentrée quittera l'ar-
ticulation au moment où on réduit la fracture. Les objections qu'on se 14
fait des deux côtés sont également justes, et, pour ce motif, nous sommes
d'avis de réduire d'abord la luxation, et ensuite la fracture; mais nous
voulons qu'on le fasse avec précaution, afin que le membre ne sorte pas

1. Ἂν δέ τις conj.; μὲν ἄν τις RU. — 2. ἀμφότερα om. R. — 2-3. ἢ δεῖ ex em. Vid.; ἤδη RU. — 3. ᾧ P; om. RU. — Ib. τὰ ἐξαρθρήματα RU. — 4. [τὰ] ex em. Vid.; om. RU. — 5. [καὶ τὰ] om. RU. — 8-9. Ἀριστείων RU, et sic semp.

Mai 146-147.
15 ἵνα μὴ τῇ τοῦ κατάγματος κατατάσει ἐκπέσῃ καὶ τὸ ἄρθρον. Πρὸς
δὲ τὸν καταρτισμὸν τὸ δὴ ἐκ τῶν κάλων ἠρτημένον σφηνοειδὲς ἐν-
τίθεται εἰς τὴν μασχάλην, καὶ πάλιν αἱ τῶν κάλων ἀρχαὶ ἀνάγον-
16 ται ὑπὲρ κεφαλῆς. Τῷ βραχίονι ὑπεράνω τοῦ κατάγματος βρόχος
καρχήσιος ἢ ἄλλος ἰσότονος περιτίθεται, καὶ τούτου αἱ ἀρχαὶ ἄγον-
ται κάτω, καὶ ἀποδίδονται ἀκινήτῳ τινὶ πρὸς κράτημα, κατὰ ἀνά-
τασιν καταρτισθέντος τοῦ ἄρθρου, ἅτε ἐγκειμένου τοῦ σφηνοειδοῦς
17 εἰς τὴν μασχάλην, ἵνα μείνῃ ἡ κεφαλὴ τοῦ βραχίονος. Ἅμα δὲ καὶ
αἱ τοῦ βρόχου ἀρχαὶ λύονται κάτωθεν, καὶ ὑπὲρ κεφαλῆς ἀναχθεῖ-
147 σαι τῷ κρατή|ματι ἀποδίδονται, ἵνα κατὰ τὸ συναμφότερον ὑπὸ τοῦ
σφηνοειδοῦς καὶ τοῦ βρόχου μείνῃ κεκρατημένον τὸ ἄρθρον ἐν τῇ
18 ἰδίᾳ χώρᾳ. Γενομένων δὲ τούτων, βρόχος ὁ καρχήσιος ἢ ἄλλος ἰσό-
τονος περιτίθεται τῷ βραχίονι, οὗ αἱ ἀρχαὶ ἄγονται κάτω καὶ
ἀποδίδονται τῷ ἄξονι πρὸς τὴν κατάτασιν, ἵνα τὸ κάταγμα κατὰ

15 de l'articulation, par suite de l'extension de la fracture. Pour faire la ré-
duction, nous introduisons donc l'embout en forme de coin suspendu
aux cordes, dans l'aisselle, et nous faisons remonter les chefs de ces
16 cordes par-dessus la tête. Nous entourons le bras, au-dessus de la frac-
ture, d'un *câble* (XLVIII, 9), ou de quelque autre lacs à tension égale,
dont nous amenons les chefs vers le bas, pour les assujettir sur quelque
objet immobile qui puisse les retenir, de manière qu'on réduise la luxa-
tion en tirant vers le haut, attendu que l'embout est placé dans l'aisselle
17 pour retenir en place la tête de l'humérus. En même temps on défait,
en bas, les chefs du lacs, et on les porte par-dessus la tête, pour les assu-
jettir sur l'objet destiné à les retenir, afin que le membre, serré à la fois
par les deux agents, par l'embout et par le lacs, puisse rester en place.
18 Après avoir fait cela, on place le câble, ou quelque autre lacs à tension
égale, autour du bras, on fait descendre les chefs de ce lacs, et on les
assujettit sur l'axe, pour obtenir une extension vers le bas, afin de pou-

2. δέ ex em.; δὲ καί RU. — Ib. δή ex em.; δέ RU. — 6. προσκρατήματι (-τη U) RU, et sic fere semper. — 7. ἐγκείμενον τὸ σφηνοειδές RU. — 11. μήνῃ U. — Ib. ἐν om. R. — 13. ἀνάγονται RU. — 14-p. 390, l. 1. κατὰ κατάτασιν ex em. Vid.; κατὰ κατάταξιν P; κατάταξιν RU.

κατάτασιν καταρτισθῇ, τοῦ ἄρθρου ἄνω κεκρατημένου. Mai 147. Ἀπὸ τοῦ 19 ὤμου ἐπὶ τὸν ἀγκῶνα μέτειμι.

ιδ'. Περὶ διαφορᾶς ἀγκῶνος.

Ἐπὶ τῶν τριῶν τοῦ ἀγκῶνος διαφορῶν, ἐπὶ ὧν ἡ χεὶρ κέκαμπΊαι 1 ἐκτείνεσθαι μὴ δυναμένη, τοῦ πάσχοντος ὑπΊίου ἐσχηματισμένου ἐπὶ τῆς ἐπικειμένης τῇ κλίμακι σανίδος τοῦ βάθρου, καὶ τοῦ τονίου κάτω προσδεδεμένου, βρόχος ἀνισότονος τῷ πήχει περιτιθέσθω πλησίον τοῦ καρποῦ οὗ αἱ ἀρχαὶ [προσδεδέσθωσαν ἐνὶ κλιμακίῳ πρὸς κράτημα, τῷ δὲ βραχίονι περιτιθέσθω βρόχος ἰσότονος οὗ αἱ ἀρχαὶ] ἀναγέσθωσαν ὑπὲρ κεφαλῆς, καὶ ἀποδιδόσθωσαν ἀκινήτῳ τινὶ πρὸς κράτημα, καὶ τότε διπλῆς καιρίας ἡ μεσότης κατὰ τοῦ πήχεως ἐγγὺς τοῦ ἀγκῶνος τασσέσθω, καὶ ταύτης αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω. Λοιπὸν δὴ ἔχοντες ἀρχὰς τοῦ βρόχου τοῦ περικειμένου 2 τῷ βραχίονι ὑπὲρ κεφαλῆς καὶ ἀρχὰς διπλῆς καιρίας κάτω, ἐνερ-

voir réduire la fracture à l'aide de cette espèce d'extension, pendant que le membre est retenu en haut. Je passe de l'épaule au coude. 19

14. RÉDUCTION DE LA LUXATION DU COUDE.

Dans les trois luxations du coude, où le membre est fléchi sans pou- 1 voir s'étendre, nous nous servons d'une échelle, sur laquelle on a placé la planche d'un banc pour y coucher le malade sur le dos; nous lions en bas la machine de traction sur cette échelle, nous entourons l'avant-bras, dans le voisinage du carpe, d'un lacs à tension inégale, dont nous lions les chefs sur l'un des degrés de l'échelle pour les retenir; nous mettons autour du bras un lacs à tension égale, dont nous faisons remonter les chefs par-dessus la tête, pour les assujettir sur quelque objet immobile, afin de les retenir, et alors nous plaçons sur l'avant-bras, dans le voisinage du coude, le milieu d'un cordon double, dont nous amenons les chefs en bas. Les chefs du lacs qui entoure le bras étant donc placés au- 2 dessus de la tête, et ceux du cordon double en bas, nous opérons, dès

Ch. 14, l. 5. *τοῦ βρόχου* U; *trochleis* Vid. — 7. *οὗ* om. R. — Ib. *αἱ* om. U. — 7-9. [*προσδεδ..... ἀρχαὶ*] conj.; om. RU Vid. Cf. Ch. 10, p. 375, l. 10; 376, l. 8, et Ch. 30, p. 442. — 11. *πήχεως* conj.; *ἁπλῶς* RU. — 12. *δέ* RU.

Mai 147-148.
γήσομεν ἢ κατὰ κράτημα καὶ ἀνάτασιν [ἢ κατὰ διάτασιν], ὡς ἐν
3 τοῖς πρόσθεν ἱστορήθη. Μετὰ δὲ τὴν αὐτάρκη τάσιν ταῖς αὐταῖς
μοχλείαις χρησόμεθα ταῖς πάλαι ἐπὶ ὀρθῆς τῆς κλίμακος δεδηλω-
4 μέναις. Ἐπὶ δὲ τῆς πρόσθεν διαφορᾶς ἐκτεταμένης τῆς χειρὸς, πάλιν
τοῦ πάσχοντος ὑπτίου ἐσχηματισμένου, βρόχος ἰσότονος περιτιθέ-
σθω τῷ βραχίονι, οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν ὑπὲρ κεφαλῆς, καὶ ἄλ-
λος βρόχος ἰσότονος τῷ πήχει κατὰ τὰ ἀπολήγοντα μέρη περιτιθέ-
5 σθω, οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω πρὸς τοὺς πόδας. [Αἱ] δὲ τάσεις
6 ὀφείλουσι γίνεσθαι ὡς ἐν τοῖς ἔμπροσθεν ἐκτέθειμαι. Ταῖς δὲ αὐταῖς
μοχλείαις ὀφείλει ἡ κατάταξις τοῦ ἄρθρου γίνεσθαι, τῇ κατὰ ἴπω-
7 σιν καὶ τῇ κατὰ περίσφαλσιν. Ὡσαύτως | καταρτίζειν δεῖ ὡς ἐπὶ τοῦ
148 ὀρθοῦ ἐδηλώθη, καὶ ὅταν τὸ ἕτερον ὀστέον παρὰ φύσιν διατεθῇ,
εἴτε τύχοι ὁ πῆχυς ἐξαρθρήσας, ἢ ἡ κερκὶς παραρθρήσας, πάλιν

lors, soit en tirant par en haut, à l'aide d'un point d'appui fixe, soit en
tirant des deux côtés à la fois, comme nous l'avons exposé plus haut
3 (ch. 10). Quand l'extension a acquis un degré d'intensité suffisant, nous
avons recours aux mêmes mouvements de levier que nous avons indi-
qués, il y a déjà longtemps, en parlant de l'échelle placée perpendicu-
4 lairement. Lorsque le coude est luxé en avant, cas dans lequel le membre
reste étendu, on place également le malade sur le dos; on met autour
du bras un lacs à tension égale, dont on amène les chefs par-dessus la
tête; on entoure les parties fuyantes de l'avant-bras d'un autre lacs à ten-
5 sion égale, dont on fait descendre les chefs vers les pieds. L'extension
6 doit se faire de la manière que j'ai exposée plus haut. Il faut rajuster le
membre à l'aide des mêmes mouvements de levier, c'est-à-dire de ceux
7 qui agissent par refoulement et par glissement rotatoire. Quand l'un des
deux os est dans une position contre nature, que le cubitus se soit luxé
ou que le radius se soit déplacé, on fera encore la réduction comme
nous l'avons indiqué en parlant de l'échelle placée perpendiculairement

1. [ἢ κατὰ διάτ.] conj.; om. RU. — 2. ταῖς ex em.; ἢ ταῖς RU. — 4. πάλιν ex em.; καὶ πάλιν RU. — 6. ὑπεράνω τῆς κεφαλῆς U. — 8. [Αἱ] conj.; om. RU. — 9. ὡς om. U. — 10. κατάτασις RU. — 12. ὄρθρου R; ἄρθρου U. — 13. εἴτε τύχοι ex em.; εἰ τύχῃ R; ἤτοι U. — Ib. ἐξαρθρήσει R; ἐξαρθρήσῃ U. — Ib. ἡ om. R. — Ib. παραρθρήσει R; παραρθρήσῃ U.

Mai 148.

τῷ μὲν βραχίονι ἰσοτόνου περιτιθεμένου βρόχου, καὶ τῶν ἀρχῶν ἄνω ὑπὲρ κεφαλῆς ἀποδιδομένων κρατήματι, τῷ δὲ πήχει ἀνισοτόνου, καθὼς ἐδηλώθη, περιτιθεμένου, καὶ τῶν ἀρχῶν ἀγομένων κατὰ τὸ τόνιον, μοχλειῶν τῶν αὐτῶν δοκιμαζομένων πρὸς τὰς τῶν ὀσΊέων καταταγάς. Σύμπας μοι ἀπήρτισΊαι ὁ περὶ τοῦ ὤμου καὶ 8
τοῦ ἀγκῶνος λόγος, ὥσΊε με δεῖν ἑπομένως περὶ τοῦ καρποῦ ἀποδεῖξαι.

ιε'. Περὶ καρποῦ.

Ὁ καρπὸς [εἰς] τέσσαρας τόπους παραρθρεῖ, ἔσω, ἔξω, ἔμπρο- 1
σθεν, ὀπίσω, καταρτίζεσθαι δὲ ὀφείλει ἤτοι ἐπὶ τοῦ βάθρου, ἢ ἐπὶ τῆς κλίμακος κεκλιμένης, παρακαθημένου τοῦ πάσχοντος τῇ κλίμακι ἢ τῷ βάθρῳ. Σχηματιζέσθω ἡ χεὶρ ὑπΊία μὲν ἐπὶ τῆς ἔσω 2
διαφορᾶς, πρηνὴς δὲ ἐπὶ τῶν λοιπῶν τριῶν διαφορῶν, καὶ τότε τῷ κοίλῳ τῆς χειρὸς πλάγιον καυτήριον προσδεδέσθω [ἢ] πλαγία σκυ-

(ch. 11) : on disposera un lacs à tension égale autour du bras, on fera remonter les chefs de ce lacs par-dessus la tête, pour les assujettir sur quelque objet destiné à les retenir; au contraire, on entourera l'avant-bras, ainsi que cela a été indiqué, d'un lacs à tension inégale, dont on fera marcher les chefs dans le sens de la machine de traction, et on recommandera les mêmes mouvements de levier pour remettre les os en place. J'ai achevé tout ce que j'avais à dire sur [les luxations de] l'hu- 8
mérus et du coude; je dois donc maintenant traiter du carpe.

15. RÉDUCTION DES LUXATIONS DU CARPE.

Le carpe peut se déplacer dans quatre directions, en dedans, en de- 1
hors, en avant et en arrière, et il faut réduire ces déplacements, soit sur le banc, soit sur l'échelle placée horizontalement, en faisant asseoir le malade à côté de l'échelle ou du banc. On placera le bras dans la su- 2
pination, en cas de luxation en dedans, et dans la pronation, pour les trois autres luxations du carpe; alors on liera en travers, sous le creux

2. τῷ ex em.; τοῦ RU. — 4. τόνιον ex em. Vid.; ἐπιτόνιον RU.— 6-7. δεῖξαι R. — Ch. 15, l. 8. [εἰς] om. RU. — 9. ὄπισθεν R. — 13. [ἢ] om. RU.

Mai 148.
3 τάλη. Εἶτα ἀσφαλιζέσθω τὸ μετακάρπιον πρός τι τῶν εἰρημένων,
καὶ τότε τοῖς προκειμένοις ἄκροις τῆς σκυτάλης ἢ τοῦ καυτηρίου
βρόχων ἀνισοτόνων ἀγκύλαι, ἢ διπλῶν καιριῶν μεσότητες περι-
τιθέσθωσαν, ὧν αἱ ἀρχαὶ ἀγέσθωσαν ἔμπροσθεν ὡς ἐπὶ τὸ τόνιον.
4 Τῷ δὲ πήχει πλησίον τοῦ καρποῦ βρόχος ἰσότονος περιτιθέσθω, οὗ
αἱ ἀρχαὶ ἀγέσθωσαν ὀπίσω, καὶ πάλιν τάσεις γινέσθωσαν αἱ μικρῷ
πρόσθεν εἰρημέναι, ἤτοι κατὰ κράτημα καὶ κατάτασιν, ἢ κατὰ κρά-
5 τημα καὶ ἀνάτασιν, ἢ κατὰ διάτασιν. Μετὰ δὲ τὴν τάσιν ἐγκρινέ-
σθωσαν μοχλεῖαι αἱ ἐν τῇ Περὶ τῶν ὀλισθημάτων πραγματείᾳ δε-
δηλωμέναι, ἐπὶ μὲν τῆς ἔσω καὶ τῆς ἔξω διαφορᾶς κατὰ ἴπωσιν,
6 ἐπὶ δὲ τῆς ἔμπροσθεν καὶ ὀπίσω κατὰ παραγωγήν. Μέτειμι δὴ τῇ
τάξει ἐπὶ τὴν ῥάχιν.

3 de la main, un fer à cautère ou un petit bâton. On assujettira le méta-
carpe à un des objets susdits, et, après cela, on placera autour des extré-
mités saillantes du bâtonnet ou du fer à cautère, soit des anses de lacs
à tension inégale, soit des cordons doubles qu'on appliquera par leur mi-
lieu, et on amènera les chefs de ces lacs ou de ces cordons en avant,
4 vers la machine de traction. On entourera l'avant-bras, dans le voisinage
du carpe, d'un lacs à tension égale, dont on amènera les chefs en arrière;
on aura recours de nouveau aux modes d'extension que j'ai décrits un
peu plus haut, soit en prenant un point d'appui fixe et en tirant par le
5 bas ou par le haut, soit en tirant des deux côtés à la fois. Après avoir
pratiqué l'extension, on mettra en œuvre les mouvements de levier que
j'ai exposés dans le traité *Des déplacements articulaires* : en cas de luxa-
tion en dedans ou en dehors, le mouvement qui agit en refoulant, et,
pour les luxations en avant et en arrière, celui qui opère par impul-
6 sion latérale. Pour suivre l'ordre de mon sujet, je passe maintenant à
l'épine du dos.

3. *βρόχου* RU Vid. — Ib. *ἀνισοτόνου* Vid. — 4. *τό* om. R. — 5. *Τῷ διπήχει* R.— 7. *καί* ex em. Vid.; *ἤ* RU. — 8. *ἀνάτασιν* ex em.; *δι' ἀνάτασιν* RU. — Ib. *ἢ κατά* ex em. Vid.; *καί* RU. — 9. *αἱ* om. R.

Mai 149.

| ιϛʹ. Περὶ ῥάχεως.

149

Τῆς ῥάχεως ὑϐώματα [τὰ] πρόσφατα ἐκ πληγῆς γινόμενα καταρτίζεται· πρὸς δὲ τὸν καταρτισμὸν πρηνῆ σχηματίζειν δεῖ τὸν πάσχοντα, ἤτοι ἐπὶ τῆς κλίμακος τῆς ἐχούσης ἐπικειμένην τοῖς κλιμακτῆρσι τὴν σανίδα, ἢ ἐπὶ τοῦ βάθρου, τῶν τροχιλιῶν καθὼς ἐδηλώθη [προσδεδεμένων], ἔπειτα τῇ ῥάχει βρόχους περιτιθέναι ἤτοι ἰσοτόνους δύο, ἕνα μὲν ἄνω ὑπὲρ τὸ ὕϐωμα, ἕνα δὲ κάτω ὑπὸ τὸ ὕϐωμα, ἢ τέσσαρας ἀνισοτόνους ἀντιθέτους, δύο ἄνω καὶ δύο κάτω, καὶ τῶν μὲν ἄνω βρόχων τὰς ἀρχὰς [ἄγειν] ἄνω, τῶν δὲ κάτω κάτω· ἐνεργεῖν [δὲ], ἤτοι κατὰ κράτημα καὶ κατάτασιν, ἢ κατὰ κράτημα καὶ ἀνάτασιν, ἢ κατὰ διάτασιν, πρὸς δὲ τὴν διάτασιν ταῖς τροχιλίαις κατὰ μετάληψιν χρωμένου τοῦ ἐνεργοῦντος, εἶτα ἐγκρίνειν μετὰ τὴν αὐτάρκη τάσιν μοχλείαν καθὼς ὑπέδειξα ἐν τῇ Περὶ 1

16. RÉDUCTION DES LUXATIONS DE L'ÉPINE DU DOS.

Les déviations récentes de l'épine du dos provenant d'une violence extérieure peuvent être réduites : à cet effet, on se sert ou d'une échelle sur les degrés de laquelle on a mis une planche, ou d'un banc, pour y coucher le malade sur le ventre; on attache à ces objets les poulies, ainsi qu'il a été dit (ch. 8 et 12); ensuite on met autour de l'épine du dos, soit deux lacs à tension égale, un au-dessus de la courbure et l'autre au-dessous, soit quatre lacs à tension inégale, tirant en sens inverse, deux en haut et deux en bas; on fait remonter les chefs des lacs d'en haut, tandis qu'on fait descendre ceux des lacs d'en bas; on opère, soit en tirant par en bas ou par en haut, à l'aide d'un point d'appui fixe, soit en tirant des deux côtés à la fois; mais, pour obtenir ce dernier effet, le médecin devra se servir des poulies, afin de produire un mouvement réflexe; quand l'extension a acquis un degré d'intensité suffisant, on aura recours aux mouvements de levier de la manière que j'ai en- 1

Ch. 16, l. 1. [τά] ex em.; om. RU. — 4. τῶν ex em.; καὶ τῶν RU. — 5. [προσδεδεμένων] ex em.; om. RU. — 6-7. ὑπὸ τοὔϐωμα R; ὑπούϐωμα U; ὑπὸ τὸ ὑπόϐωμα P. — 8. [ἄγειν] ex em.; om. RU. — 9. κάτω om. R. — Ib. [δέ] ex em.; om. RU. — Ib. καὶ κατάτασιν ex em. Vid.; ἢ τάσιν RU. — 10. ἢ κατὰ διάτασιν om. R. — 11. εἶτ' U; εἴς τ' R. — 12. τήν om. R.

Mai 149.
2 τῶν ἄρθρων πραγματείᾳ. Ἑπόμενον δέ ἐσΊι δηλῶσαί με τοὺς καταρτισμοὺς τῶν τοῦ μηροῦ ἐξαρθρημάτων.

ιζʹ. Περὶ μηροῦ.

1 Ὁ μηρὸς εἰς τέσσαρας τόπους ἐκπίπΊει, ἔσω, ἔξω, ἔμπροσθεν, ὀπίσω, καὶ ἐπὶ μὲν τῶν τριῶν διαφορῶν ἐσΊιν ἐκτεταμένον τὸ σκέλος κάμπΊεσθαι μὴ δυνάμενον, ἐπὶ δὲ τῆς ὀπίσω διαφορᾶς κέκαμπΊαι μὴ ἐκτεινόμενον. 2 Ἐπὶ τῶν τριῶν διαφορῶν ἐπὶ ὧν ἐσΊιν ἐκτεταμένον τὸ σκέλος, ὕπΊιος ὁ πάσχων σχηματιζέσθω ἐπὶ κλίμακος, ἢ ἐπὶ τοῦ βάθρου, καὶ τότε διπλῆς καιρίας ἢ κάλου μεσότης ἐρίῳ ἢ ὀθονίῳ περιειλημένη τῷ περινέῳ προσΊιθέσθω· αἱ δὲ τοῦ κάλου ἀρχαὶ ἀναγέσθωσαν ὑπὲρ κεφαλῆς. 3 Ἐπὶ μὲν οὖν τῆς ἔξω καὶ τῆς ἔμπροσθεν διαφορᾶς ἀδιαφόρως προσΊίθεται τῷ περινέῳ τῆς καιρίας διὰ ὅλου ἡ μεσότης, ἐπὶ δὲ τῆς ἔσω διαφορᾶς μόνως μεταξὺ τοῦ κατὰ φύσιν μηροῦ καὶ τῆς κεφαλῆς τοῦ καταρτιζομένου κώλου,

2 seignée dans mon traité *Des articulations.* La suite de mon sujet m'amène à exposer la réduction des luxations du fémur.

17. RÉDUCTION DES LUXATIONS DU FÉMUR.

1 Le fémur peut se luxer dans quatre directions, en dedans, en dehors, en avant et en arrière, et, dans les trois [premières] espèces de luxation, le membre est étendu sans pouvoir être fléchi; au contraire, dans la luxation en arrière, le membre est fléchi sans pouvoir être étendu.
2 Dans les trois espèces de luxation où la jambe est étendue [sans pouvoir être fléchie], on se sert de l'échelle ou du banc pour y coucher le malade sur le dos; on applique contre le périnée le milieu d'un cordon double ou d'une corde, enveloppé de laine ou de linge, et on fait remonter les
3 chefs de la corde par-dessus la tête. Pour la luxation en dehors ou en avant, on peut appliquer comme on veut (cf. ch. 33, p. 452, l. 3) le milieu du cordon contre le périnée, sur toute sa surface; dans la luxation en dedans, le cordon doit être exclusivement appliqué entre le fémur intact et la tête de l'os qu'il s'agit de réduire, de peur que le cordon, étant placé

Ch. 17, l. 4. δ. ἐφ' ὧν RU. — 11. διαφόρ. RU. — 12. μόνως conj.; ἡ μὲν ὡς RU.

Mai 149-150.

ἵνα μὴ | ὑποκειμένη τῇ κεφαλῇ τοῦ μηροῦ κωλύῃ κατατείνεσθαι τὸ 150
κῶλον. Τούτου δὲ γενομένου, καρχήσιος βρόχος, ἢ ἄλλος ἰσότονος 4
περιτίθεται τῷ μηρῷ κατὰ τὰ ἀπολήγοντα μέρη, οὗ αἱ ἀρχαὶ ἄγον-
ται κάτω ὡς ἐπὶ τὸ τόνιον, καὶ τῷ τύλῳ τοῦ ἄξονος ἀποδίδονται,
ἵνα τῇ τοῦ ἄξονος στροφῇ κράτημα γένηται καὶ κατάτασις. Ἐξέσται 5
δὲ καὶ κατὰ ἀνάτασιν ἢ κατὰ διάτασιν ἐνεργῆσαι καθὼς ἐπὶ τοῦ
ὤμου δεδήλωται. Μετὰ δὲ τὴν αὐτάρκη τάσιν μοχλείαις κεχρήμεθα 6
ταῖς αὐταῖς ἱστορημέναις ἡμῖν ἐν τῇ Περὶ τῶν ἄρθρων πραγματείᾳ.
Ἐπὶ δὲ τῆς ὀπίσω διαφορᾶς, ἐπὶ ἧς ἔλεξα κεκαμμένον τὸ σκέλος 7
μὴ ἐκτείνεσθαι, [τῶν ἄλλων] μὲν [ἁπάντων ὡσαύτως συντελουμέ-
νων] ἀλλὰ ἢ τοῦ τονίου [οὐ] κάτω προσδεδεμένου, σχηματιζέσθω ὁ
πάσχων καθέδριος μέν, μᾶλλον δὲ προσανανενευκὼς πρὸς τὸ ὕπτιον
σχῆμα, ἐπιῤῥεπὴς πρὸς τὸ ἕτερον ἰσχίον. Ἔπειτα γίνεται τὸ κρά- 8
τημα καθὼς ἐδηλώθη ἐν τῇ Περὶ τῶν ἄρθρων πραγματείᾳ, καὶ τότε

sous la tête du fémur, ne devienne un obstacle à la traction vers le bas.
Après cela, on entoure la partie fuyante du fémur d'un *câble* (XLVIII, 4
9) ou de quelque autre lacs à tension égale, dont on fait descendre les
chefs vers la machine de traction, et on les assujettit sur la cheville de
l'axe, pour obtenir, en le tournant, une traction par en bas, à l'aide
d'un point d'appui fixe. On pourra aussi se servir de la traction par en 5
haut ou de la traction par les deux côtés à la fois, comme on l'a indiqué
en parlant de l'humérus (ch. 12). Quand l'extension a acquis un degré 6
d'intensité suffisant, on a recours aux mouvements de levier que nous
avons exposés dans notre traité *Des articulations*. En cas de luxation en 7
arrière, cas dans lequel j'ai dit que le membre était fléchi sans pouvoir
être étendu, on fait, du reste, les mêmes préparatifs que pour les
autres cas; seulement on n'attache plus la machine de traction en bas,
et on place le malade sur son séant, de telle manière cependant que sa
position se rapproche plutôt de la supination, et en le faisant pencher
sur la hanche saine. Ensuite on se ménage un point d'appui fixe de la 8
manière indiquée dans mon traité *Des articulations*, et alors on entoure

1. ὑποκείμενον RU. — 10. μή om. R. — Ib. [τῶν ἄλλων] conj.; om. RU. — 10-11. [ἁπ. ὡσαυτ. συντ.] conj.; om. RU. — 11. ἀλλὰ ἤ P; ἀλλ' εἰ RU. — Ib. τοῦ om. R. — Ib. [οὐ] conj.; om. RU. — Ib. σχηματιζέσθω P; σχηματίζεσθαι RU. — 13. γίνεται P; τείνεται RU.

Mai 150. βρόχος καρχήσιος, ἢ ἄλλος ἰσότονος περιτίθεται τῷ μηρῷ, οὗ αἱ
ἀρχαὶ ἄγονται κάτω, καὶ ἀποδίδονται τῷ ἄξονι πρὸς τὴν κατάτα-
9 σιν. Μετὰ δὲ τὴν αὐτάρκη τάσιν πρὸς τὴν ἀρθρεμβολίαν ταῖς αὐ-
ταῖς μοχλείαις χρώμεθα ταῖς ἱστορημέναις ἐν τῇ Περὶ τῶν ἄρθρων
πραγματείᾳ, πάλιν δὲ τῇ ἰπίτριδι σπάθῃ κατὰ ἐξελκυσμὸν μοχλευο-
μένῃ ἔξω προβιβαζομένης τῆς τοῦ μηροῦ κεφαλῆς, καὶ τοῦ μὲν σκέ-
λους τῇ κατατάσει ἐκτεινομένου, τοῦ δὲ πάσχοντος κατὰ ἀνατρο-
πὴν ὑπτίου σχηματιζομένου πρὸς τὴν τοῦ ἄρθρου καταταγήν.
10 Σημειούμεθα τὴν ἐμβολὴν ἐκ τῆς ἀπηχήσεως καὶ [τῆς] τοῦ σκέλους
ἐκτάσεως· ἐπὶ πάσης γὰρ διαφορᾶς μετὰ τὸν καταρτισμὸν τεκμαι-
ρόμεθα τὴν καταταγὴν, ἀπαρεμποδίστων ὄντων τῶν τοῦ σκέλους
ἐνεργημάτων, τῆς κάμψεως λέγω καὶ τῆς ἐκτάσεως.

la cuisse du *câble*, ou de quelque autre lacs à tension égale, dont on
mène les chefs vers le bas de l'échelle pour les assujettir sur l'axe, en
9 vue de la traction vers le bas. Quand l'extension a acquis un degré d'in-
tensité suffisant, nous avons recours, pour faire rentrer le membre dans
l'articulation, aux mouvements de levier exposés dans notre traité *Des
articulations :* à l'aide de la verge de refoulement, on exécute des mou-
vements de levier qui agissent par attraction et qui font avancer la tête
du fémur vers l'extérieur; on étend la jambe à l'aide de la traction par
le bas et on place le malade sur le dos, en le renversant, pour obtenir
10 la coaptation du membre. Nous constatons la rentrée du membre dans
l'articulation au bruit [qui se produit] et à l'extension de la jambe; car,
dans toutes les luxations du fémur, nous admettons que la coaptation a
eu lieu lorsque, après les manœuvres de réduction, les fonctions du
membre, je veux dire la flexion et l'extension, n'éprouvent pas d'obs-
tacle.

5-6. μοχλευομένῃ P; μοχλευομένης ex em.; om. RU. — 6. ἔξω καί πρ. RU. — 9. [τῆς] U; ὄντων τοῦ R. — 11. ὄντων τοῦ τοῦ RU. — 12. τάσεως RU.

ιη'. Περὶ γόνατος.

[Τὸ] γόνυ εἰς τρεῖς τόπους παραρθρεῖ, ἔσω, ἔξω, ὀπίσω. | Ἀεὶ δὲ 1-2
τοῦ σκέλους ἐκτεταμένου, ἐπὶ μὲν τῆς ἔσω καὶ τῆς ἔξω διαφορᾶς 151
ὕπτιον δεῖ σχηματίζειν τὸν πάσχοντα τὸ σκέλος· ἐπὶ δὲ τῆς ὀπίσω διαφορᾶς πρηνῆ, καὶ τότε βρόχους ἰσοτόνους περιτιθέναι τοῖς κώλοις, ἕνα τῷ μηρῷ πλησίον τοῦ γόνατος, καὶ ἄλλον τῇ κνήμῃ ὑπὲρ τὴν γαστροκνημίαν, εἶτα πάλιν τοῦ τονίου κάτω προσδεδεμένου, τὰς αὐτὰς δοκιμάζειν τάσεις τὰς ἐπὶ τῶν ἄλλων ὀλισθημάτων ἱστορημένας, καὶ μοχλείας τὰς δεδηλωμένας ἐν τῇ Περὶ τῶν ἄρθρων πραγματείᾳ.

ιθ'. Περὶ σφυροῦ.

Τὸ δὲ σφυρὸν ποτὲ μὲν ἔσω, ποτὲ δὲ ἔξω διαστρέφεται, ἔστιν 1

18. RÉDUCTION DES LUXATIONS DU GENOU.

Le genou peut éprouver des subluxations dans trois sens, en dedans, 1
en dehors et en arrière. Comme [dans ces cas] la jambe est toujours 2
étendue, on place le patient sur le dos pour la luxation en dedans ou en dehors, et sur le ventre pour la luxation en arrière; on dispose alors des lacs à tension égale autour des membres, l'un sur la cuisse, dans le voisinage du genou, et l'autre sur la jambe, au-dessus du mollet; ensuite on attache la machine de traction en bas, et on recommande les mêmes modes d'extension que nous avons exposés à propos des autres déplacements articulaires, ainsi que les mouvements de levier que nous avons indiqués dans notre traité *Des articulations*.

19. RÉDUCTION DE LA MALLÉOLE.

La malléole peut éprouver des distorsions, tantôt en dedans et tantôt 1

Ch. 18, l. 1. [Τό] ex em.; om. RU. — 2. ἔσω] ἔξω R. — Ib. ἔξω] ὀπίσω R. — 3. ὀπίσω om. U. — 4. βρόχους ex em.; τοὺς βρ. RU.

Mai 151.
2 ὅτε δὲ ὀπίσω ὑποχωρεῖ. Πάλιν δὲ δεῖ τοῦ πάσχοντος καθεδρίου ἐσχηματισμένου, καὶ τοῦ σκέλους ἐκτεταμένου, βρόχον ἰσότονον περιτιθέναι τῇ κνήμῃ, οὗ τὰς ἀρχὰς ἄγειν ὀπίσω, τῷ δὲ σφυρῷ τὸν σανδάλιον ἢ τὸν δράκοντα, οὗ τὰς ἀρχὰς ἄγειν ἔμπροσθεν ἐπὶ τὸν ἄξονα, ἐνεργεῖν [δὲ] κατὰ κράτημα καὶ κατάτασιν [καὶ] τὰς αὐτὰς ἐγκρίνειν μοχλείας τὰς παραδεδομένας ἐν τῷ Περὶ τῶν ὀλισθημάτων
3 ὑπομνήματι. Τούσδε τοὺς καταρτισμοὺς ἐπέδραμον ἐπεὶ προηγουμένως περὶ αὐτῶν λέγω ἐν τῇ κινήσει τῶν ἐφεδράνων ὀργάνων, μάλισΊα δὲ τοῦ ἡμέτερου κατασκευάσματος.

κ'. Νυμφοδώρου γλωσσόκομον.

1 Τὸ Νυμφοδώρου γλωσσόκομόν ἐσΊιν ἐκ τῶν λεγομένων τετρα-
2 γώνων τονίων. Πλευρὰ κατέχει δύο συμπεπηγότα πρὸς ἄλληλα κατὰ τὰ πέρατα δυσὶ τοῖς λεγομένοις διαπήγμασιν· ἔσΊι δὲ τοῖς

2 en dehors; mais elle s'échappe aussi quelquefois par derrière. On fait asseoir le malade; on met le membre dans l'extension; on entoure sa jambe d'un lacs à tension égale, dont on amène les chefs en arrière; on place autour de la malléole le lacs à sandale ou le *dragon* (voy. XLVIII, 4 et 5), dont on amène les chefs en avant sur l'axe; on tire vers le bas à l'aide d'un point d'appui fixe, et on pratique les mouvements de levier
3 que j'ai exposés dans mon traité *Des déplacements articulaires.* J'ai passé rapidement sur ces [dernières] réductions, parce que je traite spécialement ce sujet en parlant de l'action des machines à siége, et surtout de celle de mon propre appareil.

20. GLOSSOCOME DE NYMPHODORE.

1 Le glossocome de Nymphodore appartient à la classe des machines
2 appelées *machines de traction carrées.* Cette machine a deux côtés réunis entre eux, à leurs extrémités, par deux pièces du genre de celles qu'on nomme traverses; les dimensions des traverses sont les mêmes que celles

4. τὸν σανδ. P; τὸ σανδ. RU. — 5. [δὲ] ex em.; om. RU. — Ib. [καί] ex em.; om. RU. — 7. Τούσδε τούς ex em.; Τοὺς δέ RU. — Ib. ἐπεί ex em. Vid.; ἐπί RU. — Ch. 20, l. 10-11. τετραγώνων om. R.

Mai 151-152.
μέτροις τὰ διαπήγματα τοῖς πλευροῖς ἀνάλογον, μήκει μὲν καὶ πλά-
τει διπαλαιστιαῖα, τῷ δὲ πάχει διδακτυλιαῖα. Ἴσης δὴ οὔσης τῆς 3
ἀναμετρήσεως αὐτῶν, κατὰ λόγον ἐγένετο [τὸ] γλωσσόκομον ἴσον
κυρίως τετραγώνῳ λεγομένῳ. Ἐν μέσοις δὲ | τοῖς πλευροῖς ἀνεσκαμ- 4
μένοις καὶ κεκοιλασμένοις κοιλότησιν ἐπιπολαίοις ἄξων ἐστὶ κρυπτὸς 152
μέσον ἔχων τύμπανον, καὶ τούτου τοῦ τυμπάνου ἑκατέρωθεν ἤτοι
ἀγκύλια σιδηρᾶ δύο τὰ πάντα ἢ τρήματα γέγονε πρὸς κάλων ἔν-
δεσιν, ὧν ἡ ἔνδεσίς ἐστι τοιαύτη· δύο κάλοι κατὰ τὰ μέσα μέρη
περιτίθενται τοῖς ἀγκυλίοις καὶ ἀμματίζονται ἑκατέρωθεν πλησίον
τῶν τρημάτων. Τεσσάρων δὲ οὐσῶν ἀρχῶν, δύο μὲν ἀρχαὶ διεκβάλ- 5
λονται διὰ τοῦ ἐμπροσθίου διαπήγματος τετρημένου ἔσωθεν ἔξω·
αἱ δὲ λειπόμεναι δύο διὰ τοῦ ὀπισθίου. Τῷ δὲ τυμπάνῳ παρέστηκε 6
κατὰ εὐθὺ Φακωτὸς κοχλίας ὁ λεγόμενος καὶ κατὰ ἐπισύνθεσιν κο-
χλιάξων, οὗ τὸ ἄκρον ἔγκειται εἰς ἐπιπόλαιον κοιλότητα τοῦ ἐμ-

des côtés; leur longueur et leur largeur sont de deux palmes, et leur
épaisseur est de deux doigts. Comme ces dimensions sont égales, le glos- 3
socome équivaut donc naturellement à un carré proprement dit. On creuse 4
et on façonne, sur la partie médiane de chacun des côtés, un enfoncement superficiel, et ces enfoncements contiennent un axe caché, dont le milieu porte un tambour; de chaque côté de ce tambour, il y a des boucles en fer ou des trous, qui sont, en tout, au nombre de deux, et qui ont été faits pour y fixer des cordes; voici de quelle manière on les y fixe : on place, par le milieu, une corde autour de chaque boucle, et, de chaque
côté [du tambour], on fait un nœud à la corde, près des trous. Alors il y 5
aura quatre chefs; on en fait passer deux de dedans en dehors par la traverse antérieure, qui est percée, et les deux qui restent par la traverse
postérieure. A côté du tambour se trouve une vis lenticulaire, placée 6
droit sur lui; on la désigne aussi par le nom composé d'*axe-vis;* son extrémité s'engage dans une cavité superficielle de la traverse antérieure;

1. *μέν* om. U. — 2. *Ἴσ. δέ* RU. — 3. [*τό*] ex em.; om. RU. — 5. *ἐπιπολαίαις* RU. — 6. *τούτου* om. R. — 7. *ἀγκυλαῖα* RU. — Ib. *κάλλων* R, et sic semper. — 8. *ὧν ἡ ἐνδ.* om. R. — Ib. *καὶ κατά* R. — 10. *Τεσσάρων*] *Πλησίον* R. — 11. *τετρημέναι* U; *τετρημέναι τε* R. — 12. *Τὸ δὲ τύμπανον* R. — 13-14. *κοχλιάξων* P Vid.; *κοχλιάζων* RU, et sic semper.

Mai 152. προσθίου διαπήγματος, τὸ δὲ ἑλικωτὸν μέρος τῷ τυμπάνῳ ἔγκειται, τὸ δὲ λειπόμενον αὐτοῦ μῆκος διενήνεκται διὰ τοῦ τρήματος, καὶ κατὰ τὸ πέρας ἔχει ἐπιτόνιον προσκείμενον πρὸς τὴν σΊροφὴν, ἵνα διὰ τῆς τοῦ ἐπιτονίου σΊροφῆς κινούμενος ὁ κοχλιάξων σΊρέφῃ τὸ τύμπανον· σΊρεφομένου δὲ τοῦ τυμπάνου, σΊρέφηται ὁ ἄξων· κινουμένου δὲ τοῦ ἄξονος, εἰσάγωνται αἱ ἔκθετοι τῶν κάλων ἀρχαὶ

7 πρὸς τὰς τάσεις. Ἔχει δὲ καὶ πώματα τὸ γλωσσόκομον χάριν τοῦ κρύπΊεσθαι τὰ ἐν αὐτῷ μηχανήματα· ἔχει δὲ καὶ κρίκους τέσσαρας τοῖς πλευροῖς προσηλωμένους, δύο ἄνω καὶ δύο κάτω, χάριν τῆς

8 προσδέσεως τοῦ τονίου. Αὕτη ἡ κατασκευὴ κατὰ ἈρισΊίωνά ἐσΊι τὸν Πασικράτους πατέρα, ἐπεί τοί γε κατὰ αὐτὸν τὸν Νυμφόδωρον ἄλλως ἔχει ἡ ὀργανοποιία τοῦ τονίου· ἐν γὰρ τῇ ἀρχαίᾳ κατασκευῇ [ἡ] τοῦ κοχλιάξονος ἔνθεσις οὐκ ἔσΊιν ἐν τοῖς διαπήγμασιν, ἀλλὰ κατὰ τὴν τῶν πωμάτων τάξιν· δύο γάρ εἰσι ψαλίδες σιδηραῖ ἐνηλωμέναι τοῖς πλευροῖς, κατὰ τὰ μέσα μέρη τετρημέναι, ὧν ἡ μὲν

le filet de la vis s'engrène, au contraire, dans le tambour, et, dans le reste de sa longueur, l'axe-vis est enchâssé dans le trou et le dépasse; il est surmonté, à son extrémité, d'un bouton qui sert à le tourner : en conséquence, en tournant ce bouton, on imprime un mouvement à l'axe-vis, qui fera tourner le tambour, mouvement de rotation que le tambour communique à son tour à l'axe, d'où il résulte que, grâce à cet axe, on fait entrer dans la machine les chefs des cordes placés en dehors, afin qu'on

7 puisse pratiquer l'extension. Le glossocome a aussi des couvercles, pour qu'on puisse cacher les pièces qu'il contient; il a, en outre, quatre anneaux cloués sur les côtés, deux en haut et deux en bas, qui doivent

8 servir à attacher la machine. Voilà la structure du glossocome, d'après Aristion, père de Pasicrate; car, d'après Nymphodore lui-même, la machine était composée d'une manière différente : en effet, dans la construction primitive, l'axe-vis n'est pas mis entre les traverses, mais il est placé dans la direction des couvercles; car il y a deux doublures voûtées en fer attachées par des clous aux côtés et percées d'un trou au milieu,

2. ἐλλειπόμενον RU. — 7. τάς om. U. — 11. κατά ex em.; καὶ κατά RU. — 13. [ἡ] ex em.; om. RU. — Ib. ἔνθεσις ex em.; ἔκθεσις R; ἐκθέσεις U. — 15. ταῖς πλευραῖς RU. — Ib. τά om. R.

Mai 152-153.
ὑπόκειται τῷ ἄξονι, ἡ δὲ ἐπίκειται· ἀμφότεραι δὲ παρὰ μέρος τοῦ
τυμπάνου κεῖνται. Ἡ μὲν οὖν κάτω ψαλὶς σΊενότερον ἔχει | τὸ τρῆμα, 9
ἡ δὲ ἄνω εὐρύτερον, τοῦ κοχλιάξονος ἐντὸς κατὰ τὰ πώματα ὑπὸ 153
τῶν ψαλίδων συνεσχημένου. Τὸ μὲν οὖν κάτω πῶμα ἀνεμποδίσΊως 10
κλείεται· τὸ δὲ ἕτερον ἐπικλείεται ἄνω διὰ τοῦ προκειμένου τοῦ
κοχλιάξονος λεπΊοτέρου μέρους, ᾧ τὸ ἐπιτόνιον ἐπιπέπηγεν. Τοῦτο 11
δὲ τὸ πῶμα ἤτοι κατὰ τὴν μεσότητα ἐκτετμημένον [ἐσΊὶν ἢ] διχο-
τομεῖται πλάγιον, καὶ τὸ μέν τι αὐτοῦ μέρος μένει ἀκίνητον, τὸ δὲ
ἐπικλείεται, κατὰ τὴν ἡμίσειαν τοῦ μήκους μηνοειδῶς ἐκκεκομμέ-
νον, ἵνα ὅταν ἐπικλείηται τὸ πῶμα, ἡ μηνοειδὴς ἐκκοπὴ τὸ προ-
κείμενον τοῦ κοχλιάξονος παραδέξηται. Ὁ δὲ ἈρισΊίων οὐ συγκατα- 12
τιθέμενος τῇ τοῦ Νυμφοδώρου κατασκευῇ περισσὸν ἄξονα προσέθηκε
τῷ ὀργάνῳ ἔχοντα τύμπανα καὶ τρήματα, ἵνα [ὁ] μέσος τῶν ἀξό-
νων κινούμενος ὁπουοῦν σΊηρίζηται, καὶ μὴ τῇ βίᾳ παρεγκλίνῃ.

l'une au-dessous et l'autre au-dessus de l'axe; ces voûtes sont placées de
chaque côté du tambour. Le trou de la voûte d'en bas est plus étroit que 9
celui de la voûte d'en haut, et ces voûtes retiennent l'axe-vis à l'intérieur,
dans la direction des couvercles. Le couvercle d'en bas se ferme sans 10
obstacle; mais l'autre est rabattu [et relevé] par la partie la plus mince
de l'axe-vis, qui est saillante et sur laquelle est attaché le bouton. On 11
fait une entaille dans le milieu de ce couvercle ou on le coupe trans-
versalement en deux, et l'une de ses parties reste immobile, tandis qu'on
rabat l'autre, laquelle présente, sur le milieu de sa longueur, une entaille
en demi-lune, pour que la partie saillante de l'axe-vis puisse entrer dans
cette excavation quand on rabat le couvercle. Aristion, qui n'approu- 12
vait pas la construction inventée par Nymphodore, ajouta à la machine
un axe superflu, pourvu de tambours et de trous, afin que l'axe du mi-
lieu pût s'arrêter partout où on voudrait et n'éprouvât pas de déviation

1. ἡ δὲ ἐπίκειται τῷ ἄξονι αὐτῷ· ἀμφ. R. — 3. ἐντός ex em.; ὄντος U; ὄντως R. — 4. ψαλίδων] ἴσως καμάρας P marg. — Ib. συνεχομένου R. — Ib. κάτω e marg. P; om. P text. RU. — 5. ἐπικλ.] οἶμαι ἄνω ἐποτίζεται (ἐπιπωματίζεται?) P. — Ib. πρ. τοῦ ex em.; πρ. διὰ τοῦ RU. — 6. ἐπιτόνιον P; τόνιον RU. — 7. [ἐσΊὶν ἢ] conj.; om. RU. — 10. ἐπικλίνηται R. — 13. [ὁ] ex em.; om. RU. — 14. ὁπουοῦν ex em.; ὅπου ἂν RU. — Ib. μήτε μία R.

Mai 153-154.
13 Μετέθηκε δὲ καὶ τοὺς κρίκους πλησίον τοῦ ἐμπροσθίου διαπήγμα-
τος, ἵνα τοῦ τονίου ἡ πρόσδεσις μὴ γίνηται κατὰ τὴν τῶν πωμά-
των τάξιν, ἀλλὰ κατὰ τὴν τοῦ ἐμπροσθίου διαπήγματος, ἅμα δὲ καὶ
τὰς ἀρχὰς τῶν κάλων διὰ τῶν πωμάτων ἐξέβαλεν, ἃς μὲν ἄνω, ἃς
14 δὲ κάτω. Τῇ τῶν κρίκων διαθέσει ἡμεῖς συναινοῦμεν, τὸν δὲ δεύτε-
ρον ἄξονα ὡς περισσὸν παραιτούμεθα· αὐτάρκης γάρ ἐστιν ὁ εἷς
15 ἄξων πρὸς τὴν χρείαν ἐξ εὐτόνου ὕλης κατεσκευασμένος. Εἰρημέ-
νης ἡμῖν τῆς κατασκευῆς τοῦ γλωσσοκόμου, ἀκόλουθόν ἐστι καὶ ἐπὶ
τὴν τοῦ ὀργάνου κίνησιν χωρῆσαι.

κα'. Περὶ κινήσεως τοῦ ὀργάνου.

1 Ἐπὶ τῶν τοῦ ὤμου ἐξαρθρημάτων, μάλιστα δὲ ἐπὶ τῆς εἰς τὴν μα-
σχάλην διαφορᾶς, τῆς κλίμακος παρασκευασθείσης ὡς ἐδηλώθη ἐν τῇ
κινήσει τοῦ Νειλέως πλινθίου, ἀντὶ τοῦ πλινθίου νῦν ἀσφαλιζέσθω
154 πρὸς τὴν κλίμακα τὸ ὄργανον, καὶ προσδε|δέσθω τῇ κλίμακι κατὰ

13 par suite de la violence avec laquelle on agissait sur lui. Aristion déplaça
aussi les anneaux et les mit près de la traverse antérieure, afin qu'on
n'attachât pas la machine dans la direction des couvercles, mais dans
celle de cette traverse; en même temps il passa les cordes à travers les
14 couvercles, les uns en haut et les autres en bas. Nous sommes d'accord
avec Aristion quant à la disposition des anneaux; mais nous rejetons
le second axe comme inutile : en effet, un seul axe suffit pour l'usage
qu'on veut en faire, pourvu qu'il soit fabriqué avec des matériaux so-
15 lides. La construction du glossocome étant exposée, nous devons passer
à l'action de cette machine.

21. DU MODE D'ACTION DU GLOSSOCOME.

1 Pour les luxations de l'humérus, surtout pour celle qui se fait dans l'aisselle, on prépare l'échelle ainsi que nous l'avons indiqué en parlant de l'action du *plinthium* de Nilée (ch. 8); seulement on assujettit sur l'échelle, au lieu du *plinthium*, la machine dont nous parlons actuelle-

2. τοῦ ex em.; διὰ τοῦ RU.— 5. συναινοῦμεν P; συνενοῦμεν U; συνονοῦμεν R. — Ib. τὸν δέ ex em.; ὧν τόν RU. — Ch. 21, l. 12. Νιλέως R, sic semp.— Ib. νῦν om. R. — 13-p. 404, l. 1. κατὰ τὸ κλιμάκιον ex em.; κ. τὴν κλίμακιν (κι R) RU.

τὸ κλιμάκιον, μὴ κατὰ τὴν τῶν ϖωμάτων τάξιν, ἵνα μὴ ὑπὸ τοῦ Mai 154.
κοχλιάξονος ἐγκόπlωνται αἱ καιρίαι, ἀλλὰ κατὰ τὸ ἐμπρόσθιον
διάπηγμα, κρίκων ϖλησίον αὐτοῦ ὄντων. Ἀνοιγέσθω δὲ καὶ τὰ ϖώ- 2
ματα, εἶτα αἱ τῶν δεδεκότων τὸν ἄξονα κάλων ἀρχαὶ ἐκλαμβανέσθω-
σαν, αἱ μὲν ἄνω, αἱ δὲ κάτω, καὶ τότε ϖρὸς τὸν καταρτισμὸν ὑπο-
πόδιον ϖλησίον τῆς κλίμακος τιθέσθω, ᾧ ἐπιβεβηκὼς ὁ ϖάσχων
ὑπερτιθέτω τὴν χεῖρα, ἵνα τὸ σφηνοειδὲς ἐντεθῇ εἰς τὴν μασχάλην.
Βρόχος ὁ καρχήσιος, ἢ ἄλλος ἰσότονος ϖεριτιθέσθω τῷ βραχίονι, οὗ 3
[αἱ] ἀρχαὶ ἀγέσθωσαν ϖρὸς τὰς ἄνω τῶν κάλων ἀρχὰς, ἵνα τῇ τῶν
μηχανημάτων κινήσει εὐθύπορος γένηται κατάτασις, καὶ ἡ κατὰ μετά-
ληψιν τρόπῳ τοιούτῳ. Αἱ ἀρχαὶ τοῦ βρόχου διὰ τῶν κάτω τροχιλιῶν 4
μεταλαμβάνονται καὶ ἐπάγονται, καὶ ϖρὸς τὰς τῶν κάλων ἀρχὰς
ἀμματίζονται, ὅτε ϖάλιν συμβαίνει τῇ κινήσει τῶν τοῦ γλωσσο-
κόμου μηχανημάτων κατάτασιν γίνεσθαι τὴν κατὰ μετάληψιν τῶν

ment; on la fixe sur l'échelon, non dans la direction des couvercles, pour éviter que l'axe-vis n'empêche [le mouvement libre] des cordons, mais dans le sens de la traverse antérieure, près de laquelle il y a des anneaux. On ouvrira aussi les couvercles; ensuite on fera passer à 2
l'extérieur de la machine les cordes liées sur l'axe, les unes en haut et les autres en bas; alors, pour opérer la réduction, on mettra près de l'échelle un escabeau, sur lequel le malade devra monter pour passer son bras par-dessus le degré de l'échelle, afin qu'on puisse placer l'embout en forme de coin dans l'aisselle. On place le câble (XLVIII, 9) 3
ou quelque autre lacs à tension égale autour du bras; on amène les chefs de ce lacs vers ceux des cordes d'en haut, afin que l'agencement des diverses pièces de la machine puisse donner lieu à une traction directe par en bas ou à une traction dans le même sens, mais par mouvement réflexe; cette dernière traction s'obtient de la manière suivante.
On fait passer les chefs du lacs par les poulies d'en bas, on tire sur eux 4
et on les relie par un nœud aux chefs des cordes; il en résulte que l'agencement des diverses pièces du glossocome donne lieu à une traction vers le bas, tenant à une interversion du mouvement (*mouv. réflexe*)

2. ἐκόπ7. U; ἐκκόπ7. R. — 9. [αἱ] ex em.; om. RU. — 13. ὅτε ex em.; ὅτι RU. — 14. μετάλ. ex em.; μετάλ. κατάτασις γίγνεσθαι (γίγνεται U) RU.

Mai 154-155.
5 τοῦ βρόχου ἀρχῶν. Μεταλαμβανομένων δὲ καὶ διὰ τῶν ἄνω, εἶτα
ἀποδεδεμένων ταῖς κάτω τῶν κάλων ἀρχαῖς, πάλιν τῶν μηχανημά-
6 των κινουμένων, ἡ κατὰ ἀντιμετάληψιν γίνεται κατάτασις. Αἱ δὲ
ἑξῆς μοχλεῖαι συντελοῦνται κατὰ τὸν εἰρημένον τρόπον ἐπὶ τῆς εἰς
τὴν μασχάλην διαφορᾶς, ἡ κατὰ ἐξελκυσμὸν ὑπὸ τῆς διπλῆς και-
7 ρίας, τὸ δὲ σφάλμα διὰ χειρῶν, τῆς τάσεως χαλασθείσης. Ἱσΐορή-
θησαν τοῖς ἄλλοις καὶ διὰ τοῦ αὐτοῦ ὀργάνου οἱ κατὰ ἀνάτασιν
8 [καταρτισμοί. Τὸ τόνιον] ἄνω ὑπὲρ κεφαλῆς μετατίθεται, καὶ τότε
τὸ σφηνοειδὲς ἐπερηρεισμένον τῷ κλιμακίῳ, μὴ προσδεδεμένον δὲ
αὐτῷ, ἐντίθεται εἰς τὴν μασχάλην, ἔπειτα αἱ ἀρχαὶ [τῶν ἀπὸ] τοῦ
σφηνοειδοῦς προσάπΊονται ταῖς κάτω ἀρχαῖς τῶν κάλων τοῦ ὀργά-
9 νου. Βρόχος δὲ ὁ καρχήσιος περιτίθεται τῷ βραχίονι, οὗ αἱ ἀρχαὶ
155 ἄγονται κάτω, καὶ ἀ|ποδίδονται κάτω κλιμακίῳ ἀκινήτῳ πρὸς [τὸ]

5 des chefs du lacs. Si on fait passer les chefs du lacs par les poulies d'en
haut [et par celles d'en bas], et si ensuite on les relie aux chefs des cordes
d'en bas, l'agencement des diverses pièces de la machine produira alors
une traction vers le bas tenant à une double interversion de mouvement.
6 Les mouvements de levier qui doivent succéder se font de la manière que
j'ai décrite à propos de la luxation de l'humérus dans l'aisselle (cf. ch. 8,
p. 369); le mouvement d'attraction s'opère avec le cordon double, et le
glissement avec les mains; avant d'en venir au glissement, on relâchera
7 la tension. Les autres médecins ont encore exposé des méthodes de ré-
duction qui consistent à produire, avec la même machine, l'extension
8 par en haut. On transporte la machine vers le haut, au delà de la tête;
alors, pour placer l'embout en forme de coin dans l'aisselle, on ne le
lie plus sur le degré de l'échelle, on l'appuie seulement sur lui; ensuite
on réunit les chefs des cordes qui viennent de l'embout à ceux des cordes
9 d'en bas de la machine. On entoure le bras du câble; on amène les chefs
de ce lacs vers le bas et on les assujettit, également en bas, sur un des
degrés de l'échelle, afin d'obtenir ainsi un point d'appui fixe et une ex-

2. ἀποδεδεμ. ex em. Vid.; ἀποδιδομ. RU.— Ib. τῶν μ. ex em.; γὰρ τῶν μ. RU. — 5. ἡ ex em.; ἤ U; om. R. — Ib. ὑπό ex em.; ἐπί RU. — 7. δι' αὐτοῦ τοῦ ὀργ. RU. — 8. [καταρτισμοί. Τὸ τόνιον] conj.; om. RU. — Ib. μετατίθ. ex em.; ὑπερμετατίθ. RU. — 9. ἐπερηρεισμένον P; ἐπιρισμένον U; ὑπερεισμένον R. — 10. [τῶν ἀπό] ex em.; om. RU. — 13. [τό] ex em.; om. RU.

Mai 155.

κράτημα γίνεσθαι καὶ ἀνάτασιν εὐθύπορον. Δύναται δὲ [καὶ] κάτω 10
τοῦ τονίου δεδεμένου ἀνάτασις ἡ κατὰ μετάληψιν [γίνεσθαι]. Τῶν 11
τοῦ βρόχου ἀρχῶν ἀποδεδομένων τῷ κρατήματι ὡς ἱσ7όρηται, αἱ ἀρχαὶ τῶν ἀπὸ τοῦ σφηνοειδοῦς κάλων διὰ τῶν τροχιλιῶν μεταληφθεῖσαι ἀποδίδονται ταῖς ἄνω ἀρχαῖς τῶν τοῦ ὀργάνου κάλων, ἵνα τῇ τῶν μηχανημάτων κινήσει ἡ κατὰ μετάληψιν γίνηται ἀνάτασις. [Ἡ δὲ διάτασις] γίνεται τῶν τοῦ βρόχου ἀρχῶν μηκέτι τῷ 12
κρατήματι, ἀλλὰ τοῖς κάλοις τοῦ ὀργάνου ἀποδιδομένων, ἤτοι κατὰ εὐθὺ τοῖς ἄνω, ἢ κατὰ μετάληψιν τοῖς κάτω. Πάλιν μετὰ τὴν αὐ- 13
τάρκη τάσιν ταῖς αὐταῖς μοχλείαις ἐχρήσαντο ταῖς μικρῷ πρόσθεν εἰρημέναις. Εἴρηταί μοι τὰ τῆς ἱσ7ορίας· ὥσπερ δὲ ἐπὶ τοῦ Νειλέως 14
πλινθίου ἐκτέθειμαι, καὶ ἐπὶ τούτου μοι ἀρέσκει, ὀρθῆς οὔσης τῆς

tension directe par le haut. On peut aussi pratiquer l'extension par le haut 10
à l'aide d'une interversion de mouvement, tout en attachant la machine en bas. Après avoir assujetti les chefs du lacs sur le point d'appui fixe, 11
comme cela a été dit plus haut (cf. ch. 8, p. 369), on fait passer les chefs des cordes venant de l'embout en forme de coin par les poulies [d'en haut] et on les attache à ceux des cordes d'en haut de la machine, afin d'obtenir, par l'agencement des diverses pièces du glossocome, une extension par en haut tenant à une interversion de mouvement. L'extension 12
qui se fait des deux côtés à la fois a lieu quand on n'attache plus les chefs du lacs sur le point d'appui fixe, mais sur les cordes de la machine, soit directement sur les cordes d'en haut, soit par interversion de mouvement sur celles d'en bas. Quand on avait obtenu une extension d'une inten- 13
sité suffisante, on recourait aux mouvements de levier dont j'ai parlé un peu plus haut. J'ai raconté ce qui se rapporte à la tradition; mais, comme 14
je l'ai exposé à propos du *plinthium* de Nilée (*ibid.* et ch. 12, p. 383), je suis d'avis d'opérer [uniquement] en tirant par le bas et en attachant l'em-

1. Δύνανται R. — Ib. [καί] ex em. Vid.; om. RU. — 2. ἡ ex em.; δὲ ἡ RU. — Ib. [γίνεσθαι] conj.; om. RU. — 3. ἀποδεδεμένων U. — 6. ἡ om. R. — 7. [Ἡ δὲ διάτασις] conj.; om. RU. — Ib. γίνηται καὶ τῶν R; γίνεται ἡ τῶν P. — Ib. τῷ P; om. RU. — 9. τοῖς δὲ κάτω R. — 10. τάσιν τοιαύταις RU. — 10-11. ταῖς... εἰρημέναις P; τοῖς..... εἰρημένοις RU. — 12. τούτου ex em.; τοῦτο RU. — Ib. ὀρθῆς ex em; ὀρθοῦ U; ὄρθρου R. — 12-p. 407, l. 1. οὔσης τῆς κλίμακος ex em. Vid.; ὄντος τοῦ κλιμακίου RU.

Mai 155. κλίμακος, κατὰ κατάτασιν ἐνεργεῖν, ἀσφαλιζομένου τοῦ σφηνοειδοῦς πρὸς κλιμάκιον, τὴν δὲ ἀνάτασιν καὶ τὴν διάτασιν ὑπερτίθεσθαι· ἀσθενεῖς γάρ εἰσιν αὗται αἱ τάσεις· κεκλιμένου δὲ τοῦ πάσχοντος, οὕτω ποτὲ ἐδικαίωσα καταρτίζειν. Ἀρκοῦμαι τοῖς ἱστορημένοις καταρτισμοῖς πρὸς τὴν τοῦ ὀργάνου κίνησιν, παραδείγμασιν αὐτοῖς χρησάμενος· πάντα γὰρ [τὰ] ὀλισθήματα καὶ τοῦτο τὸ ὄργανον καταρτίζειν δύναται, ὥσπερ καὶ τὸ Νειλέως πλινθίον· τὰ μὲν γὰρ μηχανήματά ἐστι διάφορα, οἱ δὲ αὐτοὶ καταρτισμοὶ, ὥστε ὑμᾶς ἀπὸ τῶν προεκτιθεμένων τὴν ὅλην κίνησιν δύνασθαι τοῦ ὀργάνου γινώσκειν.

κβʹ. Ἀπελλίδους ἢ Ἀρχιμήδους τρίσπαστον.

Γνωστέον ἐστὶν ὑμῖν ἐν πρώτοις ὅτι οὔτε ὁ Ἀπελλίδης, οὔτε Ἀρχιμήδης ἦσαν ἰατροὶ, ἀλλὰ μηχανικοὶ ἄνδρες, οἳ καὶ τὸ ὄργανον ἐπε-

bout en forme de coin sur le degré de l'échelle, quand je me sers de l'échelle placée perpendiculairement, et je crois devoir renoncer, dans ce cas, à l'extension par le haut et à celle qui se fait des deux côtés à la fois, car ces modes d'extension sont peu efficaces ; au contraire, quand le malade est couché, j'ai cru pouvoir faire quelquefois la réduction par l'une ou l'autre de ces méthodes. Pour [donner une idée] du mouvement de la machine actuelle, je me contente de signaler les réductions dont il vient d'être question ; ce sont des exemples que j'ai voulu donner, car tous les déplacements articulaires peuvent être réduits par la machine dont nous nous occupons, de même qu'ils peuvent l'être par le *plinthium* de Nilée : en effet, les pièces de ces deux machines sont différentes, mais les réductions sont les mêmes : ce que j'ai exposé plus haut pourra donc vous apprendre également l'action complète de la machine.

22. TRISPASTE D'APELLIDÈS OU D'ARCHIMÈDE.

Sachez d'abord qu'Apellidès et Archimède n'étaient médecins ni l'un ni l'autre ; ils s'occupaient de machines, et ils ont inventé le présent appa-

1. *κατὰ κατάτασιν* ex em. Vid.; *κατάτασιν* U; *κατὰ τάσιν* R. — 6. [*τά*] ex em.; om. RU. — Ib. *τοῦτο τό* ex em.; *τοῦτο* U; *τούτων* R. — Ch. 22, tit. *Ἀπελλίδος* R text. U; *ἀπ' ἀελλίδος* R ind. — 12. *ἦσαν* P; *εἶσαν* U; *ἂν* R.

Mai 155-156.

νόησαν, καθάπερ ἐν τῇ ἱσΊορίᾳ παρειλήΦαμεν, πρὸς τὰς τῶν πλοίων
καθολκὰς, οὐ χερσὶ τῶν κάλων ἑλκο|μένων, ἀλλὰ ἐργάταις· οἱ δὲ τότε 156
ἰατροὶ συσΊείλαντες τὰ τῆς κατασκευῆς μέτρα, τόνιον ὄργανον ἰατρι-
κὸν τὸ τρίσπασΊον τοῦτο πρὸς τοὺς τῶν ἐξαρθρημάτων καὶ τῶν κα-
ταγμάτων καταρτισμοὺς ἐποίησαν. ἜσΊι δὲ αὐτοῦ ἡ κατασκευὴ αὕτη· 2
τὸ ὅλον ἐκ διαΦορᾶς ἐσΊι τῶν λεγομένων τετραγώνων ὑπομήκων·
συμπηγίαν δὲ ἔχει τοιαύτην. Δύο πλευρὰ μήκει τετραπαλαισΊιαῖα, 3
τῷ πάχει δακτυλιαῖα· ταῦτα δὲ τὰ πλευρὰ συνέσχηται πρὸς ἄλληλα
τοῖς διπαλαισΊιαῖοις διαπήγμασι, πάχει δακτυλιαίοις. Τῷ πλάτει 4
μάλισΊα δὲ τὸ ὀπίσθιον διάπηγμα ἑξαδακτυλιαῖον γίνεται διὰ [τὰ]
πώματα, τὸ δὲ ἐμπρόσθιον διπαλαισΊιαῖον. Ὡς δὲ Πασικράτης ἱσΊό- 5
ρησεν, ἐν μέσοις τοῖς πλευροῖς ἀνεσκαμμένοις κοιλότησιν ἐπιπολαίοις
δύο εἰσὶν ἄξονες κρυπΊοὶ πλησίον τῶν πλευρῶν τροχοὺς ἔχοντες·
ἑκάτερος δὲ τροχὸς τέτρηται τρήματι διαμπερεῖ· τὰ δὲ τρήματα

reil, ainsi que la tradition nous l'apprend, pour lancer des vaisseaux; seulement, pour cet usage, on se servait, non pas des mains, mais de cabestans, pour attirer les cordes; les médecins de cette époque réduisirent les dimensions de l'appareil, et firent de ce trispaste une machine médicale de traction pour réduire les luxations et les fractures.
Voici comment il est construit : considéré dans son ensemble, le tris- 2
paste appartient à la classe des machines dites *machines carrées et allongées;* il est fabriqué de la manière suivante. Il y a deux côtés, dont la 3
longueur égale quatre palmes, [la largeur deux palmes,] et l'épaisseur un doigt; ces côtés sont réunis entre eux par des traverses de deux palmes
[de longueur] et dont l'épaisseur est d'un doigt. Quant à la largeur, on 4
donne, à cause des couvercles, une dimension de six doigts à peu près à la traverse postérieure, et une de deux palmes à la traverse antérieure.
D'après ce que dit Pasicrate, les côtés sont creusés au milieu de cavités 5
peu profondes, qui contiennent deux axes cachés, lesquels sont près des côtés de la machine, surmontés à leur tour [chacun] de [deux] roues; chaque roue est percée d'un trou qui va de part en part; ces trous ont été faits pour y attacher des cordes; voici comment on s'y prend

7. *πλευραί* RU. — 8. *συνέσχηται* ex em.; *συνέχεται* P; *συνέχηται* R; *συνεχεῖται* U. — Ib. *προσάλληλα* RU, et sic sæpius. — 9. *διαπαλ.* RU; it. l. 11. — 10. *μάλισΊα*] *ζήτει* U marg. — 10-11. *διὰ πώματα* RU; *διαπώματα* P.

Mai 156.
6 ταῦτα γέγονε πρὸς κάλων ἔνδεσιν· ἔστι δὲ τοιαύτη. Δύο κάλοι λαμ-
βάνονται ἡμματισμένοι κατὰ τὰ πέρατα· οὗτοι οἱ κάλοι εἴρονται
διὰ τῶν τρημάτων τοῦ ἐμπροσθίου ἄξονος καὶ διέλκονται, ἵνα τὰ
ἅμματα τοῖς τρήμασι προσπέσῃ, καὶ τότε ἕκαστος κάλος τῷ κατὰ
αὐτὸν τροχῷ περιειλεῖται διὰ τῶν τρημάτων τοῦ ὀπισθίου ἄξονος,
7 καὶ ἁμματίζεται. Ὁ δὲ ὀπίσθιος ἄξων ἐν μέσῳ τῷ μεταξὺ τῶν τρο-
χῶν διαστήματι τρῆμα ἔχει· πάλιν δὲ καὶ τοῦτο τὸ τρῆμα πρὸς
8 ἔνδεσιν κάλου. Κάλος δὲ εὐμήκης λαμβάνεται διημματισμένος κατὰ
ἓν πέρας, εἶτα εἴρεται διὰ τοῦ δεδηλωμένου τρήματος καὶ ἀνέλκε-
ται, ἵνα τὸ ἅμμα τῷ τρήματι προσπέσῃ, ἔπειτα εἱλεῖται τῇ μεσό-
τητι τοῦ ἄξονος, καὶ τότε τὸ πέρας αὐτοῦ διεκβάλλεται διὰ τοῦ
9 ὀπισθίου διαπήγματος μέσου τετρημένου. Τί δὴ νῦν γίνεται; πρός
τινος τοῦ ἐκθέτου κάλου ἑλκομένου τῇ χειρὶ καὶ ἀνειλημένου στρέφε-
ται ὁ ὀπίσθιος ἄξων· στρεφομένου δὲ τούτου, εἰσάγονται ἄλλαι ἀρχαὶ

6 pour les attacher. On prend deux cordes pourvues de nœuds à leurs extré-
mités; on passe ces cordes par les trous [des roues] de l'axe antérieur et
on les attire par ces trous, afin de faire tomber les nœuds sur eux; alors
on roule chaque corde autour de la roue qui lui correspond, on la fait
passer par les trous [des roues] de l'axe postérieur et on y fait un nœud.
7 Au milieu de l'axe postérieur, dans l'espace qui existe entre les roues,
il y a un trou, et ce trou a également été fait pour y fixer une corde.
8 On prend une corde ayant une longueur considérable, et qui est pour-
vue d'un nœud à l'une de ses extrémités; on passe cette corde par le
trou que nous venons d'indiquer et on l'attire pour faire tomber le
nœud sur le trou; puis on roule la corde autour du milieu de l'axe, et
alors on fait passer le bout de cette corde par la traverse postérieure,
9 qui est munie d'un trou au milieu. Qu'arrive-t-il maintenant? si
quelqu'un attire avec sa main la corde qui sort de la machine et s'il
l'enroule autour de cette main, il fait tourner l'axe postérieur, et la ro-
tation de cet axe fait entrer dans la machine d'autres chefs de cordes

1. ἐνδέσεις RU. — 2. αἴρονται RU. — 5. ὀπισθίου ex em. Vid.; ἐμπροσθίου RU. — 9. εἴρηται U; ἤρηται R. — 12. δή ex em.; δέ RU. — 13. τινος conj.; τήν RU. — Ib. ἀνειλημμένου U; ἀνειλουμένου P.

Mai 156-157.

τῶν ἐκθέτων κάλων· εἰσὶ | δὲ τέσσαρες, δύο καὶ δύο. Τῶν κάλων ἡ 157
ἔνδεσίς ἐστι τοιαύτη· δύο λαμβάνονται κάλοι ἡμματισμένοι κατὰ 10
τὰ πέρατα· οὗτοι οἱ κάλοι εἴρονται διὰ δύο τρημάτων τοῦ ἐμπροσθίου ἄξονος ὄντων ἐν τῷ μεταξὺ διαστήματι τῶν τροχῶν, καὶ διέλκονται, ἵνα τὰ ἅμματα προσπέσῃ τοῖς τρήμασι, καὶ τότε αἱ τῶν κάλων ἀρχαὶ διὰ τοῦ ἐμπροσθίου διαπήγματος τετρημένου ἔσωθεν ἔξω ἐκλαμβάνονται· ἢ εἷς κάλος διπλοῦς, οὗ αἱ ἀρχαὶ διὰ τῶν τρημάτων τοῦ ἐμπροσθίου ἄξονος ἐκλαμβάνονται καὶ διέλκονται, ἵνα τὸ μέσον τοῦ κάλου κατὰ τὸ μεταξὺ διάστημα τῶν τρημάτων γένηται. Ἔπειτα αἱ τοῦ κάλου ἀρχαὶ διὰ τῶν τρημάτων τοῦ ἐμπροσθίου 11
διαπήγματος ἐκλαμβάνονται, ἄλλοι δὲ δύο κάλοι λαμβάνονται ἡμματισμένοι κατὰ τὰ πέρατα. Οὗτοι οἱ κάλοι εἴρονται διὰ δύο τρη- 12
μάτων τοῦ ὀπισθίου ἄξονος, ὄντων μὲν ἐν τῷ μεταξὺ διαστήματι τῶν τροχῶν, κεχωρισμένων δὲ τοῦ μέσου τρήματος. Οὗτοι οἱ κάλοι 13
εἴρονται· εἶτα ὅταν αὐτῶν τὰ ἅμματα προσπέσῃ τοῖς τρήμασι,

qui en sortent; ces cordes sont au nombre de quatre, deux en avant et
deux en arrière. Voici comment on attache ces cordes : on prend deux 10
cordes pourvues de nœuds à leurs extrémités, on les fait passer par deux trous pratiqués dans l'axe antérieur et placés dans l'espace qui sépare les roues, et on attire les cordes par ces trous, pour faire tomber les nœuds dessus; alors on fait passer, de dedans en dehors, les chefs des cordes par la traverse antérieure, qui est percée; ou bien on prend une seule corde double, dont on fait passer les chefs par les trous de l'axe antérieur, et on les attire à travers ces trous, pour faire tomber le milieu de
la corde sur l'espace qui existe entre les trous. Puis on fait passer les chefs 11
de cette corde par les trous de la traverse antérieure, et on prend deux
autres cordes munies de nœuds à leurs extrémités. On passe ces cordes 12
par deux trous pratiqués dans l'axe postérieur et placés dans l'espace
qui sépare les roues, trous distincts du trou du milieu. On passe [donc] 13
ces cordes; puis, quand leurs nœuds sont arrivés sur les trous, on les

1. κάλλων R, et sic sæpius; item sæpius U. — Ib. εἰσί ex em.; εἰς RU. — Ib. τέσσαρες P; τέσσαρας RU. — 2. τῶν δύο RU. — 3. τοῦ ex em.; διὰ τοῦ RU. — 4. τῶν ὄντων RU. — Ib. τροχῶν ex em.; τροχιλλῶν U; τροχίλων R. — 7. ἔξωθεν U. — Ib. λαμβάνονται RU. — 12. δύο ex em.; τῶν δύο R; τῶν U. — 13. ὄντων P; ὂν τῶν U; ὧν τό R. — 14. τροχίλων RU.

Mai 157.

τότε διέλκονται καὶ διεκβάλλονται διὰ τοῦ ὀπισθίου διαπήγματος τετρημένου, ὥστε νῦν εἶναι ἐκθέτων κάλων ἀρχὰς πέντε, ἢ δύο μὲν
14 διὰ τοῦ ἐμπροσθίου διαπήγματος, τρεῖς δὲ διὰ τοῦ ὀπισθίου. Ἑλκομένου δὴ τοῦ μέσου ὀπισθίου κάλου τῇ χειρὶ, καὶ τῶν κρυπτῶν κάλων ἀντιμετειλημένων, ὡς εἴρηται, εἰσάγονται [αἱ] ἔκθετοι τῶν κάλων ἀρχαὶ, αἷς ἀρχαῖς ἀποτείνονται αἱ ἀπὸ τῶν τεινομένων σω-
15 μάτων καιρίαι. Ταύτην τὴν παρασκευὴν ὁ Πασικράτης εἰσηγησάμενος κατηγόρησε τῆς ὀργανοποιίας ὡς ἀπράκτου· ἡ γὰρ ὅλη ἐνέργεια τοῦ ὀργάνου κίνησις γίνεται [τοῦ] ὀπισθίου κάλου τῇ χειρὶ ἑλκομένου· οὐκ ἰσχύσει δὲ ἐν τοῖς καταρτισμοῖς ἡ χεὶρ τὴν τοσαύτην βίαν ὑπομεῖναι, καὶ μάλιστα ἐπὶ μεγάλων ἄρθρων καὶ ἐπὶ σωμάτων εὐτόνων· ἧς αἰτίας χάριν μετεποίησε τὴν ὀργανοποιίαν, καὶ τοὺς δύο κρυπτοὺς ἄξονας ἐκθέτους κατεσκεύασε, τὸν μὲν ἐμπρόσθιον

attire à travers ces trous et on les fait passer par la traverse postérieure, qui est percée; il en résulte que, dès lors, il y a cinq chefs de cordes sortant de la machine, à savoir deux qui passent par la traverse anté-
14 rieure, et trois qui traversent la pièce postérieure de même nom. Lors donc qu'on attire avec la main celle des cordes postérieures qui est placée entre les autres, les cordes cachées se déroulent en sens inverse, et, comme on l'a dit plus haut, les chefs des cordes qui sortent de la machine sont amenés dans son intérieur, et ces chefs tendent les cor-
15 dons venant des parties qu'on doit soumettre à l'extension. Après avoir exposé cette manière de construire la machine, Pasicrate en blâme la structure, prétendant qu'elle est inefficace; en effet, toute son action consiste dans le mouvement de la corde postérieure, qu'on attire avec la main; or, dans une luxation, la main ne pourra pas agir avec une force aussi considérable [que l'opération l'exige], surtout quand il s'agit de grandes articulations et d'individus robustes; pour cette raison, Pasicrate a changé la construction de la machine; il a converti les deux axes cachés en axes saillants, donné à l'axe postérieur des dimensions plus considérables qu'à l'antérieur, et fait, dans le dernier,

3-4. Ἑλκόμεναι δὲ διὰ τοῦ RU. — 5. ἀντιμετειλημμένων RU. — Ib. [αἱ] ex em.; om. RU. — 6. αἷς ex em.; ταῖς R; τάς U. — Ib. αἱ ἀπὸ τῶν τειν. ex em.; τῶν ἀποτειν. RU. — 7. κηρεῖαι R, et sic sæpius. — 9. [τοῦ] ex em.; om. RU. — 10. ἰσχύει R. — 12. μετεποίησαν R.

μικρότερον ἠλασσωμένον ταῖς ἐκθέτοις | ἀποτορνώσεσι, τὸν δὲ ὀπί- 158
σθιον μείζονα καὶ μακροτέρας τὰς ἀποτορνώσεις ἔχοντα. Καὶ τῷ 16
μὲν ἐμπροσθίῳ ἄξονι προσήλωσε τύλους ἐν ταῖς ἐκθέτοις ἀποτορ-
νώσεσι, τῷ δὲ ὀπισθίῳ προσέθηκεν ἐπιτόνια [ἢ] περιαγωγίδας.
Ἐνδεδεμένων δὴ τῶν ἀξόνων δυσεκρίπτως, τοῖς δακτύλοις τὸ ὄρ- 17
γανον ἐν τοῖς καταρτισμοῖς οὕτως ἐκίνησεν. Τὰς ἀπὸ τῶν τει- 18
νομένων σωμάτων καιρίας περιέθηκε τοῖς ἐκθέτοις τύλοις τοῦ ἐμ-
προσθίου ἄξονος, ἵνα τῇ τοῦ ὀπισθίου ἄξονος στροφῇ καὶ τοῦ προ-
σθίου εἰλουμένου ὑπὸ τῶν ἀντειλουμένων κάλων αἱ τάσεις γίνωνται.
Ἀριστίων δὲ ὁ τοῦ Πασικράτους υἱὸς ὑπήντησε τῷ πατρὶ ἠγνοηκότι 19
τὴν ἀρχαίαν τοῦ ὀργάνου κατασκευήν· ἐν γὰρ τῇ ἀρχαίᾳ, φησὶν,
ὀργανοποιίᾳ οὐκ ἐν κοιλότησι πλευρῶν ἐκινοῦντο οἱ ἄξονες, ἀλλὰ

plus petites que dans l'autre, les parties arrondies au tour, parties
qu'il rendit assez longues dans l'axe postérieur. Il cloua des chevilles 16
sur les parties arrondies au tour de l'axe antérieur, et ajouta à l'axe
postérieur des boutons ou des manivelles. Ayant attaché les cordes sur 17
les axes de manière à ce qu'elles ne pussent pas être dérangées facile-
ment, il mettait la machine en mouvement avec les doigts, de la ma-
nière suivante, quand il s'agissait de réduire des luxations. Il plaçait 18
les cordons provenant des parties sur lesquelles on voulait exercer une
traction autour des chevilles de l'axe antérieur, pour obtenir l'exten-
sion en tournant l'axe postérieur, qui imprimait, à son tour, un mou-
vement de rotation à l'axe antérieur, par l'intermédiaire des cordes dé-
roulées en sens inverse. Aristion, le fils de Pasicrate, se posa comme 19
l'adversaire de son père et lui reprocha de n'avoir pas connu l'ancienne
construction de la machine; en effet, dans l'ancienne construction,
disait Aristion, les axes n'opéraient pas leur mouvement dans des ca-
vités creusées sur les côtés, mais autour de pivots cloués sur ces côtés,
et ils étaient pourvus d'une cavité en forme d'alvéole; on peut, du

2. *μακρότερα* U. — 4. *ἐπιτονίας* U. — Ib. [*ἢ*] ex em.; om. RU. — 5. *δή* ex em.; *δέ* RU. — Ib. *δυσεκρίπτως* conj.; *δυσὶ κρυπτοῖς* RU. — Ib. *τοῖς* om. R. — 7. *ξύλοις* RU. — 8-9. *προσθίου* P Vid.; *ὀπισθίου* RU. — 9. *ἐλουμ.* RU. — Ib. *ἀντιλουμένων* RU. — Ib. *αἱ τάσεις*] *αἰτίας ἧς* R. — Ib. *γίγνονται* RU. — 10. *Ἀρτίων* R. — 12. *κυκλότησι* R.

Mai 158.
ϖερὶ κνώδακας ϖροσηλωμένους τοῖς ϖλευροῖς κοιλότητα ἔχοντες ὁλμισκοειδῆ, ὥσπερ ἔσΊι θεάσασθαι τὸ τοιοῦτον γινόμενον ἐπὶ τῶν
20 ὑδραγωγῶν ὀργάνων, διὰ τὴν κατασκευὴν ῥᾳδίως σΊρεφομένων. Οὐδὲ
21 μὴν οἱ τροχοὶ κοῖλοί εἰσιν, ἀλλὰ ὑπερέχοντες. Ἐπείπερ οὖν ὁλμίσκοις ϖερὶ κνώδακας κινοῦνται, καὶ οἱ τροχοί εἰσι μετέωροι, εὐχερέσΊατα τῶν ἀξόνων κινουμένων, ἀνεμπόδισΊοι αἱ τάσεις ἔσονται, κἂν χειρὶ ἕλκηται ὁ κάλος· διὰ γὰρ αὐτὸ τοῦτο καὶ τρίσπασΊον ϖροσηγορεύθη τὸ ὄργανον, ὅτι τρεῖς εἰσιν οἱ ἐνεργοῦντες κάλοι, εἷς μὲν ἔκθε-
22 τος, δύο δὲ κρυπΊοί. Ταῦτα μὲν ὑπὸ τούτου ϖεπιθανολόγηται· ἀληθῆ δὲ ἦν τὰ ὑπὸ τοῦ Πασικράτους εἰρημένα· οὐδὲ γὰρ ἡ χεὶρ ἰσχύει ἕλκουσα τὸν κάλον καταρτίσαι καλῶς, ἀλλὰ τάχα ἴσως ϖρὸς τὴν σχολικὴν ἐπίδειξιν κινῆσαι τὸ ὄργανον, ἡ δὲ ἐν τοῖς καταρτισμοῖς βία διὰ τῆς χειρὸς οὐκ ἐπιγενήσεται· διὰ ἣν αἰτίαν ἔδοξεν ἡμῖν, τῶν αὐτῶν γινομένων τῶν δεδηλωμένων ἐν τῇ ἀρχαίᾳ κατασκευῇ, τρίτον

reste, voir fonctionner un appareil analogue dans les machines qui servent à puiser de l'eau, machines qu'on tourne facilement, à cause de
20 leur mode de construction. En outre, les roues n'étaient pas creuses
21 (*cachées?*), mais proéminentes. Comme les axes se meuvent à l'aide d'alvéoles autour de pivots, et que les roues sont détachées, leur mouvement est très-facile et l'extension n'éprouve pas d'obstacle, même quand on tire la corde avec la main; c'est, d'ailleurs, pour cela même que la machine a reçu le nom de *trispaste* (ou *triple tireur*), parce qu'il y a
22 trois cordes qui agissent, une corde saillante et deux cachées. Tels sont les arguments assez plausibles d'Aristion; néanmoins les objections de Pasicrate étaient justes, car la main n'est pas assez puissante pour réduire convenablement les luxations, en tirant la corde; elle pourra suffire peut-être pour mettre la machine en mouvement, quand on veut faire une démonstration dans un cours; mais on n'obtiendra pas la force exigée pour les réductions : pour cette raison, nous avons cru qu'il fallait, en conservant tous les détails que nous avons indiqués en parlant de l'ancienne construction de la machine, ajouter à cette machine un troi-

1. κοιλότητας RU.— Ib. ἔχοντας RU. — 2. ὁλμισκοειδῆ ex em.; ἑλικοειδῆ U; ἑλικοειδεῖς RP. — 4. τρόχιλοι R. — 6. αἱ τάσεις om. U. — 7. τοῦτο conj.; ϖοῦ RU. — 9. ὑπό om. U. — 11. ἔχουσα R. — Ib. ταχὺς ὡς ϖρός R.

Mai 158-159.

ἄξονα προστιθέναι τῷ ὀργάνῳ ἔκθετον, ὅπως ὁ ὀπίσθιος νῦν μέσος
γένηται ἄξων. Ὁ δὲ μέσος ἐχέτω τρῆμα καὶ ἐν ταῖς ἐκθέτοις ἀπο- 23
τορνώσεσι σκυτάλας, ἢ περιαγωγίδας, ἢ ἐπιτόνια· τοῦ δὲ μέσου
[τοῦ] ὀπισθίου κάλου, | μετὰ τὴν περὶ τὸν ἄξονα περιείλησιν, ἡ 159
ἀρχὴ διείρεται διὰ τοῦ [τοῦ] ἐκθέτου ἄξονος τρήματος, [καὶ] ἐφαμ-
ματίζεται. Τούτων δὲ γενομένων, τῇ τοῦ ὀπισθίου ἄξονος στροφῇ, 24
τῇ τοῦ ἐκθέτου λέγω, ἀντιπεριειλημένου τοῦ κάλου τῷ ἐκθέτῳ ἄξονι,
κινεῖται ὁ μέσος ἄξων· στρεφομένου δὲ αὐτοῦ, κινεῖται καὶ ὁ ἐμ-
πρόσθιος ἄξων· τῇ δὲ τῶν τριῶν ἀξόνων στροφῇ εἰσάγονται [αἱ]
ἔκθετοι τῶν κάλων ἀρχαὶ, αἷς ἀποδέδενται αἱ ἀπὸ τῶν τεινομένων
σωμάτων καιρίαι. Ἔχει δὲ καὶ πώματα τὸ τόνιον ὡς [τὸ] γλωσσό- 25
κομον, ἵνα κρύπτηται τὰ μηχανήματα· ἔχει δὲ καὶ κρίκους τοῖς
πλευροῖς προσηλωμένους τῆς προσδέσεως χάριν. Τοιαύτη ἐστὶν ἡ 26

sième axe, qui devait être saillant, afin que l'axe qui auparavant était
l'axe postérieur devînt maintenant l'axe du milieu. L'axe du milieu doit 23
avoir [dans ce cas] un trou, et, sur ses parties arrondies au tour, des
leviers, des manivelles ou des boutons; puis on prend, parmi les trois
cordes passées par la traverse postérieure, celle qui occupe le milieu;
on fait traverser par le chef de cette corde le trou de l'axe saillant, et
on l'assujettit sur ce trou à l'aide d'un nœud. Quand on a pris ces dis- 24
positions, la rotation de l'axe postérieur, je veux dire de l'axe saillant,
imprime un mouvement à l'axe du milieu, vu que la corde roulée aupa-
ravant autour du dernier axe se déroule maintenant en sens inverse au-
tour de l'autre; la rotation de l'axe du milieu fait mouvoir aussi l'axe
antérieur, et la rotation des trois axes amène dans l'intérieur de la ma-
chine les chefs saillants des cordes, auxquels on a attaché les cordons
venant des parties du corps sur lesquelles on veut pratiquer l'extension.
Cette machine de traction a aussi, comme le glossocome, des couvercles 25
destinés à cacher les appareils; elle a également des anneaux cloués sur
les côtés et destinés à attacher la machine. Voilà quelle est la construction 26

4. [τοῦ] ex em.; om. RU. — 5. *διείρεται* ex em.; *διήρηται* U; *διήρτηται* R; *διειρέρηται* P. — Ib. [τοῦ] ex em.; om. RU. — Ib. *τρήματα* R. — Ib. [καί] ex em.; om. RU. — 5-6. *ἐφαμματίζονται* RU. — 8-9. *στρεφομένου... ἄξων* om. R. — 9. [αἱ] ex em.; om. RU. — 11. *τό* om. R. — Ib. [τό] ex em.; om. RU.

Mai 159.
σύμπασα τοῦ τρισπάστου κατασκευή· οἱ δὲ καταρτισμοὶ οἱ αὐτοί εἰσιν οἱ δεδηλωμένοι ἐπὶ τοῦ γλωσσοκόμου· τὰ μὲν γὰρ κινούμενα μηχανήματά ἐστι διάφορα, εἰσαγωγὴ δὲ κάλων ἡ αὐτὴ, τῶν καιριῶν
27 πρὸς τοὺς κάλους ἀμματιζομένων. Τετελείωται ἡμῖν καὶ ἡ τοῦ τρισπάστου κατασκευή.

κγ'. Περὶ κατασκευῆς τοῦ [τοῦ] τέκτονος ὀνομαζομένου ὀργάνου.

1 Κατεσκεύασται τὸ τοῦ τέκτονος ὄργανον διὰ [τῆσδε] τῆς συμπηγίας· δύο σκέλη ἐπινοήσας ἐπιβεβηκότα βάσει τῇ λεγομένῃ κρηπῖδι, ὀργανικῇ ἀναμετρήσει μεμετρημένα, μήκει μὲν δύο ἥμισυ πηχῶν, ἢ μακρότερα, πλάτει δὲ τετραδάκτυλα, καὶ πάχει τριδάκτυλα, ταῦτα τὰ σκέλη συνέπηξε πρὸς ἄλληλα δυοῖν διαπήγμασιν, ἑνὶ μὲν κάτω, ἀφεστῶτι τῆς βάσεως πενταπαλαιστιαῖον μέτρον,
2 ἄλλῳ δὲ ἄνω κατὰ τὰ τῶν σκελῶν πέρατα. Ὑπὸ δὲ τὸ

complète du trispaste; quant aux réductions [qu'on fait avec cette machine], elles sont les mêmes que celles que nous avons indiquées en parlant du glossocome : en effet, les pièces qu'on met en mouvement dans les deux machines sont différentes; mais la manière dont on introduit les cordes dans la machine, après les avoir réunies par un nœud
27 aux cordons, est la même. Nous avons achevé la description de la structure du trispaste.

23. DE LA STRUCTURE DE LA MACHINE DE L'ARTISAN.

1 On fabrique la machine de l'artisan de la manière suivante : l'artisan en question avait imaginé deux jambes appuyées sur une base appelée *fondement*, jambes dont les dimensions étaient combinées d'après les règles de la mécanique; leur longueur était de deux coudées et demie ou plus grande encore, leur largeur de quatre doigts, et leur épaisseur de trois; il attacha ces jambes l'une à l'autre à l'aide de deux traverses, dont l'une, qui est l'inférieure, est placée à une distance de cinq palmes
2 de la base, et l'autre en haut, à l'extrémité des jambes. Au-dessous de

1. οἱ αὐτοί ex em. Vid.; τοιοῦτοι RU. — 3. ἡ τοιαύτη R. — Ch. 23, tit. [τοῦ] ex em.; om. RU. — 6. [τῆσδε] conj.; om. RU. — 8. ἥμισυ om. R. — 9-10. καὶ πάχει τριδάκτυλα om. R. — 10. συνέπηξε conj.; συμπέπηγεν RU. — 12. κατὰ τὰ ex em.; κατατάττειν R; κατὰ τῶν U. — Ib. πέρατα ex em.; περάτων RU.

Mai 159-160.

κάτω διάπηγμα σανίς ἐστι πλαγία προσπεπηγυῖα τῷ διαπήγματι
καὶ τοῖς σκέλεσι τοῦ ὀργάνου. Ταύτην τὴν σανίδα συνήθως πάν- 3
τες ἐφέδρανον καλοῦσιν, [ὃ] πρὸς τῷ διαπήγματι κατὰ τὴν τοῦ
πλάτους μεσότητα ἐκκέκοπται πῖ ἀνεστραμμένου ἐκκοπῇ· κατὰ δὲ
τὴν τῆς ἐκκοπῆς τάξιν τῷ διαπήγματι προσήλωται σιδηροῦν πῖ.
Κοινότερον δὲ τοῦτο τὸ πῖ καὶ ἡ ἐκκοπὴ ἐγένετο πρὸς ἔνθεσιν 4
πριαπίσκου ὀκταδακτυλιαίου τῷ μεγέθει. Μεταξὺ δὲ τῶν διαπηγμά- 5
των ἔνδον τὰ σκέλη σεσωλήνισται σωληνισμοῖς, | ἵνα ἐν τούτοις κι- 160
νῆται χελώνη τετράγωνος, ἐν τοῖς καταρτισμοῖς σπάθην τε καὶ
ἀγκῶνας [κινοῦσα]· τὸ γὰρ ἐμπρόσθιον μέρος τῆς χελώνης τὸ λεγό-
μενον μέτωπον τέτρηται διανταίως· εἰς δὲ τοῦτο τὸ τρῆμα ἔγκειται
ῥίζα· ἧς τὸ μύουρον πέρας ὀπίσω διενήνεκται τοῦ τῆς χελώνης
πάχους. Τῆς δὲ ῥίζης τὸ προκείμενον πέρας τέτρηται ἐκ τῶν πλα- 6

la traverse inférieure il y a une planche transversale, attachée à la tra-
verse et aux jambes de la machine. Tout le monde a l'habitude d'appeler 3
cette planche *siége*, et ce siége est creusé, au milieu de sa largeur, près
de la traverse, d'une excavation en forme de *pi* renversé (⊔); auprès de
cette excavation, on a cloué sur la traverse un *pi* en fer. Ce *pi* et l'ex- 4
cavation sont destinés l'un et l'autre à permettre l'insertion d'un pria-
pisque, qui a la longueur de huit doigts. Dans l'intervalle qui existe 5
entre les traverses, la face intérieure des jambes est creusée de gouttières,
dans lesquelles doit se mouvoir une tortue rectangulaire, laquelle, au
moment où l'on fait les réductions, imprime un mouvement à une spathe
et à des coudes (voy. ch. 4, p. 346), car la face antérieure de la tortue,
face qu'on appelle *front*, est percée de part en part, et, dans ce trou, est
placée une tige dont l'extrémité se termine en queue de souris, et cette
extrémité traverse toute l'épaisseur de la tortue, en s'y enchâssant et en
la dépassant par derrière. Quant à l'autre extrémité de la tige, elle est 6
proéminente [sur le devant de la tortue] et percée d'un trou qui va

1. τῷ διαπήγματι ex em. Vid.; τοῖς διαπήγμασι RU. — 2-3. καὶ..... διαπήγματι om. R. — 3. [ὅ] ex em.; om. U. — 4. κέκοπται RU. — Ib. πῖ] τῇ R. — Ib. ἀνεστραμμένη RU. — 5-6. σιδ. πυκνότερον R. — 6. δέ om. R. — Ib. τοπικὴ ἡ R. — 7. ὁ κατὰ δακτυλιαίου RU. — 10. [κινοῦσα] e Vid.; om. RU. — 12. ἡ ῥίζα R. — Ib. ἧς ex em. Vid.; εἰς RU.

Mai 160.
γίων εἰς τὰ ϖλάγια· εἰς ὃ τρῆμα ϖερόνη ἔγκειται, ἵνα ἡ ῥίζα μὴ
ἐξέλκηται, ἀλλὰ ἐν τῷ τρήματι οὖσα στρέφηται· ἡ δὲ ϖερόνη κατὰ
7 τὸ τῆς ῥίζης ϖέρας ἔξωθεν κεκάλυπται ἀσπιδίσκης ἐπιθέσει. Γέγονε
δὲ ἡ ῥίζα τῆς σπάθης τῆς ἐν τῷ ὀργάνῳ ἐξαρτήσεως χάριν· σπά-
θην γάρ ἕξει τὸ ὄργανον ἀμβοειδῆ μεγέθει τηλικαύτην ὡς ἀπὸ τῆς
χελώνης διαπηγνύναι ὑπερέχουσαν τὸ ἄνω διάπηγμα τὸ λεγόμενον
8 κέφαλον ἀναλόγως σφηνοειδεῖ. Ταύτης τῆς σπάθης τὸ ἀντικείμενον
ϖέρας τῷ ἀμβοειδεῖ σχήματι κατὰ τὴν αὐτοῦ μεσότητα ἐκκόπτεται
τετραγώνῳ ἐκκοπῇ, εἰς ἥνπερ ἐκκοπὴν κατακέκλεισται τὸ ϖροκεί-
9 μενον τῆς ῥίζης ϖλατύ τε καὶ τετρημένον ϖέρας. Τέτρηται δὲ καὶ
αὐτὴ ἡ σπάθη ἐκ τῶν ϖλαγίων εἰς τὰ ϖλάγια· εἰς ταῦτα δὲ τὰ
τρήματα ϖερόνη ἔγκειται συνοχῆς χάριν τῆς σπάθης ϖρὸς τὴν ῥί-
10 ζαν. Αὐτὴ δὲ ἡ χελώνη κατὰ τὰ μέσα ἑαυτῆς μέρη τέτρηται τρήμασι

d'un côté à l'autre; dans ce trou est placée une tringle; le but de cette
pièce consiste à fixer la tige dans le trou, pendant qu'on la tourne, et à
empêcher que la tige ne s'échappe; la tringle est recouverte extérieure-
7 ment, vers l'extrémité de la tige, d'un petit bouclier placé sur elle. La
tige a été faite pour y suspendre la spathe, qui forme une partie de la
machine : car cette machine doit être munie d'une spathe, ayant [à sa
partie supérieure] la forme d'un rebord de bouclier, et dont les dimen-
sions seront assez considérables pour que, tout en remplissant complé-
tement l'espace qui existe entre la tortue et la traverse supérieure, ap-
pelée *tête*, elle dépasse la dernière pièce à la manière d'un embout en
8 forme de coin. L'autre extrémité de cette spathe, opposée à l'extrémité
en forme de rebord de bouclier, présente, vers son milieu, une excava-
tion rectangulaire, dans laquelle est renfermée la partie large, percée
9 et proéminente de la tige. La spathe elle-même est percée d'un côté à
l'autre, et dans ces trous (c'est-à-dire *celui de la spathe et celui de la tige*)
10 est contenue une tringle faite pour réunir la spathe à la tige. La tortue
elle-même est percée, à sa partie moyenne, de quatre trous, qui sont

4. ἡ om. R. — Ib. σπάθης τῆς om. R. — Ib. χάριν om. R. — 5-6. τῆς χελώνης ex em. Vid.; τοῦ κάτω RU. — 6. διαπηγνύναι conj.; διαπήγματος RU. — 7. φησὶ ὧ εἴδει R. — 8. τὴν τοῦ αὐτοῦ RU. — 11. αὔτη RU; it. l. 13.

Mai 160-161.

τέτρασι τὸν ἀριθμὸν, ἤτοι σΊοιχηδὸν τεταγμένοις, ἢ δυσὶ μὲν ἐμ-
προσθίοις, δυσὶ δὲ ὀπισθίοις. Τὰ δὲ τρήματα ταῦτα γέγονε πρὸς 11
κάλου ἔνδεσιν, ὡς ἐν τοῖς ἐχομένοις δηλώσω. Μέσον δὲ τὸ κέφαλον, 12
τὸ ἄνω διάπηγμα λέγω, τετράγωνον ἔχει ἐκκοπὴν, ἐν ᾗ ἐκκοπῇ
διπλῆ τροχιλία τέτακται περὶ περόνῃ κινουμένῃ. Ἔχει δὲ καὶ ἄλ- 13
λας τὸ κέφαλον δύο τετραγώνους διαμπερεῖς ἐκκοπὰς ἐν ἑκατέρῳ
μέρει τῆς τροχιλίας, μίαν καὶ μίαν, περιεχούσας [τὰ] τετράγωνα
μέρη τῶν ἀγκώνων· δύο γάρ εἰσιν ἀγκῶνες διενηνεγμένοι ἄνωθεν
κάτω, τῇ χελώνῃ ἐπιβεβηκότες, κοιλότητας ἐχούσῃ τετραγώνους
ἐπιπολαίους. Τῶν δὲ ἀγκώνων τὰ μὲν κάτω μέρη τετράγωνα καὶ 14
λεπΊὰ πΊέρνας ὠνόμασαν οἱ ὀργανικοὶ, τὰ δὲ ἄνω πλατέα | τε καὶ 161
περιφερῆ πΊερώσεις. Ἐν δὲ ταῖς ὑπὲρ τὸ κέφαλον τῶν ἀγκώνων 15
πΊερώσεσι διατετρημέναις διανταίοις τρήμασιν ἄξων ἐσΊὶν ἔκθετος,
μέσον ἔχων σφηνοειδὲς, ἐν αὐταῖς [δὲ] ταῖς ἐκθέτοις ἀποτορνώσεσιν

placés ou sur une seule rangée, ou deux en avant et deux en arrière. Ces 11
trous ont été faits pour y attacher une corde, comme je le montrerai
dans la suite. La *tête*, c'est-à-dire la traverse supérieure, a sur le milieu 12
une excavation rectangulaire, dans laquelle est placée une double poulie
qui se meut autour d'une tringle. La *tête* a de plus deux autres excavations 13
rectangulaires, une à gauche et une à droite, excavations qui traversent
de part en part et qui sont placées chacune sur le côté d'une des poulies;
elles contiennent les parties rectangulaires des coudes, car il y a deux
coudes enchâssés de haut en bas dans la *tête*, de manière à la dépasser;
ils s'appuient sur la tortue, qui est pourvue de cavités rectangulaires
et peu profondes. Les mécaniciens ont donné le nom de *talons* aux par- 14
ties inférieures rectangulaires et minces des coudes, et celui d'*ailes* à
leurs parties supérieures, larges et arrondies. (Voy. p. 340.) Dans les 15
ailes des coudes placées au-dessus de la *tête*, et percées de trous qui
vont de part en part, il y a un axe saillant, dont le milieu est surmonté
d'un embout en forme de coin, tandis que ses parties arrondies au tour

2. *δυσὶ δὲ ὀπισθίοις* om. R. — 5. *διπλοῦς τρόχιλος* R; *διπλοῦς τρόχιλλος* U. — Ib. *κινουμένῃ* ex em.; *κινούμενοι* R; *κινούμενος* U. — 7. *τοῦ τροχίλου* RU. — Ib. [*τά*] ex em.; om. RU. — 9. *ἐπιβεβηκότες* P; *ἐπιβεβηκῶτες* U; *ἐπιβεβηκότας* R. — 13. *διεκτετρημέναι* R. — 14. [*δέ*] ex em.; om. RU. — Ib. *ταῖς* om. R.

Mai 161.
16 ἤτοι σκυτάλας, ἢ περιαγωγίδας πρὸς τὴν σΊροφήν. Τέτρηται δὲ
τὰ ἐμπρόσθια μέρη τῶν πΊερώσεων κατὰ τὰ τρήματα [οἷς] συντέ-
τρηται καὶ ὁ ἄξων κατὰ τὰς ἀποτορνώσεις, ἵνα εἴ ποτε πρὸς τὴν
χρείαν, ἐντεθειμέναι περόναι εἰς τὰ τρήματα ἀκίνητον φυλάξωσι
17 τὸν ἄξονα. Ἔτι τε τὸ ὄργανον παρασκέλια ἔχει δύο προσκείμενα
τοῖς τῶν σκελῶν πέρασιν, ἵνα ἐάν ποτε ὡς ἐφέδρανον ἐνεργῇ τὸ
18 ὄργανον, ἐπὶ τὴν βάσιν καὶ τὰ παρασκέλια κινῆται. Ἐπειδὴ ἡ χε-
λώνη διὰ κάλου ἀναβιβαζομένη ἀνάγει τὴν σπάθην καὶ τοὺς ἀγκῶ-
19 νας, ἑπομένως δὴ βούλομαι τὴν τοῦ κάλου ἔνδεσιν δηλῶσαι. Δι-
πλοῦς κάλος λαμβάνεται, οὗ αἱ ἀρχαὶ διὰ δύο τῆς χελώνης τρημά-
των εἴρονται, ἢ τῶν ἐμπροσθίων, ἢ τῶν ὄπισθεν [ἢ τῶν] μέσων
κάτωθεν ἄνω, καὶ ἀνέλκονται, ἵνα ἡ τοῦ κάλου μεσότης γένηται
20 κατὰ τὸ μεταξὺ τῶν τρημάτων διάσΊημα. Εἶτα αἱ ἀρχαὶ ἀνάγονται

16 sont munies de leviers ou de manivelles, pour pouvoir le tourner. Les
parties antérieures des ailes sont percées de trous, qui correspondent
aux trous percés dans les parties arrondies de l'axe, afin que, le cas
échéant, des tringles introduites dans ces trous puissent tenir l'axe dans
17 l'immobilité. La machine a encore deux jambes accessoires, placées près
de l'extrémité des autres jambes, afin qu'on puisse faire reposer la
machine sur la base et sur les jambes accessoires, si parfois on veut
18 qu'elle agisse comme une machine à siége. Comme la tortue, quand elle
est remontée par une corde, amène à son tour vers le haut la spathe et
les coudes, je veux consécutivement indiquer comment on y attache la
19 corde. On prend une corde double, dont on fait passer les chefs de bas
en haut par deux trous de la tortue, soit les trous antérieurs, soit les
postérieurs, soit ceux du milieu; puis on les attire, afin que le milieu
20 de la corde tombe sur l'espace qui existe entre les trous. Ensuite on
amène les chefs de ces cordes vers le haut et on les roule autour de la

2. [οἷς] conj.; om. RU. — 3. καί conj.; δὲ καί RU. — Ib. ὁ om. U. — Ib. κατά ex em.; καί RU. — 4. ἐντεθειμέναις περόναις RU. — 6. σκώλων U; κώλων P. — Ib. μέρεσιν R. — Ib. τό om. U. — 7. περισκέλια U. — Ib. κινῆται ex em.; κινεῖται R; κεῖται U. — Ib. Ἐπεί R. — 8. κάλλων R. — 9. δή ex em.; δέ RU. — 10. τῆς χελώνης ex em.; πήχεων ἢ RU. — 11. εἴρηνται U. — Ib. [ἢ τῶν] ex em. Vid.; om. RU. — Ib. μέσον RU.

Mai 161-162.

καὶ περιειλοῦνται τῇ ἐν τῷ κεφάλῳ διπλῇ τροχιλίᾳ· ἐναλλαγεῖσαι δὲ, ὡς εἴρηται, ἄγονται κάτω καὶ ἀποδίδονται [τοῖς] τύλοις [τοῦ] ἐκθέτου ἄξονος· ἔχει γὰρ τὸ τοῦ τέκτονος ὄργανον καὶ ἄλλον ἄξονα κάτω ἐγκεκλεισμένον τοῖς σκέλεσιν ὑπεράνω τοῦ διαπήγματος ὡς διὰ πενταδακτυλιαίου μέτρου. Οὗτος δὲ ὁ ἄξων δύο τύλους ἔχει μέ- 21
σους, καὶ ἐν ταῖς ἐκθέτοις ἀποτορνώσεσι σκυτάλας ἢ περιαγωγίδας.
Ταύταις δὲ ταῖς σκυτάλαις σΊρεφομένου τοῦ ἄξονος, διὰ τοῦ κάλου 22
ἀναβιβαζομένη ἡ χελώνη συναναβιβάζει τὴν σπάθην καὶ τοὺς ἀγκῶνας ἐπὶ τὸν ἐν ταῖς πΊερώσεσιν ἄξονα πρὸς τοὺς κατὰ ἀνάτασιν καταρτισμούς. Αὕτη ἐσΊὶν ἡ ἀρχαία τοῦ [τοῦ] τέκτονος ὀργάνου 23
κατασκευή.

κδʹ. Κίνησις τοῦ ὀργάνου.

Ἐπείπερ προηγουμένως [τὰ] σΊάσιμα ὄργανα ἐγένοντο ἐπὶ | τοῦ 1 162
ὤμου πρὸς τοὺς κατὰ ὑπεραιώρησιν καταρτισμοὺς, καὶ πρὸς τοὺς ἀλ-

double poulie enclavée dans la *tête;* après avoir ainsi changé leur direction, comme je viens de le dire, on les amène en bas et on les assujettit sur les chevilles de l'axe saillant, car la machine de l'artisan a aussi, à sa partie inférieure, un second axe, resserré entre les jambes et placé à une distance de cinq doigts au-dessus de la traverse [inférieure]. Cet axe est surmonté, au milieu, de deux chevilles, tandis que 21
ses parties arrondies au tour sont munies de leviers ou de manivelles.
Si, à l'aide de ces leviers, on tourne l'axe, la tortue, remontée par la 22
corde, remonte à son tour la spathe et les coudes vers l'axe qui traverse les ailes, dans le but d'obtenir des réductions par une extension vers le haut. Tel est l'ancien mode de construction de la machine de l'artisan. 23

24. ACTION DE LA MACHINE DE L'ARTISAN.

Comme les machines droites ont été faites, en premier lieu, pour les 1
luxations de l'épaule qu'on veut réduire par soulèvement, mais qu'elles

2. [τοῖς] et [τοῦ] ex em.; om. RU. — 4. κάτω ἐγκεκλεισμένον conj.; κάτωθεν κεκομμένον R; κάτωθεν κεκομένον U. — 6-7. σκυτάλας... ταῖς om. R. — 10. [τοῦ] ex em.; om. RU. — Ch. 24, l. 12. [τὰ] ex em.; om. RU.

Mai 162.
λους δὲ τρόπους ἐσῖὶν ἐπιτήδεια, πρόκειται περὶ τῶν τοῦ ὤμου καταρ-
2 τισμῶν δηλῶσαι· ἀρξόμεθα δὲ ἀπὸ τῆς εἰς τὴν μασχάλην διαφορᾶς. Ἵνα
δὲ γένηται ἀπηρτισμένη ἡμῖν ἡ τοῦ ὀργάνου κίνησις, προσῖιθέσθω-
σαν τῷ κατασκευάσματι τροχιλίαι τέσσαρες, δύο μὲν κάτω ἐν τῷ λε-
γομένῳ ἄμβακι τῆς βάσεως, δύο δὲ ἄνω πρὸς τοῖς ἄνω πέρασι τῶν
3 σκελῶν. Ὅταν δὲ καταρτίζηται ὁ πάσχων, πρότερον τὸ σφηνοει-
δὲς ἐρίῳ ἢ ὀθονίῳ περιειλείσθω, καὶ τότε ὑποπόδιον πλησίον τοῦ
4 ὀργάνου τιθέσθω, ᾧ ὑποποδίῳ ἐπιβαινέτω ὁ πάσχων. Ἔπειτα αὐτοῦ
τὰ σκέλη ἀσφαλιζέσθω πρὸς ἄλληλα καιρίᾳ καὶ ἡ χεὶρ ἡ κατὰ
5 φύσιν ἔχουσα παρατεταμένη πρὸς τὰς πλευράς. Εἰς δὲ τὰ τρήματα
τῶν πῖερώσεων καὶ τοῦ ἄξονος ἡ περόνη ἐντιθέσθω, ἵνα μένῃ ἀκί-
6 νητος ὁ ἄξων ἕως τῆς ἐπιτηδείου τῆς κινήσεως χρείας. Γενομένων
δὲ τούτων, ὑπερτιθέσθω ἡ χεὶρ ὑπὲρ τὸν ἄξονα, εἶτα ὅταν τὸ σφη-
νοειδὲς ἐντεθῇ εἰς τὴν μασχάλην, βρόχος ὁ καρχήσιος, ἢ ἄλλος
ἰσότονος περιτιθέσθω τῷ βραχίονι, καὶ αἱ τοῦ βρόχου ἀρχαὶ ἀγέ-

peuvent aussi servir aux autres modes de réduction, je me propose de
disserter sur les luxations de l'humérus; je commencerai par celle qui
2 se fait dans l'aisselle. Afin d'obtenir une action tout à fait complète de
la machine, on ajoute à l'appareil quatre poulies, deux en bas, sur ce
qu'on appelle *le bord* de la base, et deux en haut, près des extrémités
3 supérieures des jambes. Quand il s'agit de réduire la luxation, on en-
toure d'abord de laine ou de linge l'embout en forme de coin; alors
on met près de la machine un escabeau, sur lequel le malade devra
4 se placer. Ensuite on lie ensemble les jambes du patient avec un cor-
don, et on attache le bras intact, en le plaçant dans l'extension le long des
5 côtes (cf. ch. 8). Introduisez la tringle dans les trous des ailes et de l'axe,
afin que cet axe reste immobile jusqu'au moment où vous pourrez faire un
6 emploi utile de son mouvement. Cela fait, le malade passera le bras par-
dessus l'axe, puis on mettra l'embout dans l'aisselle et on entourera le
membre du *câble* (XLVIII, 9), ou de quelque autre lacs à tension égale;
on fera descendre les chefs de ce lacs, et on les assujettira sur les che-

2. ἄρξομαι R. — Ib. δή R. — 4. τρόχιλοι RU. — 8. ἐπιτιθέσθω ᾧ RU. — 10. τὴν πλευρὰν RU. — 11. αἱ περόναι ἐντιθέσθωσαν RU. — 13. ὑπό RU.

Mai 162-163.

σθωσαν κάτω, καὶ ἀποδιδόσθωσαν τοῖς τύλοις τοῦ ἐν τοῖς σκέλεσιν
ἄξονος, τοῦ κάλου μὴ ἐνδεδεμένου ὥσπερ ἐν τῇ κατασκευῇ ἱστο-
ρήθη. Τοῦ δὲ ἄξονος στρεφομένου, εὐθύπορος ἔσται ἡ κατάτασις. 7
Ἡ δὲ κατὰ μετάληψιν κατάτασις τρόπῳ τοιούτῳ γίνεται· [αἱ] ἀρ- 8
χαὶ τοῦ βρόχου πρότερον μεταλαμβάνονται διὰ τῶν κάτω τροχι-
λιῶν, εἶτα ἀνάγονται καὶ ἀποδίδονται τοῖς τύλοις, ἵνα τῇ τοῦ ἄξονος
κινήσει ἡ δεδηλωμένη τάσις γένηται ἡ κατὰ μετάληψιν. Μεταλαμ- 9
βανομένων τῶν τοῦ βρόχου ἀρχῶν διὰ τῶν κάτω τροχιλιῶν, καὶ
τότε περιειλουμένων ταῖς ἄνω τροχιλίαις, εἶτα ἀποδιδομένων τοῖς
τύλοις τοῦ ἄξονος, γίνεται ἡ κατὰ ἀντιμετάληψιν κατάτασις. Οἱ ἐκ 10
κατατάσεως τρόποι εἰσὶν οὗτοι· ὅταν δέ τις βούληται κατὰ ἀνά-
τασιν ἐνεργῆσαι, ἐνδεδεκότος τοῦ κάλου τὴν χελώνην, καθὼς | ἐν τῇ 163
κατασκευῇ ἐδηλώθη, τὰς ἀρχὰς τοῦ βρόχου ἀγέτω κάτω, καὶ ἀπο-
διδότω τινὶ ἀκινήτῳ πρὸς κράτημα, ἔπειτα στρεφέτω τὸν ἄξονα.

villes de l'axe placé entre les *jambes*, supposé qu'on n'ait pas ajusté la corde
sur la machine de la manière que nous avons indiquée en la décrivant.
En mettant l'axe en mouvement, on obtiendra alors une extension directe 7
par le bas. On obtient la même espèce d'extension par un mouvement 8
réflexe de la manière suivante : on fait passer d'abord les chefs du lacs
par les poulies d'en bas; ensuite on les fait remonter et on les assujettit
sur les chevilles de l'axe, afin d'obtenir, en imprimant du mouvement
à cet axe, l'espèce d'extension que nous venons d'indiquer, par un mou-
vement réflexe. Si on fait passer les chefs du lacs par les poulies d'en bas, 9
pour les rouler alors autour des poulies d'en haut et les assujettir ensuite
sur les chevilles de l'axe, on obtient une extension par le bas tenant à un
mouvement doublement réflexe. Telles sont les méthodes où l'extension 10
se fait par le bas; si, au contraire, on veut agir en tirant par le haut, la
corde étant ajustée sur la tortue, comme je l'ai indiqué en décrivant la
machine (p. 419, l. 10 sqq.), on fait descendre les chefs du lacs, et on
les assujettit sur quelque objet immobile destiné à les retenir; ensuite on

4. τούτῳ U. — Ib. [αἱ] ex em.; om. RU. — 7. ἡ ante δεδ. om. U. — Ib. ἡ R. — 7-8. μετάλ. γίγνεται. Μεταλαμβ. R; ἀντιμετάλ. γίγνεται. Μεταλαμβ. U. — 9. τοῖς ἄνω τροχίλοις R. — 10. Οἱ ἐκ] Καί R. — 12. ἐνεργῆσαι om. R. — Ib. ἐνδεδοκότος R. — 13-14. ἀποδίδονται R.

Mai 163.
11 Συμβήσεται δὲ τῇ τοῦ ἄξονος σ7ροφῇ κατὰ μετάληψιν τὴν διὰ τοῦ
12 κάλου ἀναβιβαζομένην χελώνην τὴν ἀνάτασιν ἐπιτελεῖσθαι. Ἐκ δὲ τῶν
εἰρημένων φαίνεται καὶ ὁ τῆς διατάσεως τρόπος· πρὸς δὲ τὴν διά-
τασιν τὰς ἀρχὰς τοῦ βρόχου οὐκέτι δεῖ τῷ κρατήματι ἀποδιδόναι,
ἀλλὰ τῶν ἔσω τύλων τοῦ ἄξονός τινι, ἢ αὐτόθεν, ἢ κατὰ μετάληψιν,
ἵνα μιᾷ τῇ τοῦ μηχανήματος κινήσει ἡ δεδηλωμένη διάτασις γένη-
13 ται. Ἐν ἁπάσαις δὲ ταῖς τάσεσιν ὁ ἄξων ἀκινητείτω καθὼς ἐδη-
14 λώθη. Μετὰ δὲ τὴν αὐτάρκη τάσιν ἐξελκέσθω ἡ τῆς ἀκινησίας τοῦ
ἄξονος [αἰτία] περόνη, καὶ τότε αὐτὸς ὁ ἄξων διὰ τῶν σκυταλῶν,
ἢ τῶν περιαγωγίδων ἐπισ7ρεφέσθω, ἵνα κατὰ ποσὸν ἐπινεύοντος
τοῦ σφηνοειδοῦς, ἡ κατὰ ἐξελκυσμὸν γένηται μοχλεία, ὡς καὶ ἐπὶ
15 τῶν ἄλλων ὀργάνων εἴρηται. Εἶτα ἐν τῷ καταρτίζειν κατατεινομέ-
νου τοῦ βραχίονος, ὑπηρέτης ἐξόπισθεν ἑσ7ὼς καθαπ7έτω τὰς χεῖ-
ρας ἑαυτοῦ κατὰ τοῦ τραχήλου τοῦ καταρτιζομένου πρὸς τὴν τοῦ

11 tourne l'axe. Il advient alors, dès qu'on tourne l'axe, que la tortue,
remontée par la corde, opère l'extension vers le haut à l'aide d'un mou-
12 vement réflexe. De ce que nous venons de dire il ressort clairement aussi
quelle est la méthode par double extension : pour obtenir cet effet, il
ne faut plus assujettir les chefs du lacs sur l'objet destiné à les retenir,
mais sur quelqu'une des chevilles du côté intérieur de l'axe, soit direc-
tement, soit par un mouvement réflexe, afin que le mouvement seul de
cette pièce produise la double extension dont nous parlions tout à l'heure.
13 Mais, quel que soit le mode d'extension qu'on emploie, l'axe [qui tra-
verse les ailes] doit, pendant ce temps, rester immobile, ainsi que nous
14 l'avons indiqué plus haut. Quand l'extension a acquis le degré d'inten-
sité suffisant, on retire la tringle qui maintient l'axe immobile; alors on
tourne l'axe avec les leviers ou les manivelles, afin d'obtenir, en inclinant
légèrement l'embout, le mouvement de levier qui agit par attraction du
membre, ainsi qu'il a été dit pour les autres machines (chap. 8, 12, 21).
15 Quand, au moment de la réduction, on tire le bras en bas, un aide
placé debout derrière le malade doit appliquer ses mains sur le cou,

2. βιβαζομένην RU. — Ib. Ἐκ] Ἐπί RU. — 4. τῷ βρόχῳ RU. — 5. ἢ αὐτόθεν ἢ κάτωθεν κατά R. — 6. μιᾷ] μή R. — 8-9. ἐξελκέσθωσαν αἱ..... περόναι RU. — 9. [αἰτία] conj.; om. RU. — 10. κατά ex em.; τῇ κατά RU; τι κατά P.

σώματος εἰς τοὺς ὑπὸ πόδα τόπους ἀντιμεταγωγήν. Ἐὰν δὲ κατὰ 16 ὑπεραιώρησιν καταρτίζηται ὁ πάσχων, ἅμα τοῦ ὑπηρέτου τὸ δεδηλωμένον ἐνέργημα ποιοῦντος, τὸ ὑποπόδιον ὑφελκέσθω τὸ ὑπὸ τοὺς πόδας τοῦ καταρτιζομένου κείμενον, ἵνα ἐκ τοῦ ὀργάνου κρεμασθῇ ὁ πάσχων. Εἶτα, ὡς ἔφην ἐν ἄλλοις, ἅμα τῇ καθάψει καὶ τῇ ὑπεραιω- 17 ρήσει ἐπιτίθεσθαι δεῖ τῇ διὰ τοῦ σφηνοειδοῦς... κατὰ ἐξελκυσμὸν, χαλασθείσης δὲ τῆς τάσεως, καὶ τὸ σφάλμα ἁρμόζειν, ταῖς χερσὶν ἀμφοτέραις συλλαμβάνοντα τὸ κῶλον καὶ ἀναβιβάζοντα πρὸς τὴν ἐμβολήν. Οὕτω καταρτίζεται ἡ εἰς τὴν μασχάλην τοῦ ὤμου διαφορά· 18 ἐπὶ δὲ τῆς [ἔμπροσθεν καὶ ὀπίσω τοῦ ὤμου] διαφορᾶς σΊρέψαι δεῖ τὸν ἄξονα, ἵνα τὸ μὲν σφηνοειδὲς κάτω γένηται, τὸ δὲ λεῖον αὐτοῦ μέρος ἄνω· τοῦτο γάρ ἐσΊιν ἐπιτήδειον πρὸς τὸν νῦν | καταρτισμὸν 164 τοῦ ὤμου ἐπὶ τῶν προκειμένων διαφορῶν. Γενομένου τούτου, πλη- 19 σίον τοῦ ὀργάνου ὑποπόδιον τιθέσθω, ᾧ ὁ καταρτιζόμενος ἐπιβαι-

afin de pousser le corps en arrière. Si on fait la réduction par soulève- 16 ment, il faut, en même temps que l'aide accomplit la susdite manœuvre, retirer l'escabeau placé sous les pieds du malade, afin qu'il reste suspendu à la machine. L'aide, comme je l'ai dit ailleurs (p. 365-366), 17 appliquera ses mains [sur le cou] et soulèvera en même temps le bras avec l'embout... par attraction; ce n'est qu'après avoir diminué la force d'extension qu'on pourra opérer le glissement, en saisissant le membre avec les deux mains et en le remontant pour le faire rentrer dans l'articulation. C'est ainsi qu'on réduit la luxation de l'humérus qui s'est 18 faite dans l'aisselle; mais, pour la luxation en avant ou en arrière, on retourne l'axe, afin que l'embout soit en bas et que le côté lisse de l'axe soit en haut, car c'est là la disposition de la machine qui convient pour remettre l'humérus en place, attendu qu'il s'agit des espèces de luxations dont nous nous occupons pour le moment. Cela fait, on 19 placera près de la machine un escabeau, sur lequel le malade devra se

3. ἐφελκέσθω RU. — 4. κείμενον ex em. Vid.; κινούμενον R; κινουμένου U. — 5. καθάψει ex em.; κατάσει U; κατατία R. — Ib. τῇ om. R. — 6. ἐπιτιθ. δεῖ τῇ διά ex em.; ἐπὶ τῇ διά U; ἐπιτηδείᾳ R; ἐπιτηδείᾳ μοχλείᾳ P. — 7. χαλασθ. δὲ τῆς P; χαλάσει διὰ τήν RU. — Ib. τάσεως ex em.; τάσιος P; τάσιν RU. — 8. συλλαμβάνοντα conj.; συλλαμβάνειν RU. — Ib. τὰ κῶλα RU. — Ib. ἀναβιβάζοντα conj.; ἀναβιβάσαι RU. — 10. [ἔμπρ. καὶ ὀπ. τοῦ] ex em. Vid.; om. RU.

Mai 164.
νέτω, καὶ τότε τὴν χεῖρα ὑπερτιθέτω, ἵνα κατὰ τοῦ ἄξονος ἐρεισθῇ.
20 Τούτου δὲ γενομένου, βρόχος ἰσότονος περιτιθέσθω τῷ βραχίονι, οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω ὡς ἐπὶ τὸν ἄξονα· τάσεις δὲ γινέσθωσαν αἱ αὐταὶ ταῖς ἐπὶ τῆς εἰς τὴν μασχάλην δεδηλωμέναις διαφορᾶς, καὶ μετὰ τὴν αὐτάρκη τάσιν μοχλεῖαι αἱ παραδεδομέναι ἡμῖν ἐν τῇ τῶν ἄλλων ὀργάνων κινήσει γινέσθωσαν.
21 Μὴ ὄντων δὲ ἀγκώνων δηλονότι, οὐδὲ ἄξονος ἐν ταῖς πτερώσεσιν, ἡ εἰς τὴν μασχάλην διαφορὰ διὰ τῆς σπάθης καταρτίζεται τρόπῳ τοιούτῳ· ἀνακλᾶται ἡ σπάθη, ὥστε αὐτῆς τὸ ἀμβοειδὲς πέρας ὑπερᾶραι τὸ κέφαλον ὡσανεὶ σφηνοειδὲς, καὶ τότε διπλῆς καιρίας μεσότης τάσσεται μεταξὺ τοῦ διαπήγματος καὶ τῆς σπάθης, ἧς αἱ ἀρχαὶ ἔξω ἐῶνται παρειμέναι.
22 Πρὸς δὲ τὸν καταρτισμὸν παρεστῶτος τοῦ πάσχοντος τῷ ὀργάνῳ, ὑπερτίθεται ἡ χεὶρ ὑπὲρ τὸ διάπηγμα, ἵνα ἡ σπάθη ὡς ἄμβη ἐντεθῇ

placer; ensuite il passera son bras par-dessus l'axe, pour pouvoir y ap-
20 puyer ce membre. Puis on entourera le bras d'un lacs à tension égale, dont on fera descendre les chefs sur l'axe; on aura recours aux mêmes méthodes d'extension que nous avons indiquées à propos de la luxation de l'humérus dans l'aisselle, et, quand l'extension aura acquis un degré d'intensité suffisant, on pratiquera les mouvements de levier que nous avons exposés, en parlant du mouvement des autres machines (p. 372
21 et 387). Quand il n'existe dans la machine ni coudes, ni, bien entendu, d'axe passé à travers les ailes, on peut réduire la luxation de l'humérus dans l'aisselle avec la spathe, de la manière suivante : on relève la spathe, et il en résulte que son extrémité, semblable à un rebord de bouclier, dépasse la *tête*, comme si c'était un embout en forme de coin; alors on place le milieu d'un cordon double entre la traverse et la spathe, et on en laisse pendre librement au dehors les chefs.
22 Pour réduire la luxation, le malade se placera près de la machine, et il passera son bras par-dessus la traverse, afin qu'on puisse introduire la spathe dans l'aisselle, comme si c'était une *ambe*. (Voy. Hippocr. *Des artic.*

3. τε R. — 4. αἱ αὐταί P; αὐταὶ αἱ RU. — 5. αἱ om. R. — Ib. παραδιδώμεναι U. — Ib. ἡμῖν P; ὑμῖν RU. — 7. ἄξονος ex em. Vid.; om. RU. — 8. τοιούτῳ P; τούτῳ RU; it. p. 426, l. 15. — 9. κεφάλαιον RU. — 11. ἔξω ἐῶνται ex em.; ἔξωθέν τε RU. — Ib. παραμεῖναι R. — 13. ἄμβη] ἂν U.

Mai 164-165.

εἰς τὴν μασχάλην. Ἔπειτα τῷ βραχίονι ὁ καρχήσιος βρόχος, ἢ ἄλ- 23
λος ἰσότονος περιτίθεται, οὗ αἱ ἀρχαὶ ἄγονται κάτω καὶ ἀποδίδον-
ται τῷ διαπήγματι πρὸς κράτημα. Ἐνδεδεμένης δὲ τῆς χελώνης τῷ 24
κάλῳ, τῇ τοῦ ἄξονος στροφῇ ἀναβιβαζομένης τῆς χελώνης, συνανα-
βιβαζούσης δὲ καὶ τὴν σπάθην, τὸν κατὰ ἀνάτασιν τρόπον ἐπιτε-
λεῖ. Δύναται δὲ καὶ ὁ κατὰ διάτασιν τρόπος, τῶν τοῦ βρόχου ἀρχῶν 25
μεταλαμβανομένων [διὰ τῶν κάτω τροχιλιῶν καὶ ἀποδιδομένων] τῷ
ἄξονι· νυνὶ γὰρ κινουμένου τοῦ ἄξονος, ἔσται ἡ διάτασις. Δεῖ δὲ 26
μετὰ τὴν αὐτάρκη τάσιν συνέχειν τὰς τῆς διπλῆς καιρίας ἀρχὰς,
καὶ διὰ αὐτῆς [ταύτης] τῆς καιρίας συνέχειν τὴν σπάθην, ἵνα νῦν
διὰ τῆς σπάθης ἡ κατὰ ἐξελκυσμὸν γένηται μοχλεία. Γενομένου 27
δὲ τοῦ ἐξελκυσμοῦ, ἡ ἔντασις ἀνιέσθω, τὸ δὲ σφάλμα ὡς ὅτι τάχιστα
συντελείσθω πρὸς τὴν τοῦ ἄρθρου ἐμβολήν. Μὴ οὔσης δὲ σπάθης 28
ἐν τῷ ὀρ|γάνῳ, μήτε ἀγκώνων, μήτε τοῦ ἐν αὐτοῖς ἄξονος, ἡ εἰς τὴν 165
μασχάλην διαφορὰ καταρτίζεται διὰ τοῦ σφηνοειδοῦς τρόπῳ τοιούτῳ·

§ 7, t. IV, p. 88, sqq.) Ensuite on entoure le bras du *câble* ou de quelque 23
autre lacs à tension égale, dont on fait descendre les chefs pour les assu-
jettir sur la traverse, dans le but de les retenir. Après avoir relié la 24
tortue à la corde, on la monte en tournant l'axe; de cette manière, elle
montera à son tour la spathe, et produira ainsi l'extension par le haut.
La double extension est également efficace pour ce cas; elle exige qu'on 25
fasse passer les chefs du lacs par les poulies d'en bas et qu'on les assu-
jettisse sur l'axe; le mouvement de l'axe donnera ainsi lieu à la double
extension. Quand l'extension a acquis le degré d'intensité suffisant, on 26
retient les chefs du cordon double et en même temps la spathe par l'in-
termédiaire de ce cordon, pour obtenir, dans le cas dont il s'agit, à
l'aide de la spathe, le mouvement de levier qui agit par attraction.
Après avoir pratiqué l'attraction, il faut atténuer l'intensité de l'exten- 27
sion, et opérer, aussi vite que possible, le glissement, pour faire rentrer
le membre dans l'articulation. Quand la machine n'a ni spathe, ni 28
coudes, ni axe passé à travers les coudes, on fait, de la manière sui-
vante, à l'aide de l'embout en forme de coin, la réduction de la luxation

7. [*διὰ τῶν..... ἀποδιδομένων*] conj.; RU. — 15. *τοῦ* ex em.; *τοῦτο* RU. — om. RU. — 10. [*ταύτης*] ex em.; om. Ib. *φησιν ᾧ εἴδους* R.

Mai 165.
τὸ ἐκ τῶν κάλων ἠρτημένον σφηνοειδὲς ἐρείδεται κατὰ τοῦ ἄνω δια-
πήγματος, καὶ πρὸς αὐτὸ διὰ τῶν κάλων ἀσφαλίζεται, ἔπειτα ὑπερ-
29 τίθεται ἡ χεὶρ, καὶ ἡ μασχάλη κατὰ τὸ σφηνοειδὲς τείνεται. Τοῦ δὲ
σφηνοειδοῦς ἐντεθέντος εἰς τὴν μασχάλην, ὁ καρχήσιος βρόχος τῷ
βραχίονι περιτίθεται, οὗ αἱ ἀρχαὶ ἄγονται κάτω καὶ ἀποδίδονται
τῷ ἐν τοῖς σκέλεσιν ἄξονι, ἵνα τῇ τούτου σΊροφῇ ἡ κατάτασις γέ-
30 νηται. Μετὰ δὲ τὴν αὐτάρκη τάσιν δοκιμάζονται αἱ μοχλεῖαι αἱ ἐπὶ
τῶν ἄλλων ὀργάνων δεδηλωμέναι, ἡ κατὰ ἐξελκυσμὸν [καὶ] ἡ κατὰ
31 σφάλμα. Τῇ δεδηλωμένῃ κατατάσει γίνεται [ἡ καταταγὴ] ᾗ συγκα-
τατίθεμαι· τοῖς δὲ ἄλλοις ἔδοξε διὰ τῆς χελώνης καταρτίζειν
τρόπῳ τοιούτῳ· πρότερον ἐκλύεται ὁ κάλος καὶ τότε διπλοῦται·
διπλωθέντος δὲ αὐτοῦ, αἱ ἀρχαὶ ἄνωθεν κάτω διὰ δύο τῆς χελώ-
νης τρημάτων διεκβάλλονται καὶ ἀποδίδονται τοῖς τύλοις τοῦ κάτω
ἄξονος· ἀναβιβάζεται δὲ ἡ χελώνη πλησίον τοῦ ἄνω διαπήγμα-

de l'humérus dans l'aisselle : on appuie sur la traverse supérieure l'em-
bout suspendu aux cordes, et on l'assujettit sur cette traverse à l'aide
d'[autres] cordes; puis le malade passe le bras par-dessus et embrasse
29 l'embout avec l'aisselle. Après avoir mis l'embout dans l'aisselle, on
place autour du bras le câble, dont on fait descendre les chefs pour les
assujettir sur l'axe enfermé entre les *jambes*, afin d'obtenir, en tournant
30 cet axe, une extension par le bas. Quand l'extension a acquis un degré
d'intensité suffisant, on recommande de faire les mouvements de levier
que nous avons indiqués en parlant des autres machines (ch. 8, 12, 21),
c'est-à-dire celui qui se fait par attraction et celui qui se fait par glisse-
31 ment. En opérant l'extension vers le bas comme nous venons de le dire,
on obtient la réduction de la luxation, et je donne mon assentiment à ce
procédé; mais les autres médecins ont cru qu'ils pouvaient faire la réduc-
tion à l'aide de la tortue, de la manière suivante : on commence par
défaire la corde, pour la plier ensuite en deux; après l'avoir ainsi pliée,
on passe les chefs de la corde, en allant de haut en bas, par deux des
trous qui existent dans la tortue, et on les assujettit sur les chevilles de
l'axe d'en bas; on remonte la tortue jusque dans le voisinage de la tra-

3. *δέ* om. U. — 6. *ταῖς* R. — 7. *αἱ* post *μοχλεῖαι* om. R. — 8-9. *δεδηλωμέναι*..... *Τῇ* om. R. — 8. [*καί*] ex em.; om. U; *aut* Vid. — 9. [*ἡ καταταγή*] ex em.; om. RU. — 9-10. *συγκατατίθεται* U. — 11. *τούτῳ* R.

Mai 165-166.

τος, καὶ τότε πρὸς τὸν καταρτισμὸν ὑπερτίθεται ἡ χεὶρ, καὶ ἐντίθεται τὸ σφηνοειδὲς εἰς τὴν μασχάλην, εἶτα ὁ βραχίων ἀσφαλίζεται πρὸς τὴν χελώνην διὰ τοῦ φοίνικος ἐπιδέσμου. Γενομένων 32 δὲ τούτων, σΊρέφεται ὁ κάτω ἄξων ὑπό τε τοῦ ὑποκειμένου κάλου καθελκομένη ἡ χελώνη κατατείνει τὸν βραχίονα, καὶ ἡ μὲν κατάτασις γίνεται, αἱ δὲ ἀκόλουθοι μοχλεῖαι παρεμποδίζονται, προσδεδεμένου τοῦ βραχίονος τῇ χελώνῃ.

κε'. Περὶ τῶν τεσΊάρων τοῦ ἀγκῶνος διαφορῶν.

Ἐπὶ τῶν τριῶν τοῦ ἀγκῶνος διαφορῶν, ἐπὶ ὧν κατακέκαμπΊαι ἡ 1 χεὶρ, τῆς ἔσω λέγω καὶ τῆς ἔξω, ἐπί τε τῆς ὀπίσω, ὁλοκλήρου οὔσης τῆς τοῦ ὀργάνου κατασκευῆς, τοῦ πάσχοντος πλησίον ἐσΊῶτος | ἐπί τινος ὑποποδίου, σΊρεφέσθω ὁ ἄξων, ἵνα τὸ σφηνοειδὲς κάτω 166 γένηται, τὸ δὲ λεῖον αὐτοῦ μέρος ἄνω, καὶ τότε ὑπερτιθέσθω ἡ χεὶρ

verse supérieure; alors on passe le bras par-dessus, pour réduire la luxation; on met l'embout en forme de coin dans l'aisselle, puis on attache le bras à la tortue, à l'aide du bandage dit *phénix*. Après cela, 32 on tourne l'axe d'en bas : alors la tortue, descendue par la corde placée au-dessous d'elle, opérera l'extension du bras vers le bas, et cette extension a lieu; mais on éprouve des obstacles pour opérer les mouvements de levier qui s'ensuivent, parce que le bras est attaché à la tortue.

25. DE LA RÉDUCTION DES QUATRE LUXATIONS DU COUDE.

Dans les trois luxations du coude où le bras est fléchi, c'est-à-dire dans 1 la luxation en dedans, en dehors et en arrière, il faut, dans le cas où les pièces de la machine sont au complet, placer le malade debout près de la machine sur un escabeau, et retourner l'axe, pour faire en sorte que l'embout soit en bas et la partie lisse de l'axe en haut; alors le malade

4. *τούτων* om. R. — Ib. *κάτω* om. R. — Ib. *ὑπό τε τοῦ* ex em. Vid.; *ὁ κάτω* R; om. U. — Ib. *ὑποκειμένου* ex em. Vid.; *ὑποκείμενος ὑπὸ τοῦ* RU. — 5. *καθελκ. ἡ χεὶρ ἡ χελώνη* RU. — 6. *παραποδίζονται* RU. — Ch. 25, tit. *τεσΊάρων* P; *τριῶν* RU. — 12. *λεῖον* P; *πλεῖον* RU.

Mai 166.
2 ὑπὲρ τὸν ἄξονα. Εἶτα ὁ μὲν βραχίων ἀσφαλιζέσθω ϖρὸς τὸν ἄξονα
διὰ τοῦ Φοίνικος ἐπιδέσμου, τῷ δὲ ϖήχει ϖλησίον τοῦ καρποῦ ἀνι-
σότονος ϖεριθέσθω βρόχος, οὗ αἱ ἀρχαὶ ἀναγέσθωσαν καὶ τῇ καταλ-
λήλῳ ϖτερώσει, ἢ τῇ ἐκθέτῳ τοῦ ἄξονος ἀποτορνώσει ϖροσαπτέ-
3 σθωσαν. Οὕτω δὲ τοῦ τῆς χειρὸς σχήματος ἐγγωνίου ϖεπλεγμένου,
διπλῆς καιρίας μεσότης ἢ ϖλατείας ταινίας τασσέσθω κατὰ τοῦ
ϖήχεως ἐγγὺς τοῦ ἀγκῶνος, ἧς αἱ ἀρχαὶ Φερέσθωσαν κάτω ὡς ἐπὶ
4 τὸν ἄξονα. Αἱ δὲ τάσεις τελειούσθωσαν καθὼς ἱστορήθη ἐν τοῖς τοῦ
ὤμου καταρτισμοῖς· ἐξέσται δὲ καὶ νῦν ἢ κατὰ κράτημα καὶ ἀνά-
5 τασιν, ἢ κατὰ διάτασιν ἐνεργῆσαι. Πάλιν μετὰ τὴν αὐτάρκη τάσιν
μοχλεῖαι αἱ αὐταὶ ἐγκρινέσθωσαν αἱ ϖροπαραδεδομέναι ἐν τῇ τῶν
6 ἄλλων ὀργάνων κινήσει. Ἐπὶ δὲ τῆς ἔμπροσθεν διαφορᾶς, τῆς
χειρὸς ἐκτεταμένης, μετὰ τὴν ὑπέρθεσιν ὁ βραχίων ἀσφαλιζέσθω
ϖρὸς τὸν ἄξονα, καὶ τότε τῷ ϖήχει βρόχος ὁ καρχήσιος ἢ ἄλλος

2 passera son bras par-dessus l'axe. Ensuite on assujettira le bras sur l'axe,
à l'aide du bandage dit *phénix;* on entourera l'avant-bras, dans le voisi-
nage du carpe, d'un lacs à tension inégale, dont on remontera les chefs,
pour les attacher, soit sur l'*aile* correspondante, soit sur la partie de
3 l'axe arrondie au tour. Après avoir affermi ainsi, avec ce lacs, la posi-
tion angulaire du bras, on place sur l'avant-bras, dans le voisinage du
coude, le milieu d'un cordon double ou d'un bandeau large, dont on fait
4 descendre les chefs vers l'axe. On pratiquera les méthodes diverses d'ex-
tension comme nous l'avons exposé en parlant de la réduction des luxa-
tions de l'épaule (ch. 24); dans le cas actuel, on pourra agir également,
soit en prenant un point d'appui fixe et en tirant par le haut, soit par la
5 double traction. Quand l'extension aura acquis un degré d'intensité suffi-
sant, on opérera les mêmes mouvements de levier que nous avons déjà
exposés auparavant, en parlant de l'action des autres machines (ch. 10,
6 14). S'il existe une luxation en avant, luxation dans laquelle le membre
est étendu, on assujettit le bras sur l'axe, après avoir passé le membre
par-dessus la machine, et alors on place autour de l'avant-bras le câble

1. Εἶτα..... ἄξονα om. R. — 4. ἐκθέτη U. — 6. ϖλατεῖα R; ϖλαγίας P. — Ib. τενίας U; στενῶς R. — 8. τοῦ ἄξονος R. — 9. δέ om. U. — 11. αἱ post μοχλεῖαι om. R. — Ib. αὗται R. — Ib. ἐκκριν. RU.

Mai 166-167.
ἰσότονος περιτιθέσθω, οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω, καὶ πάλιν αἱ
αὐταὶ δοκιμαζέσθωσαν τάσεις, καὶ μετὰ τὰς τάσεις αἱ ἱστορημέναι
μοχλεῖαι ἐν τῇ τῶν ὀργάνων παραδόσει. Ἰδίως δὲ ἐδόκει ἡ σπάθη 7
εὐθετεῖν πρὸς τοὺς τοῦ ἀγκῶνος καταρτισμούς· ἴδωμεν δὲ πῶς,
τῶν ἀγκώνων μὴ ὄντων, μηδὲ τοῦ ἐν ταῖς πτερώσεσιν ἄξονος, συν-
τελεῖται τὸ ἔργον. Ἐκλύεται ὁ κάλος καὶ διπλοῦται, εἶτα αὐτοῦ αἱ 8
ἀρχαὶ διὰ δύο τρημάτων τῆς χελώνης ἄνωθεν κάτω διεκβάλλον-
ται καὶ ἀποδίδονται τοῖς τύλοις τοῦ ἄξονος· ἡ δὲ χελώνη μετὰ
τῆς σπάθης ἀναβιβάζεται ὡς πρὸς τὸ ἄνω διάπηγμα, καὶ τότε
ἡ σπάθη ἀνακλᾶται, εἶτα ὑπερτίθεται ἡ χεὶρ ὑπὲρ τὸ διάπηγμα
ἐρίου περιειλημένου, καὶ ὁ μὲν βραχίων ἀσφαλίζεται πρὸς τὸ διά-
πηγμα τῇ τοῦ φοίνικος ἐπιδέσει, ὁ δὲ πῆχυς πρὸς τὴν σπάθην
τῆς χειρὸς κεκαμμένης, ὅτε λοιπὸν στρεφομένου τοῦ ἐν τοῖς σκέλε-
σιν ἄξονος, ὑπὸ τοῦ κάλου καθελκομένη ἡ χελώνη κατατείνει τὴν
σπάθην. Εἶτα οὕτως ἡ κατάτασις γίνεται· | μετὰ δὲ τὴν κατάτασιν 9 167

(XLVIII, 9) ou quelque autre lacs à tension égale, dont on fait descendre
les chefs; on recommande de nouveau les mêmes modes d'extension, et,
après l'extension, les mouvements de levier que nous avons exposés en
traitant des machines (*ibid.*). Mais la spathe, disions-nous, semble convenir 7
spécialement pour réduire les luxations du coude; voyons comment on
fait cette opération, quand il n'y a, dans la machine, ni coudes, ni axe
passé par les ailes. On défait la corde et on la plie en deux; on passe les 8
chefs de cette corde, en allant de haut en bas, par deux des trous de la
tortue, et on assujettit ces chefs sur les chevilles de l'axe; on remonte
la tortue avec la spathe vers la traverse supérieure; alors on relève la
spathe, puis on passe le membre enveloppé de laine par-dessus la tra-
verse; enfin on assujettit le bras sur la traverse avec le bandage appelé
phénix, et l'avant-bras sur la spathe, en le tenant dans la flexion : si alors
on tourne l'axe placé entre les *jambes*, la tortue, abaissée par la corde,
exerce une traction par le bas sur la spathe. Ainsi l'extension par le 9
bas se produit, puis on recommande les mouvements de levier que

1. ὑπερτιθέσθω R. — 2. τάσεις καὶ μεταστάσεις αἱ R. — 3. μοχλεῖαι om. U. — 6. αἱ om. R. — 8. καὶ ἀποδίδ. om. R. — 12. τῇ ex em.; ἐν τῇ RU. — 12-13. τοῦ... χειρός om. R. — 12. ἐπιδέσει ex em.; ἐπιδέσμου U. — 13. κεκαμμένη R.

Mai 167. δοκιμάζονται μοχλεῖαι αἱ πάλαι ἱστορημέναι, ἐπὶ μὲν τῶν δύο δια-
φορῶν, τῆς ἔσω καὶ τῆς ἔξω, αἱ κατὰ παραγωγὴν, ἐπὶ δὲ τῆς ὀπίσω
10 ἡ κατὰ ἐξελκυσμόν. Καὶ ἡ μὲν κατάτασις γίνεται· αἱ δὲ μοχλεῖαι
διὰ τὴν τῆς χειρὸς πρὸς τὴν σπάθην πρόσδεσιν παρεμποδίζονται,
ἐκτὸς εἰ μὴ [ἡ] κατὰ ἐξελκυσμὸν μοχλεία γένοιτο, τῆς ῥίζης ἐξέλ-
11 κεσθαι δυναμένης ἐκ τοῦ τρήματος. Μᾶλλον δὲ εὐθετεῖ ἡ σπάθη ἐπὶ
12 τῆς ἔμπροσθεν διαφορᾶς. Ταύτης καταρτιζομένης ὡσαύτως τοῦ κά-
λου ἐνδεδεμένου, ἐᾶσαι τὴν σπάθην κάτω παρειμένην εἶναι, ἔπειτα
τῆς χειρὸς ὑπερταθείσης, τὸν μὲν βραχίονα ἀσφαλίζεσθαι πρὸς
τὸ διάπηγμα, τὸν δὲ πῆχυν πρὸς τὴν σπάθην, κἄπειτα μετὰ ταῦτα
τὴν κατάτασιν δοκιμάσαι, μετὰ δὲ τὴν αὐτάρκη [τάσιν τὰς] ἀκο-
λούθους μοχλείας παραλαμβάνειν, πρώτην μὲν τὴν κατὰ ἴπωσιν,
δευτέραν δὲ τὴν κατὰ περίσφαλσιν, τῆς σπάθης μετὰ τῆς χειρὸς

nous avons exposés beaucoup plus haut (ch. 10, 14) : pour les deux
luxations en dedans et en dehors, le mouvement par impulsion latérale,
10 et, pour la luxation en arrière, celui qu'on pratique en attirant. Par cette
méthode, on produit l'extension vers le bas; mais on rencontre des
obstacles pour pratiquer les mouvements de levier, parce que le membre
est relié à la spathe, à moins qu'il ne s'agisse du mouvement de levier
11 par attraction, car la tige peut être retirée du trou. La spathe con-
12 vient mieux pour la luxation en avant. Quand il s'agit de réduire cette
luxation, on attache la corde de la même manière, mais on laisse la
spathe pendre librement vers le bas; ensuite on tend le membre par-
dessus la machine, on assujettit le bras sur la traverse et l'avant-bras
sur la spathe, puis on recommande de faire l'extension vers le bas, et,
quand elle a acquis un degré d'intensité suffisant, on a recours aux
mouvements de levier qui doivent suivre, d'abord au mouvement par
refoulement, puis au mouvement par glissement rotatoire, en relevant
la spathe conjointement avec le membre et en les fléchissant autour de

1. μοχλίαι R, et sic fere semper. — 4. παραποδίζονται U, et sic sæpius; om. R. — 5. [ἡ] ex em.; om. RU. — 5-6. ῥίζεσθαι ἐξέλκεσθαι U. — 7. Ταύτης καὶ καταρτιζομένης U. — 8. ἐάσαι RU, et sic sæpius. — 10. πήχυν RU, et sic sæpius. — Ib. ταῦτα ex em.; ταύτην RU. — 11. [τάσιν τάς] ex em.; om. RU. — 12. πρώτην ex em.; μίαν RU. — Ib. ἴπ-πωσιν R; εἴπωσιν P, et sic sæpius.

Mai 167-168.

ἀνακλωμένης καὶ καμπτομένης περὶ τὸ τῆς ἰπώσεως αἴτιον. Οὕτω 13
καὶ τὰ τοῦ ἀγκῶνος ἐξαρθρήματα.

κς'. Τὸ Ἱπποκράτους βάθρον. Ἐκ τῶν Ῥούφου.

Ὁ θαυμασιώτατος Ἱπποκράτης τὸ αὐτοῦ ὄργανον ἐν πολλοῖς 1
συγγράμμασιν εἴρηκε ξύλον, ἔν τισι δὲ σχιδίον· οἱ δὲ μετὰ ἐκεῖνον βάθρον αὐτὸ προσηγόρευσαν, ὑποπήξαντές [τε] αὐτῷ πόδας, ὡς ὀργάνῳ καὶ ὡς βάθρῳ ἐχρήσαντο. Ἔστι δὲ αὐτοῦ ἡ κατασκευὴ τοιαύτη· 2
ξύλον ἑξάπηχυ τῷ μήκει, τῷ πλάτει [δὲ] δίπηχυ, πάχει δέ πως σπιθαμιαῖον. Τοῦτο τὸ ξύλον ἔχει κατὰ τὰ πέρατα ἐπιπεπηγότα τῇ 3
ὑπτίᾳ σανίδι ἕτερα ξύλα ποδιαῖα τῷ μήκει, τῷ δὲ ἀριθμῷ τέσσαρα, δύο καὶ δύο, περιφερῆ κατὰ τὰς κορυφὰς γεγονότα. Ταῦτα τὰ ξύλα 4
| Ἱπποκράτης φλιὰς ὠνόμασεν· ἐν δὲ ταῖς φλιαῖς ἐκκεκομμέναις κατὰ 168
τὰ πλάτη στρογγύλοις καὶ διανταίοις τρήμασιν ἄξονες ἔγκεινται

l'objet qui produit le refoulement. C'est encore ainsi qu'on réduit les 13
luxations du coude.

26. BANC D'HIPPOCRATE. — TIRÉ DE RUFUS.

Le très-admirable Hippocrate a appelé, dans plusieurs de ses écrits, 1
sa propre machine *madrier* (cf. *Fract.* 13; *Articul.* 72); dans quelques-uns il l'a appelée *planche* (*Mochl.* § 38?); mais les médecins qui vinrent après lui l'appelèrent *banc,* puis ils y attachèrent des pieds en dessous et l'employèrent aussi bien comme machine que comme banc. Voici 2
quelle en est la structure : c'est une pièce de bois de six coudées de longueur et de deux coudées de largeur; son épaisseur égale à peu près un empan. Dans cette machine, on a attaché, sur les extrémités de la 3
planche horizontale, d'autres morceaux de bois longs d'un pied; ils sont au nombre de quatre, deux de chaque côté, et présentent, à leur sommet, une surface arrondie. Hippocrate a appelé ces morceaux de bois 4
des *supports;* dans ces supports, qui sont percés, dans le sens de la largeur [de la machine], de trous ronds et allant de part en part, on trouve

Ch. 26, tit. Τό ex em.; Τοῦ RU. — 3. θαυμάσιος R. — 4. σχιδίαν R; σχεδίαν U. — 5. [τε] ex em.; om. RU. — 7. ἑξάπηχες R. — Ib. [δέ] ex em.; om. RU. — Ib. παχύ RU. — 11. κενομμέναις R.

Mai 168.
ἔκθετοι, μέσους ἔχοντες τύλους, καὶ κατὰ τὰς ἐκθέτους ἀποτορνώ-
5 σεις περιαγωγίδας πρὸς τὴν στροφήν. Ὅλον δὲ τὸ ξύλον κατὰ τὴν ἡμίσειαν ἐκ διαστημάτων τετραδακτυλιαίων σεσωλήνισται σωλῆσι ὁμοίως κατὰ βάθος τετραδακτυλιαίοις· τούτους δὲ τοὺς σωληνισμοὺς
6 καπέτους ὠνόμασεν Ἱπποκράτης. Ἔτι μέσον τὸ ξύλον ἐκκοπὴν ἔχει τετράγωνον βαθεῖαν, εἰς ἣν ἔγκειται σκαλμὸς ὁ λεγόμενος πρια-
7-8 πίσκος. Ἔστι δὲ ἄλλη μέση πιοειδὴς φλιὰ ἐπινενοημένη. Καὶ ἡ μὲν κατασκευὴ ἡ κατὰ τὸν Πασικράτην ἐστὶν αὕτη· μετὰ ἣν ἀκολούθως ἐκθήσομαι τὴν κίνησιν τοῦ ἱπποκρατείου βάθρου ἔχοντος τὴν ἀρχαίαν ὀργανοποιίαν, ἵνα κεκλιμένου τοῦ πάσχοντος πάντα δύναται καταρτίζεσθαι τὰ ὀλισθήματα, καθὼς ἱστορηθήσεται ἡμῖν ἐν τοῖς κατὰ μέρος.

des axes saillants dont le milieu est surmonté de chevilles, tandis que les parties arrondies au tour sont pourvues de manivelles destinées à
5 tourner l'axe. Cette machine est creusée, dans la moitié de son étendue, de cavités en forme de gouttières profondes de quatre doigts, et éloignées les unes des autres également de quatre doigts; Hippocrate a
6 appelé ces gouttières des *fossettes*. En outre, la machine présente, au milieu, une excavation carrée et profonde, dans laquelle est placée
7 une quille appelée *priapisque*. On a encore inventé un autre support en
8 forme de *pi*, qui se trouve au milieu de la machine. Telle est la structure de cette machine selon Pasicrate; après l'avoir expliquée, j'exposerai comment agit le banc d'Hippocrate construit d'après l'ancien modèle, sur lequel on peut réduire tous les déplacements articulaires, le malade étant couché, ainsi que je le dirai dans les chapitres particuliers.

1. μετά RU. — 3-4. σωλῆσι ὁμοίως κ. βάθος ex em. Vid.; σωλῆνι ὅμοιον κ. βάθους RU. — 4. τετραδακτυλιαίους R; τετραδακτυλιαίου U; τριδακτύλους P Vid. — 5. καπετούς RU. — Ib. Ἔτι ex em. Vid.; Ἐπί RU. — 7. φλιά ex em.; φλία πρὸς χρείαν U; λεία R. — 8. ἡ post κατασκευή om. R. — 9. Ἱπποκράτους R. — 10. ἵνα om. U. — Ib. κεκλωμένου R.

Mai 168-169.

κζ'. Περὶ γένυος.

Ἐπὶ τῶν τῆς γένυος διαφορῶν, ὑπτίου τοῦ πάσχοντος ἐσχηματισμένου, ἄν τε κατὰ ἓν μέρος τύχῃ ἐξηρθρηκυῖα ἡ γένυς, ἄν τε κατὰ ἀμφότερα τὰ ἄκρα, τοῦ πάσχοντος ἐσχηματισμένου ὑπτίαν ἔχοντος τὴν κεφαλὴν περὶ τῷ καταλλήλῳ ἄξονι, τῶν χειρῶν ἀσφαλιζομένων πρὸς τῷ θώρακι καὶ τῷ ἐπιγαστρίῳ, καὶ τῶν σκελῶν πρὸς ἄλληλα, καὶ πάντων πρὸς τὸ ὀργανικὸν βάθρον, τῇ κεφαλῇ ἐπιπλεκέσθω ὁ λαγωὸς ἐπίδεσμος σὺν τοῖς ὠτίοις. 1 Καὶ τότε [αἱ] τοῦ ἐπιδέσμου ἀγκύλαι ἀμματιζέσθωσαν πρὸς τὴν ὑπερκειμένην φλιὰν κρατήματος χάριν, μεσότης τε καιρίας ἐντιθέσθω τῷ σΊόματι ὡς ἐσωτάτω πλησίον τῶν χαλινῶν μεταξὺ τῶν μυλιαίων ὀδόντων· ἧς αἱ ἀρχαὶ καταγέσθωσαν κάτω καὶ ἀποδιδόσθωσαν τῷ πρὸς τοὺς πόδας ἄξονι, ἄλλης τε καιρίας μεσότης ὑπερτιθέσθω τῷ γενείῳ, ἧς αἱ ἀρχαὶ ὑπὲρ | κεφαλῆς ἀγέσθωσαν καὶ ἀποδιδόσθωσαν τῷ ὑπὲρ κε- 169

27. DE LA RÉDUCTION DE LA MÂCHOIRE.

Pour la luxation de la mâchoire, d'un seul ou des deux côtés, on 1 placera le malade sur le dos, et, dans cette position, il rejettera sa tête en arrière sur l'axe placé de ce côté; on liera ses mains sur la poitrine et sur le ventre, ses jambes l'une à l'autre, et le malade sur le banc : après quoi on fera autour de la tête le bandage dit *lièvre avec oreilles* (XLVIII, 27). Alors on nouera les anses de ce bandage sur le 2 support placé en dessus, pour les fixer, et on placera aussi loin que possible le milieu d'un cordon dans l'intérieur de la bouche, entre les dents molaires, jusque dans le voisinage de la commissure des lèvres; on amènera les chefs de ce cordon vers le bas, et on les assujettira sur l'axe qui est du côté des pieds; on placera au-dessus du menton le milieu d'un autre cordon dont on amènera les chefs par-dessus la tête, pour les assujettir sur l'axe qui se trouve dans cet endroit, en vue de l'écartement

2. ἀνθέκαθεν RU. — 3. ἄκραια U. — em.; om. RU. — 11. ὑποδιδόσθωσαν
Ib. ὑπΊιον U; om. Vid. — 7. [αἱ] ex RU.

Mai 169.
3 φαλῆς ἄξονι διασΊήματος χάριν. Γενομένων δὲ τούτων, σΊρεφέσθω
ὁ κάτω ἄξων, ἵνα ὡσανεὶ κατὰ κράτημα καὶ κατάτασιν ἡ ἐνέργεια
4 γένηται. Μετὰ δὲ τὴν αὐτάρκη τάσιν μοχλεῖαι ἐγκρινέσθωσαν αἱ
5 παραδεδομέναι ἡμῖν ἐν τῇ Περὶ ἄρθρων πραγματείᾳ. Ἐπὶ μὲν τῆς
κατὰ ἓν μέρος ἐξαρθρήσεως τρεῖς ἐνέργειαι παραλαμβανέσθωσαν,
παραγωγὴ, ἴπωσις, σφάλμα· ἐπὶ δὲ τῆς κατὰ ἀμφότερα τὰ ἄκρα
6 ἐκπαλείας ἴπωσις καὶ σφάλμα. Ταῦτα εἴρηταί μοι περὶ τῆς γένυος·
μέτειμι νῦν ἑξῆς περὶ τοῦ ὤμου.

κη'. Περὶ ὤμου.

1 Τῆς εἰς τὴν μασχάλην διαφορᾶς καταρτιζομένης καὶ τῆς ἔμπρο-
2 σθεν, ὕπΊιος ὁ πάσχων σχηματιζέσθω· τῆς δὲ ὀπίσω, πρηνής. Τῆς
μὲν οὖν εἰς τὴν μασχάλην διαφορᾶς καταρτιζομένης, τὸ σφηνοει-
δὲς εἰς τὴν μασχάλην ἐντιθέσθω παρατετηρημένως, ὥσΊε τὸ μὲν
ἀμβοειδὲς αὐτοῦ μέρος ἔμπροσθεν νενευκέναι, τὸ δὲ περιτετραμμένον

3 des mâchoires. Après avoir fait cela, on tournera l'axe d'en bas, afin
que la réduction se produise à l'aide d'un point d'appui fixe et d'une
4 espèce d'extension vers le bas. Quand l'extension sera parvenue à un
degré d'intensité suffisant, on mettra en œuvre les mouvements de le-
5 vier qui sont exposés dans notre traité *Des articulations*. En cas de luxa-
tion d'un seul côté, on aura recours à trois mouvements : l'impulsion
latérale, le refoulement et le glissement; quand l'os s'est luxé des deux
6 côtés, on emploiera le refoulement et le glissement. Voilà ce que j'avais
à dire de la mâchoire; la suite de mon sujet m'amène à parler de l'épaule.

28. DE LA RÉDUCTION DE L'ÉPAULE.

1 Lorsqu'on a à réduire la luxation dans l'aisselle, ou la luxation en
avant, on place le malade sur le dos, et sur le ventre pour la luxation
2 en arrière. Quand il s'agit de réduire la luxation dans l'aisselle, on intro-
duit l'embout en forme de coin dans l'aisselle, avec la précaution de
faire pencher en avant la partie relevée en rebord, et en arrière la partie

1. δέ] του U. — 2. καὶ κατὰ τάσιν σαν U. — 7. ἐκπαλείας conj.; ἐκπαλεία RU. — 3. δέ om. R. — Ib. ἐντιθέσθω- RU.

Mai 169-170.

ὀπίσω. Συμφέρει δὲ τὸ σφηνοειδὲς ὀθονίῳ, ἢ ἐρίῳ περιειλεῖν μα- 3
λάγματος χάριν· πᾶν γὰρ ξύλον ἀστεργὲς καὶ ἀπηνές, καθάπερ
Ἱπποκράτης λέγει. Ταύτης μὲν οὖν πρώτης αἰτίας χάριν τῇ ἀπὸ 4
τοῦ ἐρίου σκέπῃ χρώμεθα· δευτέρας δὲ διὰ τοὺς ἐν μασχάλῃ ἱδρῶ-
τας γενομένους, ἅμα μὲν διὰ τὴν τοῦ καταρτισμοῦ εὐλάβειαν, ἅμα
δὲ καὶ διὰ τὴν [τοῦ] τόπου φυσικὴν θερμασίαν συνεργοῦσαν τῷ χα-
λάσματι. Ἀναπίνει τοιγαροῦν τὸν συλλεγόμενον ἱδρῶτα, καὶ ἅμα 5
οὐ παρολισθαίνει τὸ σφηνοειδές. Εἶτα αἱ τῶν κάλων ἀρχαί, αἱ μὲν 6
ἔμπροσθεν, αἱ δὲ ὄπισθεν, ὑπὲρ κεφαλῆς ἀγέσθωσαν ἐπὶ τὸν ἄξονα,
καιρίας τε διπλῆς ἡ μεσότης ὑποτιθέσθω τῇ μασχάλῃ μεταξὺ τοῦ
σφηνοειδοῦς καὶ τοῦ βραχίονος, ὡς δὲ ἔδοξεν ἄλλοις, μεταξὺ τοῦ
σφηνοειδοῦς καὶ τῶν πλευρῶν, ἧς αἱ ἀρχαὶ ἔξω ἀγέσθωσαν. Αὐτῷ 7
δὲ τῷ βραχίονι βρόχος καρχήσιος, ἢ ἄλ|λος ἰσότονος περιτιθέσθω· 170
περιαπτέσθω δὲ ὁ βρόχος μὴ τῷ μυῒ, ἵνα μὴ νευρώδης ὢν σφιγγό-

renversée. Il est bon d'entourer cet embout de linge ou de laine, pour 3
adoucir le contact; car toute espèce de bois est dure et cause une sensa-
tion peu agréable, comme le dit Hippocrate. (*Fractures*, § 16.) C'est là 4
le premier motif pour lequel nous enveloppons cet embout de laine;
en second lieu, nous avons en vue les sueurs qui se forment dans l'ais-
selle, aussi bien à cause de la peur qu'inspire la réduction que par suite
de la chaleur naturelle de cette région, chaleur qui aide au relâche-
ment. (Voyez chap. 8, p. 363.) La laine absorbe donc la sueur qui se 5
rassemble, et en même temps elle empêche l'embout de glisser sur
les côtés. Ensuite on mène les chefs des cordes par-dessus la tête, sur 6
l'axe, les uns en avant et les autres en arrière, et on place le milieu
d'un cordon double sous l'aisselle, entre l'embout et le bras, ou, se-
lon d'autres, entre cet embout et les côtes; on amène les chefs de ce
cordon à l'extérieur. On entoure le bras du *câble* ou de quelque autre 7
lacs à tension égale; seulement, on n'applique pas le lacs sur le muscle;
mais au-dessus ou au-dessous, de peur que le resserrement ne soit

1. τῷ σφηνοειδεῖ RU. — 6. [τοῦ] ex em.; om. RU. — 7. συλεγόμενον U. — 8. οὖ RU. — Ib. παρολισθάνει U. — 9. πρόσθεν U. — 11. καί om. U. — 12. Καὐτῷ U. — 14-p. 437, l. 1. σφιγγεὶς U.

Mai 170.
8 μενος ἀγανακτήσῃ, ἀλλὰ ὑπεράνω τοῦ μυὸς, ἢ ὑπὸ τὸν μῦν. Οἱ
πολλοὶ τὸν ἄνω αἱροῦνται τόπον ὡς ἐπιτηδειότερον, ὅτι συνεγγίζει
τῷ ἄρθρῳ· δυσχρηστότερος δέ ἐστιν οὗτος πρὸς τὴν ἐνέργειαν,
9 παρεμποδίζων τὴν κατὰ εὐθὺ μοχλείαν. Ἅμα δὲ καὶ διὰ ἐκεῖνο μά-
λιστα τὸν ὑπὸ τὸν μῦν αἱρούμεθα τόπον, ἐπείπερ τοπικῶς σφιγγο-
μένου τοῦ ἄρθρου δυσχερῶς ἀνίεται τὰ σώματα, ἐκ διαστήματος δὲ
10 συμμέτρου τεινόμενα ῥᾳδίως χαλᾶται. Συμφέρει δὲ μαλάγματος χά-
ριν συμπεριειλεῖν ἔριον λεπτὸν τῷ βραχίονι, καὶ τότε τὸν βρόχον
περιάπτειν· ὑποκείμεναι γὰρ αἱ τοῦ ἀγκῶνος ἀνωμαλίαι συνέχουσι
τὸν βρόχον, ὥστε μηκέτι τῇ τῆς τάσεως βίᾳ ἀποῤῥεῖν κάτω· ὧν
οὕτω γενομένων, αἱ τοῦ βρόχου ἀρχαὶ καταφερέσθωσαν κάτω καὶ
ἀποδιδόσθωσαν κατὰ εὐθὺ τῷ τύλῳ τοῦ ἄξονος, ἢ κατὰ περιείλη-
11 σιν, ἢ πρὸς ἀλλήλας ἡμματισμέναι. Μᾶλλον δὲ συμφέρει αὐτὰς ἀμ-
ματίζειν, καὶ τότε περιτιθέναι τῷ τύλῳ· ἔστι γὰρ ἥδε ἡ ἐνέργεια
12 ἀσφαλεστέρα. Ἐνεργήσομεν δὲ ἢ κατὰ κράτημα καὶ κατάτασιν, ἢ

pénible à cause de sa nature nerveuse. (Voy. chap. 8, p. 364, l. 12.)
8 La plupart des médecins préfèrent placer le lacs au-dessus du muscle,
croyant que cette région s'y prête mieux, parce qu'elle est voisine de
l'articulation; elle est plus incommode pour l'opération, parce qu'elle
9 empêche de pratiquer des mouvements de levier directs. Nous préfé-
rons encore la région située au-dessous du muscle, pour cette raison
que les parties se relâchent difficilement, quand l'articulation subit un
resserrement local, tandis qu'elles se détendent facilement, si on exerce
10 sur elles une traction partant d'un point modérément éloigné. Il convient
d'entourer en même temps le bras de laine fine pour adoucir le contact,
et d'appliquer alors seulement le lacs; car les inégalités du coude, pla-
cées sous lui, tiennent le lacs en place, et l'intensité de la tension ne lui
permettra donc plus de glisser vers le bas; après avoir pris ces dispositions,
on fait descendre les chefs du lacs, et on les assujettit directement sur la
cheville de l'axe, soit en les roulant sur la cheville, soit en les réunissant
11 par un nœud. Mais il est préférable de les nouer et de les placer ensuite
12 autour de la cheville, car cette manière d'agir est plus sûre. Nous opé-
rerons soit en prenant un point d'appui fixe et en tirant vers le bas ou

10. ἀπορεῖν RU. — 15. κράτ. ἢ κατὰ τάσιν R; κράτ. ἢ καὶ κατὰ τάσιν U.

κατὰ κράτημα καὶ ἀνάτασιν, ἢ κατὰ διάτασιν διὰ τῶν ἐν τῷ ὀργάνῳ
ἀξόνων. Μετὰ δὲ τὴν αὐτάρκη τάσιν ἡ μὲν κατὰ ἐξελκυσμὸν μο- 13
χλεία διὰ τῆς διπλῆς καιρίας πρώτη γινέσθω διὰ τῆς μιᾶς χειρὸς,
καὶ ἅμα τῷ ἐξελκυσμῷ ὁ ἀγκὼν μεταγέσθω ἔξωθεν ἔσω τῇ ἑτέρᾳ
χειρὶ τοῦ ἐνεργοῦντος, ἔτι τῆς τάσεως οὔσης· δευτέρα δὲ ἡ κατὰ
σφάλμα ἀνεθείσης διὰ τῶν χειρῶν. Ἐπὶ δὲ τῆς ἔμπροσθεν καὶ τῆς 14
ὀπίσω διαφορᾶς, τοῦ πάσχοντος οἰκείως ἐσχηματισμένου, ἐπὶ μὲν
τῆς ἔμπροσθεν διαφορᾶς ὑπτίου, ἐπὶ δὲ τῆς ὀπίσω πρηνοῦς, τὸ
σφηνοειδὲς παραιτούμεθα. [Ἐπὶ μὲν τῆς ἔμπροσθεν διαφορᾶς] δι- 15
πλῆς καιρίας μεσότης ἐρίῳ περιειλημένη ὑποτιθέσθω τῇ μασχάλῃ,
καὶ τότε αἱ ἀρχαὶ ὑπὲρ κεφαλῆς ἀγέσθωσαν, μὴ κατὰ κάθετον τὸν
πάσχοντα ὦμον, ἀλλὰ κατὰ τὸ ἀντικείμενον μέρος τοῦ πάσ|χον- 171
τος. Ἡ δὲ αἰτία ἐζήτηται διὰ ἣν τοῦτο γίνεται· ἔφασαν δὲ οἱ 16
περὶ τὸν Πασικράτην ἵνα μὴ τῇ κατὰ εὐθὺ ἀναγωγῇ ὑπὸ τῆς και-

vers le haut, soit en tirant des deux côtés à la fois, à l'aide des axes de
la machine. Quand l'extension aura acquis un degré d'intensité suffisant, 13
on pratiquera d'abord le mouvement de levier qui se fait en attirant,
à l'aide du cordon double mû par une seule main; en même temps
qu'on fait l'attraction, le chirurgien fera basculer, avec l'autre main,
le coude de dehors en dedans, pendant que dure encore l'extension; en
second lieu, on mettra en œuvre le glissement à l'aide des deux mains,
après qu'on a relâché l'extension. Dans la luxation en avant ou en ar- 14
rière, nous rejetons l'emploi de l'embout, pourvu qu'on ait donné au
malade une position convenable, en le mettant sur le dos pour la luxa-
tion en avant, et sur le ventre pour la luxation en arrière. Dans la luxa- 15
tion en avant, on place sous l'aisselle le milieu d'un cordon double
enveloppé de laine, dont on amène ensuite les chefs par-dessus la tête,
non dans une direction perpendiculaire sur l'épaule affectée, mais dans
le sens du côté opposé à la partie malade. On s'est demandé pourquoi 16
on agissait ainsi : d'après le dire de Pasicrate, c'est pour empêcher
que le bras ne soit retenu en haut par le cordon, si on l'amène droit en

5. ἐπί R. — 6. ἀνεθείσης καὶ χαλασθείσης τῆς τάσεως διά RU. — 7-8. τοῦ...... διαφορᾶς post μέρος (l. 12) RU. — 7. οἰκεῖος U. — 9. [Ἐπὶ... διαφορᾶς] conj.; om. RU. — 11. μὴ κατάθετον κατὰ τόν RU. — 12-13. τοῦ πάσχοντος om. RU. — 13. ζητεῖται R. — Ib. καὶ ἔφασαν δέ U.

Mai 171.
ρίας ἄνω κρατῆται ὁ βραχίων· οἱ δὲ μετὰ αὐτοὺς οὐ τούτου χάριν
ἐῷν λοξοῦσθαι τὰς ἀρχὰς, ἀλλὰ ἵνα μὴ ἀναπιεζούμενα τὰ τῆς μα-
17 σχάλης σώματα πληροῖ τὸν τῆς ὠμοπλάτης τόπον. Συμφώνως δὲ
πᾶσιν ἤρεσεν ἡμῖν λοξὰς ποιεῖσθαι τὰς ἀρχὰς ὡς πρὸς τὰ ἀντι-
18 κείμενα μέρη πρὸς τῇ καταλλήλῳ φλιᾷ. Πάλιν τε ὁμοίως τῷ βρα-
χίονι καρχήσιος βρόχος περιτιθέσθω, ἢ ἕτερος ἰσότονος, οὗ αἱ ἀρ-
χαὶ ἀγέσθωσαν κάτω ἐπὶ τὸν πρὸς τοῖς ποσὶν ἄξονα, ἵνα γένηται
κράτημα καὶ κατάτασις, ἢ εἴ τις βούλοιτο τῷ κατὰ διάτασιν ἐνερ-
19 γῆσαι τρόπῳ. Αἱ ἀκόλουθοι ἐπὶ τούτων μοχλεῖαι παραλαμβανέσθω-
σαν ἐπάνω ἡμῖν εἰρημέναι· προηγουμένως δὲ ἡ διὰ τῶν χειρῶν
20 παραγωγὴ καὶ ἴπωσις. Ὁμοίως δὲ καὶ ἐπὶ τῆς ὀπίσω διαφορᾶς,
πρηνοῦς τοῦ πάσχοντος ἐσχηματισμένου, τὰ αὐτὰ ἐνεργήματα
21 προσαγέσθω, ἃ καὶ ἐπὶ τῆς ἔμπροσθεν διαφορᾶς τοῦ ὤμου. Μετὰ
τὴν αὐτάρκη τάσιν ἡ διὰ τῶν χειρῶν ἴπωσις καὶ παραγωγὴ καὶ
σφάλμα παραλαμβανέσθω.

haut; mais les médecins qui vinrent après lui dirent qu'il fallait laisser
marcher les chefs dans une direction oblique, non pas pour cette cause,
mais pour éviter que les parties qui constituent l'aisselle ne fussent re-
foulées vers le haut et ne remplissent ainsi la région (c'est-à-dire *le co-*
17 *tyle*) de l'omoplate. D'accord en cela avec tout le monde, nous sommes
d'avis de donner aux chefs une direction oblique vers le côté opposé
18 près du support correspondant. On entourera, comme ci-dessus, le
bras du *câble* (XLVIII) 9) ou d'un autre lacs à tension égale, dont on
amènera les chefs en bas sur l'axe situé du côté des pieds, afin d'obtenir
un point d'appui fixe et une extension vers le bas, à moins qu'on ne
19 veuille recourir à la double traction. Quant aux mouvements de levier qui
doivent suivre, on emploiera ceux que nous avons mentionnés plus haut
(p. 438, l. 2 ?); mais on recourra de préférence à l'impulsion latérale
20 et au refoulement opérés avec les mains. Dans la luxation en arrière,
on pratiquera aussi, après avoir couché le malade sur le ventre, les
21 mêmes manœuvres que lorsque l'humérus s'est luxé en avant. Quand
l'extension aura acquis un degré d'intensité suffisant, on aura recours au
refoulement, à l'impulsion latérale et au glissement à l'aide des mains.

1. ἄνω κρατῆται conj.; ἀνακρατῆται U; κρατεῖται R. — 3. τύπον RU. — 4. ὥσ7ε τά R. — 5. ὅμοιος R. — 7. τοῖς] τήν R.

Mai 171-172.

κθ'. Περὶ ἐξαρθρήματος βραχίονος καὶ κατάγματος.

Ἔσ7ιν ὅτε τῷ τοῦ βραχίονος ἐξαρθρήματι συγχρονίζει καὶ 1
κάταγμα, μέσου τοῦ κώλου ῥαγέντος, γίνεταί τε χρεία ἅμα μὲν κα-
τατάξεως τοῦ ἐξαρθρήματος, ἅμα δὲ διαπλασμοῦ τοῦ κατάγματος.
Νῦν εὐτεθήσει καταρτισμὸς τοῦ ἐξαρθρήματος κατὰ κράτημα καὶ 2
ἀνάτασιν, τοῦ δὲ κατάγματος κατὰ κράτημα καὶ κατάτασιν, πρῶ-
τον δὲ καταρτίζεσθαι τὸ ἐξάρθρημα, καὶ τότε τὸ κάταγμα. Πρὸς 3
μὲν οὖν τὸν τοῦ ἐξαρθρήματος κα|ταρτισμὸν τὸ σφηνοειδὲς ἐντιθέσθω 172
εἰς τὴν μασχάλην, ἀναγέσθωσάν τε ὑπὲρ κεφαλῆς αἱ τῶν κάλων
ἀρχαί· μεσότης δὲ καιρίας τασσέσθω μεταξὺ τοῦ σφηνοειδοῦς καὶ
τοῦ βραχίονος· ἧς αἱ ἀρχαὶ φερέσθωσαν ἔξω· ὁ δὲ καρχήσιος βρό-
χος ὑπὸ τὸ σφηνοειδὲς ὑπεράνω τοῦ κατάγματος περιτιθέσθω. Τού- 4
του αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω, καὶ ἀποδιδόσθωσαν τῇ φλιᾷ πρὸς
κράτημα· αἱ δὲ τῶν κάλων ἀρχαὶ ἄνω [τῷ] ὑπὲρ κεφαλῆς ἄξονι, ἵνα

29. RÉDUCTION DE LA LUXATION DE L'HUMÉRUS COMPLIQUÉE DE FRACTURE.

La luxation de l'humérus est quelquefois accompagnée d'une fracture 1
du même os, fracture qui intéresse le milieu du membre; alors on est
dans la nécessité de faire à la fois la réduction de la luxation et la coap-
tation de la fracture. Dans ce cas, il conviendra de réduire la luxation 2
en prenant un point d'appui fixe et en tirant vers le haut, tandis qu'on
traitera la fracture en se ménageant un point d'appui fixe et en tirant
vers le bas; mais il faut d'abord remettre le membre, et ensuite guérir
la fracture. Pour réduire la luxation, on mettra l'embout en forme de 3
coin dans l'aisselle; on fera remonter les chefs des cordes par-dessus la
tête, et on placera, entre l'embout et le bras, le milieu d'un cordon,
dont on fera marcher les chefs vers l'extérieur; enfin on introduira
sous l'embout un *câble* (XLVIII, 9), dont on entourera le membre au-
dessus de la fracture. On fera descendre les chefs de ce dernier lacs, 4
pour les assujettir sur le support afin de les retenir, tandis qu'on fera
remonter ceux des cordes, pour les attacher sur l'axe qui est au-dessus

Ch. 29, l. 2. τε om. R. — 4. Νῦν σ7εῖησει U. — 13. [τῷ] ex em.; om.
εὐθετήσει P; Νῦν εὐθετὴς ᾗ R; Νυνε-, RU.

Mai 172.

5 τῇ τούτου σΊροφῇ κράτημα γένηται καὶ ἀνάτασις. Μετὰ δὲ τὴν αὐτάρκη τάσιν διὰ τῶν ἀκολούθων μοχλειῶν ἡ τοῦ ἄρθρου γινέσθω κατάταξις, κἄπειτα τοῦ ἐξαρθρήματος καταρτισθέντος, αἱ τοῦ βρόχου ἀρχαὶ ἀγέσθωσαν καὶ ὑπὲρ κεφαλῆς ἀναφερέσθωσαν καὶ ἀποδιδόσθωσαν κρατήματι.
6 Ἄλλος δὲ βρόχος ἰσότονος καρχήσιος τῷ βραχίονι περιτιθέσθω, οὗ αἱ ἀρχαὶ καταφερέσθωσαν κάτω, καὶ ἀποδιδόσθωσαν τῷ ἄξονι τῷ πλησίον τῶν ποδῶν, ἵνα γένηται τὸ ἐνέργημα κατὰ κράτημα καὶ κατάτασιν.
7 Νῦν οὐκ ἔσΊιν εὐλαϐὴς ἐν τῇ τοῦ κατάγματος κατατάσει ἡ τοῦ κατηρτισμένου ἄρθρου ἐκπάλεια· κεκράτηται γὰρ ἄνω ὑπὸ τοῦ σφηνοειδοῦς καὶ τοῦ ἄνω βρόχου.
8 Μετὰ τὴν κατάτασιν διὰ χειρῶν τὸ κάταγμα διαπλασσέσθω καθὼς
9 πλεισΊάκις ἐδηλώσαμεν. Καὶ ἐπὶ τῆς ἔμπροσθεν, ἔτι τε τῆς ὀπίσω
10 διαφορᾶς, ταῖς αὐταῖς ἐπινοίαις γινέσθωσαν οἱ καταρτισμοί. Μεμηνύσθω.

de la tête, afin d'obtenir, en le tournant, un point d'appui fixe et une
5 extension vers le haut. Quand l'extension aura acquis un degré d'intensité suffisant, on remettra le membre en place à l'aide des mouvements de levier qui doivent suivre; ensuite, après la réduction de la luxation, on fera remonter les chefs du lacs par-dessus la tête, et on les assujettira
6 sur quelque objet immobile destiné à les retenir. On entourera le bras d'un autre *câble*, lacs qui produit une tension égale, et dont on amènera les chefs vers le bas, pour les assujettir sur l'axe qui est du côté des pieds, afin de faire l'opération en prenant un point d'appui fixe et
7 en tirant vers le bas. Il n'est plus à craindre que le membre remis en place se luxe de nouveau, pendant qu'on fait, pour la fracture, l'extension vers le bas; car ce membre est retenu en place par l'embout
8 et par le lacs d'en haut. Après avoir pratiqué l'extension vers le bas, on fait la coaptation du membre avec les mains, ainsi que nous l'avons
9 indiqué très-souvent. En cas de luxation en avant ou en arrière, on a
10 imaginé de se servir des mêmes moyens de réduction. Que la chose soit tenue pour expliquée.

2. ἡ om. U. — Ib. γενέσθω U. — 3. κατάτασις R. — 7. τῷ post ἄξονι conj.; κάτω U; om. R. — 8. τρῆμα R. — Ib. ἀνάτασιν R.

λʹ. Περὶ ἀγκῶνος.

Ἐπὶ τῶν τριῶν τοῦ ἀγκῶνος διαφορῶν, τῆς ἔξω, τῆς ἔσω, τῆς 1
ὀπίσω, ἐπὶ ὧν κέκαμπται ἡ χεὶρ ἐκτείνεσθαι μὴ δυναμένη, ὕπτιος ὁ πάσχων ἐπὶ τοῦ ὀργάνου κλινέσθω, καὶ μετὰ τὸν οἰκεῖον σχηματισμὸν βρόχος ὁ καρχήσιος ἢ ἄλλος ἰσότονος περιτιθέσθω τῷ βραχίονι, οὗ αἱ ἀρχαὶ ἄνω φερέσθωσαν ὑπὲρ κεφαλῆς κρατήματος χάριν. Τῷ δὲ πήχει πλησίον καρποῦ ἀνισότονος περιτιθέσθω βρόχος 2
ὡς ἑρτὸς, ἢ χιεστὸς, ἢ ναυτι|κὸς, οὗ αἱ ἀρχαὶ ἀναγέσθωσαν καὶ τῇ 173
καταλλήλῳ φλιᾷ προσδείσθωσαν, ὡς γενέσθαι τὸ σχῆμα ἐγγώνιον.
Εἶτα τότε διπλῆς καιρίας μεσότης ἢ ταινίας πλατείας τασσέσθω 3
κατὰ τοῦ πήχεως ἐγγὺς ἀγκῶνος, οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω ἐπὶ τὸν πρὸς τοῖς ποσὶν ἄξονα. Ἔχοντες οὖν ἄνω μὲν τοῦ βρόχου ἀρ- 4
χὰς, κάτω δὲ τῆς διπλῆς καιρίας, ἄξονάς τε δύο, ὃν μὲν ὑπὲρ κεφα-

30. RÉDUCTION DES LUXATIONS DU COUDE.

Dans les trois espèces de luxations du coude, où le membre est 1
fléchi sans pouvoir être étendu, c'est-à-dire dans les luxations en dehors, en dedans et en arrière, on couchera le malade sur la machine, et, après lui avoir ainsi donné la position requise, on entourera le bras d'un *câble* (XLVIII, 9), ou de quelque autre lacs à tension égale, dont on fera remonter les chefs par-dessus la tête, dans le but de les retenir. D'un autre côté, on mettra autour de l'avant-bras, dans le voi- 2
sinage du carpe, un lacs à tension inégale, comme le *lacs tressé*, le *lacs croisé* ou le *lacs des marins* (XLVIII, 1-3), dont on fera remonter les chefs, pour les lier sur le support correspondant, de manière à mettre le membre dans la position angulaire. Cela fait, on placera sur l'avant- 3
bras, dans le voisinage du coude, le milieu d'un cordon double, ou d'un bandeau large, dont on fera descendre les chefs vers l'axe situé du côté des pieds. Comme nous avons donc à notre disposition, en haut, les 4
chefs du lacs, en bas ceux du cordon double, et, en outre, deux axes, un

Ch. 30, l. 3. ἐπί ex em. Vid.; ὑπό RU. — 7. ἑορτός RU. — 8. προσδέσθωσαν R. — 9. τότε ex em.; τὸ τῆς RU. — Ib. γενεῖας R. — 11. τοῦ om. R.

Mai 173. λῆς, ὃν δὲ πρὸς τοῖς ποσὶν, ἐνεργήσομέν γε ἢ κατὰ κράτημα καὶ
[κατάτασιν, ἢ κατὰ κράτημα καὶ] ἀνάτασιν, ἢ κατὰ διάτασιν, καὶ
μετὰ τὴν αὐτάρκη τάσιν μοχλείαις χρησόμεθα ταῖς καταλλήλοις
πρὸς τὴν τοῦ ἄρθρου καταταγὴν, ἐπὶ μὲν τῆς ἔσω καὶ τῆς ἔξω δια-
φορᾶς ταῖς κατὰ παραγωγὴν, ἐπὶ δὲ τῆς ὀπίσω τῇ κατὰ ἐξελκυ-
5 σμόν. Ἐπὶ δὲ τῆς ἔμπροσθεν διαφορᾶς, ἐπὶ ἧς ἐκτέταται ἡ χεὶρ
κάμπτεσθαι μὴ δυναμένη, σχηματιζέσθω ὁ πάσχων ὕπτιος ἐπιῤ-
ῥεπὴς ἐπὶ τὸ πάσχον μέρος· τῆς δὲ χειρὸς ἐκτεταμένης ἐπὶ τοῦ
σανιδώματος, βρόχος ὁ καρχήσιος περιτιθέσθω τῷ βραχίονι, οὗ
αἱ ἀρχαὶ ἀγέσθωσαν ὑπὲρ κεφαλῆς, καὶ τῷ πήχει ἄλλος ἰσότονος
βρόχος κατὰ τὰ ἀπολήγοντα μέρη τὰ πρὸς τῷ καρπῷ· οὗ αἱ ἀρχαὶ
ἀγέσθωσαν κάτω, τάσεις τε δοκιμαζέσθωσαν αἱ προειρημέναι ἢ κατὰ
6 κράτημα καὶ κατάτασιν [ἢ κατὰ διάτασιν]. Καὶ μᾶλλον νῦν αἱρετω-
τέραν νομίζω τὴν κατὰ διάτασιν ἐνεργεστέραν οὖσαν τῆς ἁπλῆς κα-

au-dessus de la tête et un du côté des pieds, nous manœuvrerons soit
en prenant un point d'appui fixe et en tirant vers le haut ou vers le bas,
soit en opérant une traction double; puis, quand l'extension aura acquis
un degré d'intensité suffisant, nous aurons recours aux mouvements de
levier qui conviennent pour remettre le membre en place, à savoir, en
cas de luxation en dedans ou en dehors, au mouvement par impul-
sion latérale, et, dans la luxation en arrière, au mouvement par attrac-
5 tion. S'il existe une luxation en avant, cas dans lequel le membre est
étendu sans pouvoir être fléchi, on couchera le malade sur le dos, tout
en le faisant pencher sur le côté affecté, on étendra le membre sur la
planche, on placera autour du bras le *câble,* dont on amènera les chefs
par-dessus la tête; on entourera les parties fuyantes de l'avant-bras,
situées dans le voisinage du carpe, d'un autre lacs à tension égale,
dont on amènera les chefs vers le bas; puis on recommandera les mé-
thodes d'extension que nous avons indiquées plus haut, soit celle où on
prend un point d'appui fixe pour tirer vers le bas, soit celle où on opère
6 la double traction. Dans le cas actuel, je regarde même la méthode
par double traction comme préférable, attendu que, pour remettre le

1. γε] τε R. — Ib. τε καί R. — 2. [κατάτασιν ἢ κατὰ κράτημα καί] ex em. Vid.; om. RU. — 4. κατάτασιν R. — 5. δέ] μέν R. — 7. καμπτέσθω R. — 9. ὁ om. R. — 13. [ἢ κατὰ διάτασιν] ex em.; om. RU.

Mai 173-174.
τατάσεως πρὸς τὴν τοῦ ἄρθρου καταταγήν. Δεῖ δὲ μετὰ τὴν αὐτάρκη
τάσιν τὰς ἐπιτηδείους ἐγκρίνειν μοχλείας, τὴν κατὰ ἴπωσιν καὶ 7
κατὰ περίσφαλσιν, τὴν μὲν κατὰ ἴπωσιν ἔτι μενούσης τῆς τάσεως,
τὴν δὲ κατὰ περίσφαλσιν χαλασθείσης. Δεῖ δὲ μετὰ τὸν καταρτι-
σμὸν πρὸς ἀσφαλῆ γνῶσιν τῆς τῶν ὀστέων καταταγῆς πειράζειν τὰ 8
φυσικὰ τῆς χειρὸς ἐνεργήματα, κάμψιν λέγω καὶ ἔκτασιν, ἔτι τὴν
ἐπὶ τὸ πρηνὲς καὶ ὕπτιον στροφήν· ταῦτα γὰρ τὰ ἐνεργήματα
ἀνεμποδίστως γινόμενα δηλοῖ τὸ τοῦ καταρτισμοῦ τέλος. Ἔνεστι 9
δὲ καὶ ἐξ ἀν|τιπαραβολῆς τῆς πρὸς τὸν ἕτερον ἀγκῶνα ἐπιγινώσκειν 174
τὸ ἀποτέλεσμα. Ἐπὶ τέλει δὲ ἡ χεὶρ καμπτέσθω τῷ οἰκείῳ ἐγγωνίῳ 10
σχήματι, φυλαττέσθω τε πρὸς τὴν ἀκόλουθον θεραπείαν. Τοῖς δε- 11
δηλωμένοις τρόποις καταρτίζεται τὰ δύο τοῦ πήχεως ὀστέα παρὰ
φύσιν διατεθέντα· ἐπεὶ δὲ κατὰ ἰδίαν ἕκαστον αὐτῶν πάσχει, ὁ μὲν
πῆχυς ἐξαρθρῶν, ἡ δὲ κερκὶς παραρθροῦσα, καὶ περὶ τούτων δια-
λέξομαι. Διατίθεται κατὰ ἰδίαν ὁ πῆχυς χωρὶς τῆς κερκίδος, καὶ 12

membre en place, elle est plus efficace que la simple extension vers le
bas. Quand l'extension aura acquis un degré d'intensité suffisant, on met- 7
tra en œuvre les mouvements de levier convenables, à savoir, ceux qui se
font par refoulement et par glissement rotatoire, le premier quand on
pratique encore l'extension, et l'autre quand on l'a diminuée. Après la 8
réduction, on s'assurera que les os sont rentrés en place, en essayant
de faire accomplir au membre ses fonctions naturelles, je veux dire la
flexion et l'extension, la pronation et la supination : en effet, quand ces
actes s'accomplissent sans obstacle, ils indiquent que la réduction a atteint
son but. On peut aussi juger du résultat de la réduction, en comparant 9
le membre qui a été luxé à celui qui est sain. On achève l'opération en 10
fléchissant le membre pour lui donner la position angulaire convenable,
et en lui conservant cette position pour le traitement consécutif. Quand 11
les deux os de l'avant-bras sont déplacés, on les remet en place par les
méthodes que nous venons d'indiquer; mais, comme chacun de ces deux
os peut être lésé seul, le cubitus en se désarticulant, et le radius en su-
bissant une subluxation, je parlerai aussi de ces accidents-là. Le cubitus 12

1. καταταγήν ex em.; διάτασιν RU. — 2. ἐπικρίνειν RU. — 6. ἐπί RU.

Mai 174. πάλιν ἡ κερκὶς παραρθρεῖ κατὰ αὐτὴν χωρὶς τοῦ πήχεως· ὁπότερον δὲ ἂν τῶν ὀσΊέων τούτων πάθη, πάλιν τοῦ καταρτισμοῦ διὰ τοῦ ὀργάνου γινομένου, ὁ μὲν βραχίων ἀσφαλιζέσθω βρόχῳ πρὸς τὴν ὑπερκειμένην φλιάν· τῷ δὲ πήχει πάλιν κατὰ τὰ ἀπολήγοντα μέρη περιτιθέσθω βρόχος ἀνισότονος, ὡς ἐρτὸς ἢ ναυτικὸς, οὗ βρόχου αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω καὶ περιτιθέσθωσαν τοῖς τοῦ ἄξονος τύ-
13 λοις πρὸς τὴν τάσιν. Ἡ δὲ τοῦ ἀνισοτόνου βρόχου περίθεσις παρατετηρημένη γινέσθω, ὥσΊε τὰς μὲν ἀγκύλας τετάχθαι πρὸς τὸ καταρτιζόμενον μέρος, τὰς δὲ ἀρχὰς κατὰ τὸ ἀντικείμενον· ἰδίως γὰρ [οἱ] ἀνισότονοι βρόχοι ἐκεῖνα μᾶλλον βιάζονται τὰ μέρη οἷς περίκεινται αὐτῶν αἱ ἀγκύλαι, ἧσσον δὲ τὰ ἀντικείμενα· ἐπεὶ δὲ διζυγής ἐσΊιν ὁ πῆχυς, καὶ τὸ ἕτερον ὀσΊέον παρὰ φύσιν ἔχον καταρτίζεται, συμφέρει ἐκεῖνο μὲν βιάζεσθαι, τὸ δὲ κατὰ φύσιν, εἰ οἷόν

peut être affecté seul sans déplacement du radius, et, à son tour, le radius peut éprouver une subluxation sans que le cubitus soit compromis; mais que l'un ou l'autre de ces deux os soit affecté, on assujettira également, quand on fait la réduction avec la machine, le bras à l'aide d'un lacs sur le support placé au-dessus de lui; on placera aussi autour des parties fuyantes de l'avant-bras un lacs à tension inégale, comme le *lacs tressé* ou le *lacs des marins* (XLVIII, 1, 3); on fera descendre les chefs de ce lacs, et on les enroulera sur les chevilles de l'axe pour arri-
13 ver à l'extension. Seulement, en plaçant le lacs à tension inégale autour du membre, on doit prendre la précaution d'appliquer les anses contre le côté qu'il s'agit de remettre en place, et les chefs contre le côté opposé; car les lacs à tension inégale ont la propriété spéciale d'agir avec plus de force sur les parties entourées de leurs anses que sur les parties situées du côté opposé (ch. 11, p. 380); or, comme l'avant-bras est composé de deux os, et qu'il s'agit de remettre en place l'un de ces deux os qui est dans une position contre nature, il convient de faire porter la force sur cet os-là, tandis que, s'il est possible, on n'exercera aucune

1. *παρθρεῖ* U. — Ib. *κατὰ αὐτήν* om. U. — Ib. *ὁπότερον* ex em.; *ὁποτέρα* RU. — 5. *ἑορτός* R. — Ib. *βρόχον* om. R. — 10. [*οἱ*] ex em.; om. RU. — 11. *ἀγκύλαι* ex em.; *ἀρχαί* RU. — 11-12. *διαζυγής* RU.

Mai 174-175.

τε, μὴ διαταθῆναι. Τάσεως αὐτάρκους γενομένης, μοχλεῖαι παρα- 14
λαμβανέσθωσαν αἱ τῷ ὀλισθήματι κατάλληλοι. Ἐπὶ μὲν τῆς ἔσω τοῦ 15
πήχεως διαφορᾶς καὶ τῆς ἔξω τῆς κερκίδος συνημμένοι οἱ δάκτυλοι
τῶν δύο χειρῶν ὑποτιθέσθωσαν τῷ ἀγκῶνι, καὶ τὰ θέναρα ἐκ πλα-
γίων παρατιθέσθω, ἵνα διὰ τῆς τῶν θενάρων παραθέσεως ὡσανεὶ
παραγωγῇ βίᾳ καταταγῆς ἀξιωθῇ τὸ ὀστέον. Ἐπὶ δὲ τῆς ὀπίσω τοῦ 16
πήχεως [ἢ] τῆς κερκίδος διαφορᾶς, τῆς χειρὸς κατὰ ποσὸν κε|καμ- 175
μένης, ἅμα τῇ κατατάσει θέναρι χειρὸς ἡ ἴπωσις γινέσθω πρὸς
τὴν τοῦ ὀστοῦ καταταγὴν, καὶ αὐτῆς τῆς τάσεως ἰδίως συνεργούσης
τῷ καταρτισμῷ. Τῆς δὲ κερκίδος εἰς τὸν ἔμπροσθεν τόπον παρηρ- 17
θρηκυίας, ἐκτεταμένης τῆς χειρὸς, οὕτως ἐνεργεῖν δεῖ ὡς ἐπὶ τῆς
ἔμπροσθεν διαφορᾶς ἀμφοτέρων τῶν ὀστέων. Δοκιμαζέσθω τοίνυν 18
τάσις μὲν ἡ κατὰ κράτημα καὶ κατάτασιν· μετὰ δὲ τὴν αὐτάρκη

traction sur celui qui est dans son état naturel. Quand l'extension a 14
acquis un degré d'intensité suffisant, on a recours aux mouvements de
levier applicables à ce déplacement articulaire. Quand il y a une luxation 15
du cubitus en dedans, ou un déplacement du radius en dehors, on
place les doigts réunis des deux mains sous le coude, tandis qu'on ap-
plique la paume sur les côtés de cette épiphyse, et cela dans le but de
faire rentrer forcément l'os en place, en le soumettant à une espèce d'im-
pulsion latérale. Lorsqu'il y a un déplacement du cubitus ou du radius 16
en arrière, on fléchit légèrement le membre, et on se sert de la paume
pour opérer, au moment même où on pratique l'extension, un mouve-
ment de refoulement, dans le but de faire rentrer l'os en place; car,
dans ce cas, l'extension elle-même a la propriété spéciale d'aider à la ré-
duction. Si le radius a éprouvé une subluxation en avant, on mettra le 17
membre dans l'extension, et on fera les mêmes manœuvres que pour le
cas où les deux os ont subi une luxation dans le même sens. On approu- 18
vera donc la méthode d'extension qui consiste à prendre un point d'ap-
pui fixe et à tirer vers le bas, et, quand l'extension aura acquis un degré

1. μήν R. — Ib. διατειθῆναι (?) U; διατεθῆναι P. — 3. καί conj.; ἐκ RU. — 5. παρατιθέσθωσαν U. — Ib. περιθέσεως P. — Ib. ὡσανεί P; ὥσαν ἡ U; ὡσεί R. — 7. [ἢ] ex em.; om. RU. — Ib. τὸ ποσόν RU.

Mai 175.

τάσιν μοχλεῖαι δύο παραλαμβανέσθωσαν ἡ κατὰ ἴπωσιν καὶ [ἡ] κατὰ περίσφαλσιν, καὶ ἡ μὲν κατὰ ἴπωσιν μενούσης τῆς τάσεως, ἡ δὲ
19 κατὰ περίσφαλσιν ἀνεθείσης, ὡς ἐκεῖ ἐδηλώθη. Μετὰ δὲ τὸν καταρτισμὸν κοινότερον ἐπὶ ἀμφοτέρων τῶν χειρῶν δοκιμάσαι δεῖ τὰ τῆς χειρὸς ἐνεργήματα, εἰ ἀνεμποδίστως γίνεται, κάμψιν λέγω καὶ
20 ἔκτασιν, ἐπί τε τὸ πρηνὲς καὶ τὸ ὕπτιον στροφήν. Τούτων τῶν ἐνεργημάτων ἀνεμποδίστων ὄντων, τεκμαίρεσθαι δεῖ τὴν τελείαν καταταγὴν γεγονυῖαν, μετὰ ἣν τὸ ἐγγώνιον σχῆμα χαρίσασθαι τῇ χειρὶ δεῖ πρὸς τὴν ἀκόλουθον θεραπείαν.

λα'. Περὶ καρποῦ.

1 Ὁ καρπὸς εἰς τέσσαρας τόπους παραρθρεῖ, ἔσω, ἔξω, πρόσθεν,
2 ὀπίσω. Δεῖ δὲ ἐπὶ τῆς ἔσω διαφορᾶς ὑπτίαν σχηματίζειν τὴν χεῖρα ἐπὶ τοῦ βάθρου, τοῦ πάσχοντος ὁμοίως κεκλιμένου, ἐπὶ δὲ τῶν

d'intensité suffisant, on aura recours à deux mouvements de levier, refoulement et glissement rotatoire : au premier pendant que l'extension persiste, et au second quand on l'a diminuée, ainsi que nous l'avons
19 indiqué à propos de la luxation des deux os (p. 444, l. 2). La réduction faite, on examinera comparativement, sur les deux membres, si leurs fonctions s'accomplissent sans obstacle; je veux parler de la flexion et
20 de l'extension, de la pronation et de la supination. Quand ces fonctions s'accomplissent régulièrement, on doit supposer que l'os est rentré complétement en place : après quoi on donnera au membre la position angulaire, en vue du traitement consécutif.

31. RÉDUCTIONS DES DÉPLACEMENTS DU CARPE.

1 Le carpe peut devenir le siége d'une subluxation dans quatre sens
2 différents: en dedans, en dehors, en avant et en arrière. Dans tous ces cas, on étend le malade sur le banc, en le couchant sur le dos; mais, quand le déplacement a eu lieu en dedans, on met le membre dans la

1. ἡ P; ἥ R; η U. — Ib. [ἡ] ex em.; om. RU. — 2-3. καὶ ἡ..... περίσφαλσιν om. P. — 3. ἀνεθείσης τῆς τάσεως RU.— Ib. ὡς om. R.— 7. ἀνεμποδίστως τῶν ὄντ. R.— Ib. μὲν δεῖ R.— Ch. 31, l. 11. ὕπτιον RU.

Mai 175-176.

λοιπῶν τριῶν διαφορῶν πρηνῆ. Μετὰ τὸν προειρημένον σχηματι- 3
σμὸν τῷ πήχει καρχήσιος βρόχος ἢ ἄλλος ἰσότονος περιτιθέσθω,
τῷ δὲ κοίλῳ τῆς χειρὸς πλαγία σκυτάλη, ἢ καυτήριον ἐντιθέσθω,
ἔπειτα ἀσφαλιζέσθω πρὸς τὸ μετακάρπιον διὰ τοῦ καλουμένου ἐξά-
κρου ἐπιδέσμου, καὶ τότε τοῖς τῆς σκυτάλης ἄκροις ἢ τοῦ καυτηρίου
διπλῶν καιριῶν μεσότητες, ἢ βρόχων ἀνισοτόνων ἀγκύλαι περιτι-
θέσθωσαν ἀγόμεναι κάτω, ἕτερός τε βρόχος περιτιθέσθω τῷ πήχει
ἰσότονος, οὗ | αἱ ἀρχαὶ ὑπὲρ κεφαλῆς ἀγέσθωσαν ἀποδεδομέναι κρα- 176
τήματι· αἱ δὲ κάτω ἀρχαὶ περιτιθέσθωσαν τῷ ἄξονι πρὸς τὴν κατάλ-
ληλον τάσιν, ἵνα κινουμένου τούτου κράτημα γένηται καὶ κατάτασις.
Μετὰ δὲ τὴν αὐτάρκη τάσιν αἱ ἁρμόζουσαι μοχλεῖαι παραλαμβα- 4
νέσθωσαν, μάλιστα δὲ νῦν συμφέρει ἐπὶ τοῦ καρποῦ κατὰ κρά-
τημα καὶ κατάτασιν ἐνεργεῖν· ἐξέσται δὲ καὶ ἀνατάσει χρήσασθαι.

supination, et dans la pronation pour les trois autres cas. Après avoir 3
donné la position susdite au malade, on entoure l'avant-bras du *câble* (XLVIII, 9), ou de quelque autre lacs à tension égale; puis on met en travers, dans le creux de la main, un bâtonnet ou un fer à cautère (ch. 15, p. 392), qu'on assujettit ensuite sur le métacarpe à l'aide du bandage appelé *pointu* (XLVIII, 53); alors on place autour de chacune des extrémités du bâtonnet ou du fer à cautère le milieu d'un cordon double ou l'anse d'un lacs à tension inégale, pour les faire descendre après; on met, autour de l'avant-bras, un autre lacs à tension égale, dont on fait passer les chefs par-dessus la tête, pour les assujettir à un objet immobile, dans le but de les retenir; on placera, au contraire, les chefs d'en bas autour de l'axe, afin d'arriver à une extension convenable; le but qu'on se propose consiste à obtenir, en tournant l'axe, un
point d'appui fixe et une traction vers le bas. Quand l'extension aura ac- 4
quis un degré d'intensité suffisant, on aura recours aux mouvements de levier appropriés; maintenant qu'il s'agit du carpe, la méthode la plus avantageuse consiste à agir en prenant un point d'appui fixe et en tirant par le bas; toutefois on pourra aussi se servir de la traction par

1. *τόν* ex em.; *τῶν* RU.— 1-2. *προειρημένων σχηματισμῶν* R. — 3. *κύλῳ* U; *κώλῳ* P. — 4-5. *ἐξαπίου* RU text.; *ἐξόχου καὶ ἐξακέρου* R marg.; *ἐξόχου καὶ ἐξάγκρου* P. — 5. *ἐπιδέσμου* om. R. — 9. *αἱ δὲ κάτω*] *οὗ αἱ* R. — 13. *ἀνατ. χρ.*] *et sursum adducere et in diversa contendere* Vid.

Mai 176.
5 Τῆς τάσεως αὐτάρκους γενομένης, ἁρμοζέσθωσαν αἱ κατάλληλοι
6 μοχλεῖαι πρὸς τὴν καταταγήν. Ἐπὶ μὲν τῆς ἔσω καὶ τῆς ἔξω διαφορᾶς, θέναρι χειρὸς, ἢ πτέρνης κατὰ ἐπίβασιν βιαζέσθω τὰ ἱπούμενα ὀστέα, εἶτα ἡ χεὶρ ἄκρα κατὰ τὰ μέρη τὰ πρὸς τοῖς δακτύλοις ἀντανακλάσθω· ἐπὶ δὲ τῆς ἔμπροσθεν καὶ τῆς ὀπίσω διαφορᾶς αἱ κατὰ παραγωγὴν μοχλεῖαι ὀφείλουσι παραλαμβάνεσθαι.

λϐʹ. Περὶ ὑϐώματος.

1 Πᾶσαι μὲν αἱ διαφοραὶ τῶν ἐκϐολῶν τῷ τοῦ Ἱπποκράτους ὀργάνῳ καταρτίζονται· προηγουμένως δὲ τὰ τῆς ῥάχεως ὑϐώματα· τῶν δὲ τῆς ῥάχεως ὑϐωμάτων μάλιστα θεραπευτὰ νενόμισται τὰ ἐκ
2 πληγῆς γινόμενα πρόσφατα ὄντα. Σχηματιζέσθω δὲ νῦν ὁ πάσχων πρηνὴς ἐπὶ τοῦ βάθρου, ἵνα αἱ τῶν βρόχων ἀρχαὶ κατάλληλοι γίνοιντο τοῖς ἄξοσιν· περιτιθέσθωσαν δὲ τῇ ῥάχει ἤτοι ἰσότονοι

5 le haut. Quand l'extension sera devenue assez forte, on appliquera les mouvements de levier qui conviennent pour remettre l'articulation en
6 place. S'il s'agit d'un déplacement en dedans ou en dehors, on rentrera les os de force, en les refoulant, soit avec la paume de la main, soit en appuyant le talon dessus; ensuite on rejettera en arrière la partie de la main qui se rapproche des doigts; si on a affaire à un déplacement en avant ou en arrière, on doit avoir recours aux mouvements de levier qui agissent par impulsion latérale.

32. RÉDUCTIONS DES COURBURES DE LA COLONNE VERTÉBRALE.

1 Toutes les espèces de déplacements articulaires peuvent être réduites avec la machine d'Hippocrate (voy. ch. 5 et 26); toutefois ce sont surtout les courbures de l'épine du dos qui se prêtent à l'emploi de cette machine; or, parmi ces courbures, on regarde comme les plus susceptibles d'être guéries celles qui proviennent d'une violence extérieure récente.
2 Dans le cas dont il s'agit, on couchera le malade sur le banc, en le plaçant sur le ventre, afin que les chefs des lacs soient situés vis-à-vis des axes; on entourera l'épine du dos soit de deux lacs à tension égale, un

Ch. 32, l. 10. δέ om. U.

Mai 176-177.

βρόχοι δύο, εἷς μὲν ἄνω ὑπὲρ τὸ ὕϐωμα, εἷς δὲ κάτω ὑπὸ τὸ ὕϐωμα,
ἢ ἀνισότονοι τέσσαρες, δύο ἄνω καὶ δύο κάτω, κατὰ ἀντίθετον τασ-
σόμενοι, οἵως ἐδηλώθη ἐν τῇ Τῶν ὀλισθημάτων πραγματείᾳ. Ἡ δὲ 3
τῆς τάσεως ἐνέργεια γινέσθω μᾶλλον μὲν κατὰ διάτασιν, ἔστιν ὅπη
δὲ [καὶ] κατὰ κράτημα καὶ κατάτασιν, ἢ κατὰ κράτημα καὶ ἀνάτα-
σιν. Μετὰ δὲ τὴν αὐτάρκη τάσιν προσαγέσθωσαν μοχλεῖαι αἱ κατὰ 4
ἴπωσιν· διαφόρους δὲ ἰπώσεις ἀνέγραψεν ὁ Ἱπποκράτης, τὴν διὰ
τοῦ θέναρος τῆς χειρὸς καὶ τὴν διὰ τῆς ἰ|πώτριδος σπάθης. Ἡ δὲ 177 5
διὰ τῆς ἰπώτριδος σπάθης μοχλεία ἐγίνετο ἐν τοῖς εὐποριστοις
καταρτισμοῖς, τοῦ τῆς σπάθης ἄκρου ἐντιθεμένου εἰς ἐντοίχιον
ὄρυγμα ἢ ξύλον ἐσκαμμένον. Ἡμεῖς δὲ ἐν τῷ ἱπποκρατείῳ βάθρῳ 6
πρὸς τὴν τῆς σπάθης ἀντέρεισιν ἐποιήσαμεν πῖ σιδηροῦν ἀνάλογον

en haut au delà de la courbure, et un en bas au-dessous d'elle, soit de
quatre lacs à tension inégale, deux en haut et deux en bas, et dont les
uns auront une direction opposée à celle des autres, ainsi que cela a été
indiqué dans le traité *Des déplacements articulaires*. Le procédé à suivre 3
pour l'extension consistera surtout à tirer des deux côtés à la fois; cepen-
dant, dans certains cas, on pourra aussi opérer en prenant un point
d'appui fixe et en tirant soit vers le bas, soit vers le haut. Quand l'ex- 4
tension a acquis un degré d'intensité suffisant, on mettra en œuvre les
mouvements de levier qui agissent par refoulement; or Hippocrate
(*Artic.* § 47) a mentionné, dans ses écrits, diverses espèces de refoule-
ment : celle qui se fait avec la paume de la main et celle où on se sert
de la spathe à refoulement. Le passage où Hippocrate décrit le mouve- 5
ment de levier qu'on pratique avec la spathe à refoulement se lit dans
la partie de ses écrits où il parle des réductions qui exigent peu d'ap-
pareil; il prescrit d'introduire le bout de la spathe dans un trou prati-
qué au mur, ou dans un morceau de bois où l'on a fait une excavation.
Quant à nous, nous avons ajouté au banc d'Hippocrate, afin d'obtenir un 6
contre-appui pour la spathe, un *pi* en fer, dont les dimensions corres-
pondent à celles de la spathe, *pi* qu'on peut enlever et remettre en

2. ἢ ex em. Vid.; ἔπειτα οἱ RU. — Ib. καὶ om. R. — 5. [καὶ] ex em.; om. RU. — Ib. κατάτασιν..... καὶ om. R. — 7. διὰ ex em.; δὲ διὰ RU. — 8. τὴν δὲ διὰ U. — Ib. Εἰ R. — 9. εὐποριστοις ex em.; εὐπόροις τοῖς R; εὐποριστοις τοις (sic) U. — 10. ἐντοίχιον ex em.; στοιχεῖον R; εντοιου (sic) UP; ἐν τοῖον P marg.

Mai 177. τῇ σπάθῃ ἔνθετον καὶ ἐξαίρετον, τετρημένον πολλοῖς τρήμασιν, εἰς
7 τρήματα τῶν τοῦ ὀργάνου σκελῶν ἐντιθέμενον. Πρὸς τὸ κατάλληλον
τοῦ ὑϐώματος μέγεθος ἁρμόσας τὸ πῖ, τὸ τῆς σπάθης ἄκρον ἐνθεὶς
εἰς τὸ πῖ, κατάγω τὴν ἰπώτριδα κατὰ τοῦ ὑϐώματος πρὸς τὴν
8 κατὰ ἴπωσιν μοχλείαν. Ἔνιοι δὲ καὶ διπλῆς καιρίας ὑποθέντες με-
σότητα τῷ ὀργάνῳ τὴν αὐτάρκη, ἐκεῖ τὴν ἰπώτριδα σπάθην ἐνθέν-
9 τες ἴπωσαν. Τὸ δὲ μέτρον τῆς ἰπώσεως ἐν τοῖς Περὶ ὀλισθημάτων
ἀκριϐέστερον εἴρηται.

λγ'. Περὶ τῶν τοῦ μηροῦ ἐξαρθρημάτων.

1 Εἰς τέσσαρας τόπους ἐξαρθρεῖ ὁ μηρὸς, ἔσω, ἔξω, ἔμπροσθεν,
ὀπίσω, καὶ ἐπὶ μὲν τῶν τριῶν διαφορῶν, τῆς ἔσω, τῆς ἔξω, τῆς
ἔμπροσθεν, ἐκτέταται τὸ σκέλος κάμπτεσθαι μὴ δυνάμενον, ἐπὶ δὲ
2 τῆς ὀπίσω διαφορᾶς κέκαμπται ἐκτείνεσθαι μὴ δυνάμενον. Ἐπὶ τῶν
τριῶν διαφορῶν, ἐπὶ ὧν ἐκτέταται τὸ σκέλος, σχηματιζέσθω ὕπτιος

place, qui est percé lui-même d'un grand nombre de trous, et qu'on
7 place dans ceux des jambes de la machine. Conformant les dimensions
du *pi* à la hauteur de la courbure, j'insère l'extrémité de la spathe dans
le *pi* et je l'abaisse sur la courbure, pour obtenir un mouvement de
8 levier qui agit par refoulement. Quelques-uns placèrent aussi le milieu
d'un double cordon de longueur suffisante au-dessous de la machine et
exercèrent le refoulement en introduisant la spathe à refoulement dans
9 ce cordon. Nous avons dit, avec plus de détails, dans le traité *Des dé-
placements articulaires*, jusqu'où il fallait pousser le refoulement.

33. RÉDUCTION DES LUXATIONS DE LA CUISSE.

1 Le fémur peut se désarticuler dans quatre sens : en dedans, en dehors,
en avant et en arrière; dans les trois premières espèces de luxation,
c'est-à-dire dans les luxations en dedans, en dehors et en avant, la
jambe est étendue sans pouvoir être fléchie, tandis que, dans la luxation
2 en arrière, elle est fléchie sans pouvoir être étendue. Dans les trois es-
pèces de luxation où le membre est étendu [sans pouvoir être fléchi], on

4. κατάγω conj.; κατάγων τε U; κατάγοντες R. — 6. ἐκεῖ τήν] ἔκτισιν R. — Ib. σπάθῃ RU. — Ch. 33, l. 10. ὀπισθεν R.

Mai 177-178.

ὁ πάσχων, καὶ τότε διπλῆς καιρίας μεσότης ἐρίῳ περιειλημένη τῷ
περινέῳ ὑποτιθέσθω, αἱ δὲ ἀρχαὶ ἀνατετάσθωσαν ὑπὲρ κεφαλῆς.
Ἀδιαφορώτερον μὲν ἐπὶ τῶν λοιπῶν διαφορῶν ἥ τε μεσότης τῆς 3
καιρίας τῷ περινέῳ περιτιθέσθω, παρατετηρημένως δὲ μᾶλλον ἐπὶ
τῆς ἔσω διαφορᾶς πρὸς τῷ ὑγιεῖ μηρῷ, ἵνα μὴ ὑπὸ τῆς μεσότητος
τῆς καιρίας ἡ τοῦ μηροῦ κεφαλὴ ἐν τῇ τάσει κρατηθῇ· ἄνω δὲ οὖ-
σαι αἱ ἀρχαὶ ἀποδιδόσθωσαν ἢ τῷ ἄξονι, εἰ κατὰ διάτασιν ἐνεργεῖν
μέλλομεν· εἰ δὲ κατὰ κράτημα καὶ κατάτασιν, τῇ ὑπερκειμένῃ φλιᾷ,
καὶ τότε τῷ μηρῷ κατὰ τὰ ἀπολή|γοντα μέρη τὰ πρὸς τῷ γόνατι 178
καρχήσιος βρόχος περιτιθέσθω, οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω καὶ
ἀποδιδόσθωσαν τῷ τύλῳ τοῦ ἄξονος, ἵνα τῇ τούτου σΊροφῇ κράτημα
γένηται καὶ κατάτασις. Τάσεως αὐτάρκους γενομένης, μοχλεῖαι 4
προσαγέσθωσαν. Ἰδίως δὲ ἡ πιοειδὴς φλιὰ ἐπενοήθη ἐπὶ τῆς ἔσω 5

placera le malade sur le dos; alors on mettra au-dessous du périnée le
milieu d'un cordon double enveloppé de laine, dont on attirera les chefs
par-dessus la tête. A moins qu'il ne s'agisse de la luxation en dedans, 3
on ne s'inquiétera pas beaucoup de la partie du périnée qu'on entourera du milieu de la bande; mais, dans cette dernière espèce de luxation, on mettra plus de précaution, et on s'attachera à placer la bande près de la cuisse saine, pour empêcher que la tête du fémur ne soit retenue par le milieu de cette bande, au moment où on pratique l'extension; quant aux chefs placés en haut, on les assujettira sur l'axe, si on veut faire l'extension, en tirant des deux côtés à la fois; au contraire, on les attachera sur le support placé en dessus, si on veut procéder en prenant un point d'appui fixe et en tirant par le bas; alors on placera, autour des parties fuyantes de la cuisse, voisines du genou, le *câble* (XLVIII, 9), dont on amènera les chefs vers le bas, pour les assujettir sur la cheville de l'axe, afin d'obtenir, en le tournant, un point d'appui fixe et une
extension vers le bas. Quand l'extension a acquis un degré d'intensité 4
suffisant, on passe aux mouvements de levier. Le support en forme de 5
pi a été spécialement inventé pour la luxation du fémur en dedans;

2. *περιναίῳ* R; *περινεῷ* U; it. p. 453, l. 6. — 3. *Διαφορώτερον* R. — Ib. *ἐπί* ex em.; *ἢ ἐπί* U; *ἡ ἐπί* RP. — 4. *περιναίῳ* RU; it. p. 453, l. 10 et p. 454, l. 8. — 6. *ἄνω* conj.; *μᾶλλον* RU. — 7. *ἢ* om. R. — 11. *ἀποδόσθωσαν* U; *περιτιθέσθωσαν* R. — 12. *ἀνάτασις* R 2ª m. — 13. *πιώδης* RU.

Mai 178.
διαφορᾶς τοῦ μηροῦ· ἧς καταρτιζομένης, σχηματίζεται ὁ πάσχων
κεκλιμένος ἐπὶ τὸ κατὰ φύσιν ἔχον μέρος, τοῦ πριαπίσκου ἐξῃρη-
μένου, καὶ τὸ μὲν ὑγιὲς σκέλος τάσσεται ὑπὸ τὴν φλιὰν, καὶ οὕτως
ἀσφαλίζεται πρὸς τὸ βάθρον, ἵνα ἀτρεμῇ· ὡσαύτως δὲ καὶ αἱ χεῖ-
ρες σὺν τῷ λοιπῷ σώματι· τὸ δὲ σιναρὸν σκέλος φέρεται ἄνω ὑπὲρ
6 τὴν φλιὰν κατὰ τοῦ πιοειδοῦς πήγματος πλησίον περινέου. Καὶ
τῷ μηρῷ κατὰ τὰ ἀπολήγοντα μέρη τὰ πρὸς τῷ γόνατι καρχήσιος
βρόχος ἢ ἄλλος ἰσότονος περιτίθεται, οὗ αἱ ἀρχαὶ ἄγονται κάτω
ἐπὶ τὸν ἄξονα· αὐτῇ δὲ τῇ φλιᾷ ὑπὸ τὸ καταρτιζόμενον σκέλος ἐπι-
τίθεται σπάθη ἰπῶτρις ἢ ἄμβη ἔσωθεν ἀπὸ τοῦ περινέου ὅλῳ τῷ
7 σκέλει ὑποκειμένη. Τούτων γενομένων, πρὸς τὸν καταρτισμὸν σΊρέ-
8 φεται ὁ ἄξων, οὗ κινουμένου γίνεται κατάτασις. Μετὰ τὴν αὐτάρκη
τάσιν ἄγεται ἡ σπάθη ἢ ἄμβη κατὰ τῆς φλιᾶς καταγομένη βίᾳ μετὰ
τοῦ σκέλους, ἥ τε κατὰ ἐξελκυσμὸν γίνεται μοχλεία· μετὰ δὲ τὸν

quand il s'agit de réduire cette luxation, on couche le malade de telle manière qu'il s'appuie sur le côté sain; on enlève le priapisque et on place le membre intact au-dessous du support, pour l'assujettir dans cette position sur le banc, afin qu'il reste immobile; on agit de même pour les bras ainsi que pour le reste du corps; au contraire, on passe la jambe souffrante par-dessus le support, pour mettre sa partie voisine
6 du périnée sur la planche transversale du *pi*. On entoure les parties fuyantes de la cuisse, voisines du genou, du *câble*, ou de quelque autre lacs à tension égale, dont on amène les chefs en bas vers l'axe, tandis qu'on place sur le support lui-même, et sous le membre qu'on veut remettre en place, une spathe à refoulement, ou une ambe qui s'étendra au-dessous du côté intérieur de la jambe tout entière, à commencer au
7 périnée. Après cela on tourne l'axe, pour en venir à la réduction de la
8 luxation, et on obtient, par sa rotation, une extension vers le bas. Quand l'extension a acquis un degré d'intensité suffisant, on amène la spathe ou l'ambe sur le support, en l'abaissant par force, conjointement avec la jambe, et on opère le mouvement de levier qui se fait par attraction;

5. σχήματι R. — 7. τῷ ex em.; τῶν ἐν RU. — Ib. τῷ om. R. — 10. ἰπωτρὶς U; ἱπποτρὶς R; ἰπωτριάς P. — 11. γινομένων R. — 13. καταγομένης RU. — Ib. κατά RP text. — 14. ἥ τε] εἶτα R.

ἐξελκυσμὸν δοκιμάζεται τὸ σφάλμα, ὡς καὶ ἐπὶ τῆς εἰς τὴν μασχά- Mai 178-179.
λην διαφορᾶς εἴρηται. Ἐπὶ δὲ τῆς ὀπίσω διαφορᾶς οὔτε τὸ πρηνὲς, 9
οὔτε τὸ ὕπτιον σχῆμα αἱρούμεθα, ἀλλὰ [τὸ] καθέδριον ὡς ἐπὶ τὸ
ὑγιὲς ἰσχίον μᾶλλον προσκεκλιμένον. Τοιούτου δὲ ὄντος τοῦ σχή- 10
ματος δύο δεῖ λαβεῖν καιρίας, ὧν ἣν μὲν ἁπλῆν παρατεῖναι, ἣν δὲ
διπλῆν ἐπεμβαλέσθαι τῇ μεσότητι τῆς ἁπλῆς, καὶ τῇ μὲν ἁπλῇ και-
ρίᾳ περιζῶσαι τὸν πάσχοντα, τὴν δὲ διπλῆν ἄνωθεν κάτω ἀπαγα-
γεῖν ἀπὸ τοῦ ἤτρου ὡς ἐπὶ τὸν περίνεον καὶ διὰ τῆς ἕδρας ὀπίσω
ἐνεγκεῖν, ἵνα ὁμόσε αἱ τέσσαρες τῶν καιριῶν ἀρχαὶ ἀποδοθῶσιν
ὀπίσω πρὸς τὸ κράτημα. | Γενομένου δὲ τοῦ κρατήματος, σπάθης 179 11
ἰπώτριδος τὸ πλατὺ μέρος ὑποτιθέσθω τῷ ἰσχίῳ, τῷ δὲ μηρῷ κατὰ
τὰ ἀπολήγοντα μέρη τὰ πρὸς τῷ γόνατι ἰσότονος βρόχος περιτι-
θέσθω, οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω ἐπὶ τὸν ἄξονα, ἵνα τῇ τοῦ

après avoir fait l'attraction, on recommande d'opérer le glissement, ainsi que je l'ai dit également en parlant de la luxation de l'humérus dans l'aisselle (ch. 28, p. 438, l. 2 sqq.). Dans la luxation en arrière, nous ne croyons 9
devoir ni coucher le malade sur le ventre, ni le coucher sur le dos; mais nous le mettons dans la position assise, en le faisant appuyer particulièrement sur la fesse du côté sain. Après avoir donné cette position 10
au malade, on prend deux cordons, dont on étend l'un, qui est simple, le long du corps, tandis qu'on place l'autre, qui est double, sur le milieu du cordon simple; puis on fait, avec le cordon simple, une ceinture pour le malade, tandis qu'on amène le cordon double de haut en bas, du pubis au périnée, et qu'on le porte en arrière, en passant par le siége, afin que les quatre chefs des cordons arrivent au même point et qu'on puisse les assujettir ensemble, par derrière, sur un objet immobile destiné à les retenir. Après avoir obtenu ainsi un point d'appui fixe, on 11
place la partie aplatie de la spathe à refoulement au-dessous de la fesse, et on entoure les parties fuyantes de la cuisse, voisines du genou, d'un lacs à tension égale, dont on amène les chefs en bas sur l'axe, pour ob-

3. [τό] ex em.; om. RU. — Ib. ὡς καὶ ἐπί R. — 4. μᾶλλον ex em.; μᾶλλον δέ RU. — Ib. προσκεκλεμένον U. — 5. ἁπλῆν P; διπλῆν R; διπλῇ U. — 7-8. ἐπαγαγεῖν RU. — 8. ἴτρου R. — 12. μέρη πρός R.

Mai 179.
12 ἄξονος στροφῇ κράτημα γένηται καὶ κατάτασις. Τάσεως αὐτάρκους γενομένης, ἅμα τῇ κατατάσει ἡ τοῦ μηροῦ κεφαλὴ διὰ τῆς σπάθης ἔξω προβιβαζέσθω, καὶ πλατείᾳ τῇ χειρὶ εἰς τὸ ὕπτιον κατακλινέσθω ὁ πάσχων· τῇ γὰρ δεδηλωμένῃ βίᾳ ἀρθρεμβοληθήσεται ὁ μη-
13 ρός. Τὸ δὲ τῆς καταταγῆς σημεῖον ἐξ ἀντιπαραβολῆς τῆς πρὸς τὸ ἕτερον σκέλος γνωρίζεται καὶ τῶν ἀνεμποδίστων ἐνεργημάτων αὐτοῦ τοῦ σκέλους· ὅταν γὰρ ἀνεμποδίστως κάμπτηται καὶ ἐκτείνηται, τότε λογίζεσθαι περὶ τῆς ἀρίστης καταταγῆς.

λδʹ. Περὶ γόνατος.

1 Τὸ γονάτιον εἰς τρεῖς τόπους παραρθρεῖ, τὸν ἔσω, τὸν ἔξω, τὸν ὀπίσω· ἐπὶ δὲ πάσης διαφορᾶς ἐκτέταται τὸ σκέλος κάμπτεσθαι
2 μὴ δυνάμενον. Δεῖ δὲ ἐπὶ μὲν τῆς ἔσω καὶ τῆς ἔξω διαφορᾶς ὕπτιον σχηματίζεσθαι ἐπὶ τοῦ βάθρου τὸν πάσχοντα, ἐκτεταμένου τοῦ

tenir, en le tournant, un point d'appui fixe et une extension vers le bas.
12 Quand l'extension a acquis un degré d'intensité suffisant, on fait avancer, à l'aide de la spathe, au moment même où on pratique l'extension vers le bas, la tête du fémur vers l'extérieur, et, avec le plat de la main, on rejette le malade sur le dos : en effet, en faisant au malade la violence que nous venons d'indiquer, on obtiendra que le membre rentre dans
13 l'articulation. On reconnaît que la réduction a eu lieu, en comparant la jambe qui était malade avec l'autre, et en constatant la liberté des fonctions de la jambe elle-même : en effet, quand on peut fléchir et étendre le membre sans obstacle, il faut en conclure que la réduction s'est parfaitement bien accomplie.

34. RÉDUCTION DE LA LUXATION DU GENOU.

1 Le genou peut se luxer dans trois sens : en dedans, en dehors et en arrière ; mais, quelle que soit l'espèce de désarticulation, le membre est
2 étendu et ne saurait être fléchi. Pour la désarticulation en dedans ou en dehors, on placera le malade sur le banc, en le couchant sur le dos, la jambe étendue ; au contraire, on le couche sur le ventre quand il y a

2. ἡ om. R. — 7. *καί* P; ἡ U; om. R. — Ib. *κάμπτεται* U. — Ib. *ἐκτείνηται* P; *ἐκτίνεται* U; om. R. — 8. *λογίζεται* U.

Mai 179.

σκέλους, ἐπὶ δὲ τῆς ὀπίσω πρηνῆ. Τοῦ σχηματισμοῦ γενομένου 3
καθὼς εἴρηται, δύο βρόχοι ἰσότονοι περιτιθέσθωσαν τῷ σκέλει, εἷς
μὲν ἄνω [κατὰ] τοῦ μηροῦ, εἷς δὲ κάτω [κατὰ] κνήμης, καὶ τοῦ μὲν
ἄνω βρόχου αἱ ἀρχαὶ ἀναγέσθωσαν ἄνω ὑπὲρ κεφαλῆς, τοῦ δὲ κάτω
ἐπὶ τὸν ἄξονα, εἶτα ἐγκρινέσθωσαν αἱ τάσεις αἱ καὶ ἐπὶ τῶν λοιπῶν
ἄρθρων δεδηλωμέναι· ἐξέσται γὰρ ἢ κατὰ κράτημα καὶ κατάτασιν
ἐνεργῆσαι, ἢ κατὰ κράτημα καὶ ἀνάτασιν, ἢ κατὰ διάτασιν. Τά- 4
σεως αὐτάρκους γενομένης, ἐπὶ μὲν τῶν εἰς τὰ πλάγια διαφορῶν,
τῆς ἔσω καὶ τῆς ἔξω, αἱ κατὰ παραγωγὴν ἐγκρίνονται μοχλεῖαι·
ἐπὶ δὲ τῆς ὀπίσω καὶ ἡ κατὰ ἴπωσιν καὶ ἡ κατὰ περίσφαλσιν.
Τοὺς δὲ τρόπους τῶν μοχλειῶν τούτων ἐμφερεῖς ὄντας τοῖς ἐπὶ τοῦ 5
ἀγκῶνος μετάγειν δεῖ καὶ ἐνθάδε.

une luxation en arrière. Après avoir donné au malade la position que 3
nous venons de décrire, on entourera le membre de deux lacs à tension
égale, dont on placera l'un en haut sur la cuisse, et l'autre en bas sur la
jambe; on fera remonter les chefs du lacs d'en haut par-dessus la tête,
et on amènera ceux du lacs d'en bas à l'axe; ensuite on mettra en œuvre
les procédés d'extension que j'ai également décrits en parlant des autres
articulations : en effet, on pourra opérer, soit en prenant un point d'appui
fixe et en tirant vers le bas ou vers le haut, soit en opérant la double
traction. Quand l'extension a acquis un degré d'intensité suffisant, on 4
met en œuvre les mouvements de levier, qui consistent, pour les dé-
sarticulations transversales, c'est-à-dire pour le déplacement en dedans
ou en dehors, dans une impulsion latérale, et, pour la désarticulation
en arrière, dans le mouvement par refoulement et le mouvement par
glissement rotatoire. Comme les procédés pour ces mouvements sont 5
semblables à ceux qu'on emploie à propos du coude, il faut recourir,
pour les étudier, au chapitre qui traite de ce sujet (ch. 30).

2-3. τῷ..... καί om. R. — 2. εἷς] ὁ U. — 3. [κατά]..... [κατά] ex em.; om. U. — 5. αἱ τάσεις αἱ καί ex em.; καὶ αἱ P; καί R; καὶ ατ (sic) U. — 6. κατάτασιν] ἀνάτασιν ἢ κατὰ τάσιν R; ἀνάτασιν ἢ κατά U. — 7. ἐνεργῆσαι om. U. — 8. γινομένης RU. — 9. ἐκκρίνονται RU. — 11. τόπους RU.

Mai 180.

| λε'. Περὶ σφυροῦ.

180

1 Τὸ σφυρὸν ποτε μὲν ἔσω, ποτὲ δὲ ἔξω διαστρέφεται· ἔστιν ὅπη
2 δὲ ὀπίσω ὑποπηδᾷ. Κοινότερον δὲ ἐπὶ πάσης διαφορᾶς σχηματιζέ-
σθω ὁ πάσχων ὕπτιος, ἐκτεταμένον τὸ σκέλος ἔχων, καὶ τότε τῇ
κνήμῃ βρόχος ἰσότονος καρχήσιος περιτιθέσθω, οὗ αἱ ἀρχαὶ ἀγέ-
3 σθωσαν ὀπίσω κατὰ τοῦ ὑπὲρ κεφαλὴν ἄξονος. Τῷ δὲ σφυρῷ βρό-
χος περιτιθέσθω ὁ καλούμενος δράκων, ἢ ὁ σανδάλιος, αἵ τε τούτου
τοῦ βρόχου ἀρχαὶ ἀγέσθωσαν κάτω ἐπὶ τὸν ἄξονα, καὶ τότε ἢ δια-
4 τεινέσθω, ἢ κατὰ κράτημα καὶ κατάτασιν τεινέσθω τὸ μέρος. Τάσεως
αὐτάρκους γενομένης, αἱ ἀκόλουθοι μοχλεῖαι δοκιμαζέσθωσαν κατὰ
ἀντεπιστροφήν· ἐπὶ δὲ τῆς ὀπίσω ἡ κατὰ ἐξελκυσμόν· νυνὶ γὰρ διὰ

35. RÉDUCTION DES DÉPLACEMENTS DE LA MALLÉOLE.

1 La malléole peut subir des distorsions qui se font tantôt en dedans et
tantôt en dehors; dans certains cas, elle s'échappe aussi en arrière.
2 C'est un précepte commun pour toutes ces affections de placer le ma-
lade sur le dos, la jambe étendue; alors on entourera la jambe du
câble qui agit comme un lacs à tension égale, câble dont on amènera
3 les chefs en arrière par-dessus l'axe situé au delà de la tête. Autour de
la malléole on placera le *dragon*, ou le lacs à sandale (XLVIII, 4 et 5),
dont on amènera les chefs en bas sur l'axe; alors on pratiquera l'exten-
sion du membre, soit par la double traction, soit en prenant un point
4 d'appui fixe et en tirant vers le bas. Quand l'extension aura acquis un de-
gré d'intensité suffisant, on recommandera de faire les mouvements de
levier nécessaires et qui consisteront à faire rebrousser chemin à l'os;
cependant, dans la luxation en arrière, on pratiquera le mouvement
de levier qui agit par attraction : en effet, dans ce cas, cette espèce de

Ch. 35, tit. σφυροῦ R ind.; σφυρῶν R text. U. — 1. ποτὲ δὲ ἔξω om. Vid. — 4-5. ἀγέσθωσαν] ἀποδιδόσθωσαν R. — 6. τὸ σανδάλιον RU. — Ib. τούτου om. R. — 7. τοῦ βρόχου om. U. — 8. κράτημα ἢ κατὰ τάσιν RU. — Ib. τεινέσθω ex em.; διατεινέσθω RU. — 9. ἀκύλου σοι R. — 10. ἀντεπιστροφήν] ubi in interiorem vel exteriorem partem exciderit, retro cogendo. Vid. — Ib. ἢ RU.

Mai 180.

τὸν σχηματισμὸν γίνεται ἢ κατὰ ἐξελκυσμόν. Τοὺς δὲ τρόπους τῶν μοχλειῶν τούτων ἐπιμελέστερον ὑμῖν ἐκθήσομαι ἐν τῇ Περὶ *ὀλισθημάτων πραγματείᾳ.*

mouvement de levier a lieu par l'effet de la position qu'on a donnée au malade. Dans mon traité *Des déplacements articulaires,* je vous exposerai avec plus de soin les procédés pour ces mouvements de levier.

1. ἢ] ὁ RU.

ΒΙΒΛΙΟΝ Ν'.

α'. Περὶ λιποδέρμων. Ἐκ τῶν Γαληνοῦ.

1 Ἐπὶ ὧν ὀλίγον ἐνδεῖ τῷ δέρματι τοῦ αἰδοίου πρὸς τὸ κατὰ φύσιν,
ἐπὶ τούτων πολλάκις μόνῃ τῇ τάσει τὸ δέον εἰργασάμην, ἵνα χάρ-
του μαλακὴν καὶ εὔτονον ἐν κύκλῳ περιελίττων ὑποκεχρισμένου τῷ
2 δέρματι κόμμεως. Εὔδηλον δὲ δήπουθεν ὅτι τὸ τῆς ἰνὸς πέρας ἐπι-
κολλᾷν χρὴ διὰ κόμμεως τῷ ὑποβεβλημένῳ μέρει τῆς ἰνός· ἐν τάχει
3 τε γὰρ ξηραίνεται καὶ ἀλύπως σφίγγει. Ὑποτιθέναι δὲ χρὴ τοῦ
δέρματος τῆς πόσθης ἐκ τῶν ἔνδον μερῶν σΊρογγύλον τι συμμέτρον
4 ὃ μετὰ τὸ κολλῆσαι τὴν ἶνα ῥᾳδίως ἐξαιρήσεις. Ἐγὼ δὲ εἴωθα, κᾂν

LIVRE L.

1. DE CEUX DONT LE PRÉPUCE EST TROP COURT. — TIRÉ DE GALIEN.

1 Quand il ne manque au prépuce qu'une petite étendue de peau pour
que la verge soit dans son état naturel, j'ai souvent obtenu le résultat
désiré par la simple extension : à cet effet, je roulais circulairement au-
tour du membre une languette de papier (*papyrus*) forte et molle, après
2 avoir enduit la peau de gomme. Il est clair qu'il faut coller, avec de la
gomme, l'extrémité de la languette sur la partie de cette même lan-
guette placée au-dessous de l'extrémité : en effet, cet appareil se sèche
3 vite et serre sans incommoder. On placera au-dessous de la peau du
prépuce, du côté intérieur, un objet arrondi de dimension convenable,
qu'on pourra enlever facilement quand la languette se sera agglutinée.
4 Quand je n'ai aucun objet pareil à ma disposition, j'ai l'habitude d'enrou-

CH. 1, l. 2. *τούτων ἄνευ θαψίας πολλάκις* Gal. — Ib. *ἵνα* R. — 3. *τὴν μαλακήν* R. — Ib. *περιελίττων* om. R. — 3-4. *τοῦ δέρματος* R. — 4. *κόμεος* R; it. l. 5. — Ib. *δέ* om. R. — Ib. *ὅτι καὶ τό* Gal. — 7. *σπάθης* R. — Ib. *τι*] *δή* R. — 8. *ὃ καὶ μετά* Gal. — Ib. *κολλ. αὐτὴν ἵνα* R.

Mai 181.

μηδὲν τοιοῦτον παρῇ, τοῦ χαρτίου σύμμετρον ἑλίσσων ἐντιθέναι στήριγμα τοῦ περιβλήματος, ἵνα ὕστερον, ὅταν ἀκριβῶς παγῇ τὸ περιελιττόμενον ἔξωθεν, ἐξαιρεθέντος τοῦ στηρίγματος, εὐκόλως οὐρεῖν ὑπάρχῃ τῷ θεραπευομένῳ. Ἔνιοι δὲ τῶν διὰ θαψίας ἐπαγόντων 5
τὴν πόσθην τὸ στρογγύλον τοῦτο μολύβδινον ἐποίησαν ὥσπερ τι σωληνάριον, εἶτα ἔξωθεν αὐτῷ περιτείναντες τὸ δέρμα τῆς πόσθης καταδοῦσιν ἱμάντι μαλακῷ, καὶ γένοιτο ἂν ποτε καὶ τοῦτο χρήσιμον, ἐπὶ ὧν ἐνδεῖ πολὺ τοῦ δέρματος. Ὑπάγεται δὲ καὶ χειρουργίας 6
τρόπῳ.

| β'. Περὶ λιποδέρμων. [Ἐκ τῶν] Ἀντύλλου. 181

Τῶν ἐκ γενετῆς λιποδέρμων οἱ κατὰ ἐπιγέννημα δυσθεραπευτότεροι καθεστᾶσιν· τοῖς μὲν γὰρ ἐνειλεῖται κατὰ τὸν καυλὸν ἡ 1

ler et d'introduire un morceau de papier de grandeur moyenne pour qu'il serve d'appui à celui dont j'ai entouré le membre; je veux ménager ainsi au malade en traitement le moyen d'uriner facilement, quand le papier roulé autour du membre s'est complétement solidifié et que celui qui sert d'appui a été enlevé. Quelques-uns de ceux qui emploient la thapsie 5
pour ramener le prépuce [sur le gland] construisirent en plomb l'objet rond en question et en firent une espèce de petite gouttière; ils étendaient la peau du prépuce à l'extérieur sur cette gouttière et l'assujettissaient avec une bande molle; ce procédé pourra quelquefois aussi être utile chez les individus où la peau manque sur une grande étendue. On 6
fait encore de cette difformité l'objet d'une opération chirurgicale.

2. DES GENS DONT LE PRÉPUCE EST TROP COURT. — TIRÉ D'ANTYLLUS.

Les gens qui, après leur naissance, ont subi, par suite de quelque 1
accident, un raccourcissement du prépuce, sont plus difficiles à guérir que ceux dont cette partie est trop courte par suite d'un vice congénial: en effet, chez ces derniers, la peau est entortillée sur la verge, et on

1. ἐνθεῖναι Gal. — 2. τοῦ om. R. — 3. ἐξαρθέντος Gal. — 3-4. εὐθέως εὑρεῖν R. — 4. δὲ τὸ διὰ θαψίαν R. — Ib. ἐπάγοντες R. — 6. περιτείνοντες Gal. — 9. τρόπῳ διττῷ Gal. — Ch. 2, tit. [Ἐκ τῶν] om. R.

Mai 181. ϖόσθη καὶ ὑποδαρεῖσα ῥᾳδίως ἐπάγεται, τοῖς δὲ ἐξ ἐπιγεννήματος,
ἅτε ἀφηρημένου τινὸς μέρους αὐτῆς, δυσκόλως ἡ ἐπαγωγὴ γίνεται.
2 Αὐτῶν δὲ τούτων ἔτι δυσθεραπευτότεροι ἐπὶ ὧν καὶ τοῦ καυλοῦ μέ-
3 ρος τι γεγύμνωται. Τῆς χειρουργίας δὲ τὸν κατὰ ὑποδορὰν τρόπον
ἐκθήσομαι· σχηματίσαντες τὸν κάμνοντα λίνῳ ϖάχος ἔχοντι ἱκανὸν, ἢ ῥάμματι εὐρώστῳ σφόδρα, ϖλέξαντες ἐξ αὐτοῦ ναυτικὸν βρόχον, ἢ ἄλλον τινὰ τῶν ἀνισοτόνων, καὶ ϖεριβαλόντες κατωτέρω τῆς βαλάνου ϖερὶ αὐτὴν τὴν στεφάνην, ἀνατενοῦμεν τὸ αἰδοῖον, ϖαραδώσομέν τε τὰς ἀρχὰς τοῦ βρόχου διακρατεῖν ὑπηρέτῃ καὶ ἀνατείνειν· αὐτοὶ δὲ κυκλοτερῆ τομὴν ϖεριγράψαντες ὑπὸ τὸν βρόχον, ἥν τινα ϖεριγραφὴν στεφανιαίαν ὀνομάζομεν, μετὰ ταῦτα τῇ χειρὶ τῇ ἀριστερᾷ λαβόμενοι τοῦ δέρματος τοῦ κατὰ τὸν καυλὸν ϖρὸς αὐτῇ τῇ ϖεριγραφῇ ἀφέλκομεν, [τούς τε] ἀντιβαίνοντας διὰ μέσου δακτύλῳ ϖρὸς τὸν καυλὸν ἀπολύσομεν [ὑμένας]· ῥᾳδίως δὲ

ramène facilement le prépuce [sur le gland] après une dissection; chez
les premiers, au contraire, il est difficile d'obtenir ce résultat, attendu
2 qu'une partie du prépuce a été enlevée. Les individus chez lesquels
une partie de la verge a été également dénudée sont encore plus diffi-
3 ciles à guérir que ceux dont nous parlions en dernier lieu. Voici com-
ment on procède par dissection : on donne au malade une position convenable; on forme, avec un fil en lin suffisamment épais, ou avec un fil à coudre très-fort, le lacs des marins (XLVIII, 2), ou quelque autre lacs à tension inégale; on place ce lacs en dessous, autour du gland, sur la couronne, [puis] on relève la verge et on confie à un aide les chefs du lacs, pour les retenir et les attirer, tandis que nous ferons nous-même, sous le lacs, une incision circulaire autour du gland, incision que nous appelons *cercle coronal;* après cela, nous saisissons, avec la main gauche, la peau de la verge, dans le voisinage de ce cercle, pour l'en séparer en tirant, et, avec le doigt, nous détachons de cet organe les membranes résistantes qui se trouvent dans l'espace existant entre la peau et les parties sous-jacentes : en effet, on

1. ὑπάγεται R. — Ib. ἐπιγενήματος R. — 3. κάλλου R. — 7. ϖεριβαλλόντες R. — 8. ἀνατεμοῦμεν R. — 13. [τούς τε] conj.; om. R. — 13-14. διὰ τοῦ μέσου δακτύλου R. — 14. [ὑμένας] ex em.; om. R.

Mai 181-182.

χωρίζονται διά τε ὀλιγότητα καὶ διὰ ἀσθένειαν αὐτῶν. Μετὰ τὴν 4
ἀπόλυσιν τὴν τῶν ὑμένων ἐκτρέπειν πειρασόμεθα ἔξω τὸ δέρμα,
ὥσπερ ἐπὶ τῶν ἱερείων ἐπειδὰν περιδέρηται, καὶ ἐπειδὰν τὸ κατὰ
αὐτοὺς μέρος ἀποδείρωμεν, κατὰ ποσὸν ἐπι|στρέψαντες τὴν βάλανον 182
διὰ τοῦ βρόχου καὶ τὸ ἀπαντικρὺ μέρος περιδεροῦμεν. Μέτρον δὲ 5
τῆς ὑποδορᾶς ἔστω τὸ λεῖπον μέρος τῆς πόσθης· ἐπὶ μὲν γὰρ τῶν
ἐπὶ ὀλίγον λιποδέρμων [μετρίᾳ] χρησόμεθα τῇ ὑποδορᾷ· ἐπὶ δὲ
τῶν ἐπὶ πολὺ τοῦ περιόντος μεγάλην παραληπτέον τὴν ὑποδοράν.
Ἐπεὶ δὲ συμβαίνει πολλάκις, τῆς ὑποδορᾶς ἡλκωμένης, τὴν πό- 6
σθην συμφύεσθαι τῇ βαλάνῳ, ὡς μηκέτι μετάγεσθαι δύνασθαι, χρὴ
διὰ τοῦτο μετὰ τὴν ὑποδορὰν ἄκραν τὴν βάλανον ὀθονίῳ τρυφερῷ
περιελίσσειν, εἶτα οὕτως ἐπάγειν τὸ δέρμα. Μετὰ δὲ τοῦτο ἐπισπᾶ- 7
σθαι δεῖ τὸ δέρμα, ὥστε αὐτάρκως καλύψαι τὴν βάλανον, ὀθονίῳ τε

isole facilement ces membranes, parce qu'elles sont peu considérables
et faibles. Après avoir détaché ces membranes, nous tâcherons de re- 4
tourner la peau en dehors, comme cela se fait chez les animaux de
boucherie, quand on les écorche; puis, après avoir disséqué la partie
de la peau placée en face de nous, nous retournerons de nouveau lé-
gèrement le gland, à l'aide du lacs, et nous disséquerons la partie
de la peau qui se trouve [alors] vis-à-vis de nous. L'étendue de la 5
mutilation du prépuce nous indiquera jusqu'où il faut pousser la dis-
section : en effet, chez les sujets où il ne manque qu'une petite par-
tie du prépuce, nous donnerons une étendue modérée à la dissection;
chez ceux, au contraire, où la difformité a une grande étendue, il faut
pousser loin la dissection de la portion qui reste. Mais, comme il 6
arrive souvent que la peau détachée de la verge s'ulcère et que, par
conséquent, le prépuce se soude au gland, de manière à ne pouvoir plus
être déplacé, il faut, pour cette raison, après la dissection, entourer le
sommet du gland avec un linge doux et alors ramener la peau sur
lui. Après cela, on attirera la peau, de manière à ce qu'elle recouvre 7
suffisamment le gland, et, pour allonger le prépuce, on entourera la

2. τοῦ δέρματος R. — 4. ἐπιδείρωμεν R. — Ib. ἐπιτρέψαντες R. — 6-7. τὸν ἐπ' ὀλίγῳ λειπόδερμον R. — 7. [μετρίᾳ] conj.; om. R. — 8. τῶν] τὴν R. — 9. ἡλκωμένην R. — 9-10. ποσθήν R, et sic fere semper.

Mai 182-183.
ἔξωθεν στενῷ κατειλῆσαι, τὴν μὲν ἀρχὴν τῆς ἐπινεμήσεως τοῦ ὀθο-
νίου πρὸς τῇ βάσει τάττοντας τοῦ καυλοῦ, τελευτῶντας δὲ πρὸς
τῇ βαλάνῳ, ἵνα ἐπεκτείνηται ἡ πόσθη, ἄκραν δὲ τὴν πόσθην ἀνε-
πίδετον καταλείποντας, ἵνα μὴ συμφυῇ τῷ καυλῷ, καὶ μετέπειτα
σπόγγους ὕδατι ψυχρῷ, ἢ ὀξυκράτῳ διαβρόχους περιβαλεῖν ἐν κύ-
8 κλῳ, ἐπιδῆσαί τε ἐπιδέσμῳ τῷ ἁρμόζοντι ἐπὶ τῶν αἰδοιικῶν. Τὰ
πολλὰ μὲν οὖν ἡ ἔναιμος ἀγωγὴ παρακολλᾷν εἴωθεν· εἰ δὲ ἀτυχη-
θείη τὰ τῆς κολλήσεως, ἐγκλύσμασι χρηστέον τοῖς ἀνακαθαίρειν
δυναμένοις, ἀνειμένοις τε φαρμάκοις τοῖς πρὸς συσσάρκωσιν ἐπι-
9 τηδείοις. Εἰ δέ γε νομὴ γένοιτο περὶ τὴν πόσθην, χρηστέον ἁλσί
10 τε καὶ μέλιτι, φακοῦ τε ἀφεψήματι καὶ ῥόδων. Εἰ δὲ νεκρωθείη
ὑποδαρεῖσα [ἡ] πόσθη, περιαιρετέον αὐτήν.

γ'. Περὶ ὑποσπαδιαίων. Ἐκ τῶν Ἀντύλλου καὶ Ἡλιοδώρου.

1 Ἐκ γενετῆς ἐνίοις ἡ βάλανος οὐ τέτρηται κατὰ φύσιν, | ἀλλὰ ὑπὸ
183

verge d'une bande étroite, qu'on fera marcher de telle façon que le chef
soit placé près de la base de la verge et qu'on finisse la déligation près
du gland; mais on laissera l'extrémité du prépuce en dehors de la déli-
gation, de peur qu'elle ne contracte des adhérences avec la verge;
ensuite nous placerons circulairement, autour de cet organe, des éponges
trempées dans l'eau froide ou dans l'eau vinaigrée, et nous appliquerons
8 un bandage qui convient pour les affections des parties génitales. Habi-
tuellement la plaie se cicatrise quand on la traite à la manière des plaies
saignantes; mais, quand le recollement échoue, on a recours à des injec-
tions capables de mondifier, ainsi qu'aux médicaments qui favorisent le
développement des bourgeons charnus; seulement on les administre
9 délayés. S'il s'est établi une ulcération envahissante sur le prépuce, on
se servira soit de sel combiné au miel, soit d'une décoction de lentilles
10 ou de roses. Si le prépuce s'est mortifié après la dissection, il faut le
retrancher.

3. DE L'HYPOSPADIAS. — TIRÉ D'ANTYLLUS ET D'HÉLIODORE.

1 Chez certains individus, le gland, par l'effet d'un vice congénial,

4. καταλιπόντας RU. — 7. οὖν ἐναίμως ἀγομένη R. — 12. [ἡ] om. R.

Mai 183.
τῷ κυνὶ καλουμένῳ κατὰ τὸν ἀπαρτισμὸν τῆς βαλάνου τὸ τρῆμά
ἐστιν. Ἐντεῦθεν οὔτε οὐρεῖν εἰς τὰ ἔμπροσθεν δύνανται, ἂν μὴ πάνυ 2
ἀνακλάσωσι τὸ μόριον ὡς πρὸς τὸ ἦτρον, οὔτε τεκνοποιεῖν, τοῦ
σπέρματος ἐπὶ εὐθείας εἰς τὴν μήτραν ἐξακοντίζεσθαι μὴ δυναμένου,
ἀλλὰ παραῤῥέοντος εἰς τὸ γυναικεῖον αἰδοῖον. Ἔνιοι δὲ ἐξ ἐπιγεννή- 3
ματος γίνονται, οἷς τῆς βαλάνου κατὰ φύσιν ἐχούσης, πεπωροποιη-
μένης τῆς οὐρήθρας ἐκ νομῆς, ἢ ἄλλης περιστάσεως, παράτρητοι γί-
νονται οἱ οὐρητικοὶ πόροι. Ποτὲ μὲν οὖν πόῤῥω τοῦ κυνὸς εὑρίσκεται 4
τὸ τρῆμα κατὰ μέσην τὴν οὐρήθραν πρὸς τῇ τοῦ καυλοῦ βάσει, ὅτε
δὴ ἀθεράπευτοί εἰσιν· ποτὲ δὲ κατὰ τὸν λεγόμενον κύνα, καὶ ἔστι
θεραπευτὸν τὸ πάθος. Χειρουργίας δὲ τρόπος βέλτιστός ἐστι καὶ 5
ἁπλούστατος καὶ ἀκινδυνότατος ὁ καλούμενος κατὰ ἀποκοπήν. Χρὴ 6
δὲ σχηματίσαι τὸν κάμνοντα ὕπτιον, ἔπειτα ἀνατείνειν τὴν βάλανον διὰ τῆς ἀριστερᾶς χειρὸς ἰσχυρῶς, εἶτα ἀκμῇ σμιλίου τὴν

n'est pas percé conformément à la nature; mais le trou se trouve au-dessous de ce qu'on appelle [en grec] *le chien* (*frein*), à la terminaison
du gland. Pour cette raison, ils ne peuvent ni uriner en avant, à moins 2
de relever très-fortement la verge vers le pubis, ni procréer des enfants, parce que le sperme ne saurait être lancé en ligne droite dans la matrice,
mais s'écoule sur les côtés dans le vagin. Quelques-uns sont pris d'hy- 3
pospadias par suite d'un vice acquis : ce sont ceux où le canal urinaire arrive à être perforé sur les côtés, bien que le gland reste dans son état naturel, le méat ayant été bouché par du cal (*tissu inodulaire*) consécutivement à une ulcération envahissante ou à quelque autre circonstance.
Quelquefois le trou est placé loin du *chien*, au milieu de l'urètre, près 4
de la base du gland, et ces cas sont incurables; d'autres fois le trou existe au niveau de ce qu'on appelle *le chien*, et alors l'affection peut être
guérie. Le procédé opératoire le plus simple, le meilleur et le plus 5
exempt de danger, est celui qu'on nomme *opération par résection.* On 6
place le malade sur le dos, ensuite on relève fortement le gland avec la main gauche, puis on coupe cette partie avec le tranchant du scalpel au

1. κατά Paul; καὶ κατά R. — 2. δύνανται Paul.; δύναται R. — 3. ἀνακλάσωσι Paul.; ἀνακλάγωσι R. — 6-7. πεπωρωποιημένης R.

Mai 183-184.
βάλανον κατὰ τὴν στεφάνην ἀποκόπτειν· ὑποπλάγιον δὲ μὴ ποιη-
τέον τὴν ἀποτομὴν, ἀλλὰ περιγλυφῇ ὁμοίαν, ὥστε καταλειφθῆναί
7 τινα ἐξοχὴν βαλανοειδῆ. Καὶ εἰ μὲν ὀλίγον αἷμα φέροιτο, ἐπιδέσμῳ
τε καὶ ὀξυκράτῳ καταπαυστέον τὴν φοράν· εἰ δὲ μὴ, ἰσχαίμοις
χρηστέον· εἰ δὲ ἰσχυρὰ ἡ φορὰ γένοιτο, καυτηρίοις ἐπικαίειν τὸν
8 τόπον. Δεῖ δὲ τὴν ἀποκοπὴν ἐν τῇ βαλάνῳ μᾶλλον ἢ ἐν τῷ καυλῷ
9 ποιεῖσθαι· ναστὴ γὰρ οὖσα ἡ βάλανος ἧσσον αἱμοῤῥαγεῖ. Μετὰ δὲ
τὴν χειρουργίαν, εἰ μὲν καυτηρίῳ χρησαίμεθα, παραληπτέον θερα-
πείαν τὴν ἁρμόζουσαν ταῖς καύσεσιν· εἰ δὲ μὴ, ἐναίμως ἀκτέον.
10 Γινώσκειν δὲ χρὴ πῶς οὐδὲ πρὸς παιδοποιίαν ἐμποδισμόν τινα ἡ
184 ἀποκοπὴ ἐργάζεται, διότι ἐν τῇ συνουσίᾳ | ἡ βάλανος οὐκ εἰς τὸ τῆς
μήτρας στόμιον ἐμπίπτει, ἀλλὰ ὁ μὲν πλησιασμὸς ἐν τῷ γυναικείῳ
αἰδοίῳ γίνεται, διισταμένου δὲ τοῦ τῆς μήτρας στόματος, τὸ σπέρμα
εἰς αὐτὴν ἀκοντίζεται, ἐάν τε μεῖζον ᾖ, ἐάν τε μικρότερον τὸ μόριον.

niveau de la couronne; seulement on ne donnera pas à l'incision une
direction légèrement oblique, mais on fera en sorte qu'elle ressemble à
une ciselure circulaire, de manière qu'il reste une saillie qui représente
7 la forme d'un gland. S'il s'écoule peu de sang, on arrêtera cet écoule-
ment avec un bandage et de l'eau vinaigrée; si cela ne suffit pas, on
emploiera des médicaments propres à étancher le sang, et, si l'écoule-
8 ment est grave, on brûlera la plaie avec des cautères. Mais il faut opérer
la résection plutôt dans le gland que dans la verge; car, à cause de sa
9 structure compacte, le gland donne moins lieu à des hémorragies. Si
nous avons fait usage du cautère, nous devons, après l'opération,
recourir au traitement approprié contre les brûlures; dans les autres
cas, on mettra en œuvre le traitement usité pour les plaies saignantes.
10 Il faut savoir pour quelle raison la résection n'est pas un obstacle à la
reproduction : pendant le coït, le gland ne tombe pas sur l'orifice de
l'utérus, mais l'accouplement a lieu dans le vagin, et, le museau de
tanche étant ouvert, le sperme est lancé dans la matrice, que le pénis
soit grand ou petit.

1. ὑποπλάγιον ex em.; ὑπὸ πλαγίων R; λοξὴν Paul. — 2. ὁμοίαν Paul.; ὅμοια R. — 4. εἰ δείσχμοις (sic) R; cf. Paul. — 9. ἐναίμως ἀκτέον ex em.; εἶναι μυσακτέον R. — 10-11. τινὰ ἡ ἀποκοπήν R.

Mai 184.

δ'. Περὶ ῥυάδος. Ἐκ τῶν Ἡλιοδώρου.

Ἡ τοῦ οὔρου γίνεται ῥυὰς διακοπέντος τοῦ τῆς κύστεως λεπτοῦ, 1
ἢ τοῦ τραχήλου περιαιρεθέντος, [ἢ] ὅμοιόν τι περιαιρέσει παθόν-
τος, ταῦτα δὲ συμβαίνει διὰ πλείονας προφάσεις. Ἔστι δὲ τὸ πάθος 2
ἀθεράπευτον.

ε'. Περὶ φιμώσεως. Ἐκ τῶν Ἀντύλλου.

Διττὸν τὸ τῆς φιμώσεώς ἐστιν· ποτὲ μὲν γὰρ ἡ πόσθη καλύ- 1
ψασα τὴν βάλανον ἀποσύρεσθαι πάλιν ἀδυνατεῖ· ποτὲ δὲ ἀπαχθεῖσα
ὀπίσω, οὐκέτι ἐπάγεται. Τοῦτο τὸ εἶδος ἰδίως περιφίμωσις προσα- 2
γορεύεται. Ἡ μὲν οὖν πρώτη διαφορὰ γίνεται διὰ οὐλὴν ἐν πόσθῃ 3
γενομένην, ἢ διὰ σαρκὸς ἔκφυσιν· τὸ δὲ δεύτερον μάλιστα ἐν ταῖς
αἰδοιικαῖς φλεγμοναῖς ἀποτελεῖται, ὁπόταν ἀπαχθέντος τοῦ δέρμα-
τος ὀπίσω, ἡ βάλανος ἀνοιδήσασα οὐκέτι ἐπιδέχηται τὴν πόσθην.

4. DE LA FISTULE URINAIRE. — TIRÉ D'HÉLIODORE.

La fistule urinaire a lieu quand la partie mince de la vessie a été 1
divisée, ou quand le col de cet organe a été coupé, ou a éprouvé quelque
accident de même nature; or ces divisions ou sections peuvent avoir
lieu par suite de plusieurs causes. L'affection est incurable. 2

5. DU PHIMOSIS. — TIRÉ D'ANTYLLUS.

Le phimosis est de deux espèces : en effet, quelquefois le prépuce 1
recouvre le gland et ne saurait être ramené en arrière; d'autres fois le
prépuce est amené en arrière et ne peut plus être ramené sur le gland.
On appelle spécialement cette dernière espèce *périphimosis* (*paraphimosis*). 2
La première espèce tient ou à une cicatrice qui s'est formée au prépuce, 3
ou à ce qu'il y a eu dans cette région un bourgeonnement charnu; la
seconde résulte surtout des inflammations des parties génitales, lorsque,
le prépuce étant amené en arrière, le gland s'est gonflé et repousse le

Ch. 4, l. 2. [ἢ] ex em.; om. R. — Ib. τι ex em.; τῇ R.

Mai 184-185.

4 Εἰ μὲν δὴ τὸ πρῶτον εἶδος τῆς Φιμώσεως γένοιτο, χειρουργήσομεν τόνδε τὸν τρόπον· μετὰ τὸ ἐσχηματίσθαι τὸν κάμνοντα ἐπισπασάμενοι τὴν πόσθην εἰς τὸ ἔμπροσθεν, καθήσομεν ἀγκίστρια εἰς αὐτὴν ἄκραν, καὶ δόντες ὑπηρέταις διακρατεῖν ἀξιώσομεν, ἐπὶ ὅσον οἷόν τε, διατείνειν καὶ διανοίγειν αὐτὴν, ἔπειτα, ἐὰν μὲν ἐξ 185 οὐλῆς ᾖ ἡ συνδρομὴ, Φλεβοτόμῳ, ἢ σκολοπίῳ ἐκ τῶν ἔνδοθεν | μερῶν διαιροῦμεν τὴν πόσθην, ἐν τρισὶν ἢ τέτρασι τόποις ποιούμενοι τὰς διαιρέσεις κατὰ μόνα τὰ ἔνδοθεν μέρη, εὐθυτενεῖς τε καὶ ἴσον ἀπὸ ἀλλήλων διεστώσας· ἔστι δὲ διπλῆ κατὰ τὴν βάλανον ἡ
5 πόσθη. Τὸ μὲν οὖν αὐτῆς τὸ ἔνδοθεν μέρος διελοῦμεν· οὕτω γὰρ τὸ οἷον ἀγκύλιον τὸ ἐκ τῆς οὐλῆς γενόμενον διαλύσαντες ἀπάξομεν
6 τὴν πόσθην. Εἰ δὲ σὰρξ προσπεφυκυῖα ἐκ τῶν ἔνδοθεν μερῶν ἐργάζοιτο τὴν Φίμωσιν, κατὰ αὐτὴν τὴν σάρκα πάσας τὰς ἐγχαρά-

4 prépuce. Donc, dans la première espèce de phimosis, nous ferons l'opération suivante : après avoir placé le malade dans une position convenable, nous attirons le prépuce en avant, nous fixons à l'extrémité de cet organe de petits crochets que nous confions à des aides, en leur recommandant de distendre et d'ouvrir, autant que possible, le prépuce; si le rétrécissement tient à une cicatrice, nous divisons le prépuce à la partie intérieure, à l'aide d'une lancette ou d'un instrument pointu, en faisant, à des distances égales, des incisions droites dans trois ou quatre endroits, incisions qui intéressent uniquement le feuillet interne; car,
5 dans sa partie qui recouvre le gland, le prépuce est double. Nous diviserons donc le feuillet interne du prépuce; car, de cette manière, après avoir coupé l'espèce d'anse à laquelle la cicatrice avait donné lieu, nous
6 pourrons ramener le prépuce en arrière. Si le phimosis tient à un bourgeonnement charnu de la partie intérieure du prépuce, nous ferons toutes les scarifications sur cette chair luxuriante, nous retirerons le

1. οὖν Paul. — 3. ἀγκιστρα τρία ἢ τέσσαρα Paul. — 4. αὐτὴν τὴν ἄκραν R. — Ib. δόντες Paul.; διδόντες R. — 5. ἀνοίγειν Paul. — 6. ἡ συνδρ. ex em.; συνδρ. R; ἡ ἔξω συνδρ. Paul. — 6-7. μερῶν Paul.; ὧν R. — 9. ἴσον Paul.; ἦσσον R. — 9-10. τῇ ποσθῇ R. — 10. Τὸ οὖν ἐν Paul. — Ib. αὐτῇ R. — 11. ἀγκ. ἤγουν τό Paul. — Ib. ἀπάξομεν ex em.; ἐπάξομεν R Paul. — 13. αὐτὴν τὴν σάρκα ex em.; αὐτὸν τῆς σαρκός R; τῆς σαρκός Paul. — Ib. τάς Paul.; om. R.

ξεις τάξομεν, ἀποσύραντές τε τὴν πόσθην τὰς μεταξὺ τῶν διαι- Mai 185.
ρέσεων τῆς σαρκὸς ὑπεροχὰς ἀποξύσομεν. Μετὰ δὲ τοῦτο μολύβδου 7
σωλῆνα περιβαλοῦμεν τῇ βαλάνῳ πάσῃ, κατειλήσαντες αὐτὴν ἐσκε-
λετευμένῃ παπύρῳ· οὕτω γὰρ διὰ τὴν τοῦ σωλῆνος περίθεσιν κω-
λυθήσεται συμφῦναι πάλιν ἐπαχθεῖσα ἡ πόσθη. Ἐν διασΊάσει δὲ 8
φυλάξομεν αὐτὴν ὑπό τε τοῦ μολύβδου καὶ τῆς κατειλημένης πα-
πύρου· ἀνοιδοῦσα γὰρ ἐκ τῆς καταβροχῆς ἔτι μᾶλλον διασΊήσει
τὸ δέρμα. Εἰ δὲ ἡ λεγομένη περιφίμωσις γένοιτο, εἰ μὲν χρονίσειε, 9
συμφύεται καὶ ἀνίατός ἐσΊιν, εἰ μή τις ἐθέλοι χειρίζειν ὡς λιπό-
δερμον· εἰ δὲ μήπω συμπεφυκέναι τύχοι, κατασχάσαντες αὐτὴν
εὐθυτενέσιν ἀμυχαῖς πέντε ἢ ἓξ κύκλῳ, καὶ καταντλήσαντες ἐπιμε-
λῶς οὕτως ἐπισπασόμεθα.

prépuce en arrière et nous raclerons les bourgeons charnus qui se
trouvent entre les incisions. Cela fait, nous entourerons d'un tuyau en 7
plomb tout le gland, que nous envelopperons de papier desséché : en effet,
de cette manière, nous empêcherons le prépuce, ramené sur le gland, de
contracter de nouvelles adhérences, attendu que cette dernière partie
est entourée du tuyau. Nous tiendrons le prépuce dans l'état de dilata- 8
tion, à l'aide du plomb et du papier dont il est enroulé : en effet, comme
le papier est trempé, il se gonflera et dilatera encore davantage la peau.
S'il existe un *périphimosis*, et s'il existe depuis longtemps, il se forme 9
des adhérences, et la difformité est incurable, à moins qu'on ne veuille
faire la même opération que pour ceux dont le prépuce est trop court
(voy. chap. 2); s'il ne s'est pas encore formé d'adhérences, nous ferons
circulairement, sur le siége de l'affection, cinq ou six scarifications per-
pendiculaires; nous pratiquerons avec soin des affusions et nous attire-
rons le prépuce.

1. τε ex em.; om. R Paul. — 4-5. κυκλωθήσεται σύμφωνα ἢ πάλιν R. — 5. διατάξει R. — 6. αὐτὴν τὴν ὑπό R. — Ib. τε τῆς μ. R. — 7. τῆς κάτω βροχῆς R; τῆς διαβροχῆς Paul. — 8. γίνοιτο R. — Ib. χρονίσει R; ἐγχρονίσοι Paul. — 9-10. λειποδέρμην R. — 11. τρισὶν ἢ τέσσαρσιν ἢ καὶ πλείοσι Paul.

Mai 185-186.

ϛʹ. Περὶ προσφυοῦς πόσθης.

1 Ἑλκώσεως προηγησαμένης περὶ τὴν βάλανον, ἢ περὶ πόσθην,
2 ἢ περὶ ἀμφότερα, γίνεται πρόσφυσις. Δεῖ οὖν ἀποσύραντα ἐπὶ
ὅσον οἷόν τέ ἐσΊιν, ἀκμῇ σμιλίου τὰς ἀντοχὰς ἀπολύειν, πειρωμέ-
νους μάλισΊα μὲν καθαρῶς τὴν βάλανον ἀπὸ τῆς προσπεφυκυίας
πόσθης διακρῖναι· εἰ δὲ δυσχερὲς εἴη τοῦτο, προσλαμβάνειν ὀλίγον
186 τι μᾶλλον τῆς βαλάνου πρὸς τὴν πόσθην ἤ|περ τὸ ἐναντίον· λεπΊὴ
3 γὰρ οὖσα ἡ πόσθη διατιτρᾶται ῥᾳδίως. Μετὰ δὲ τὴν ἀπόλυσιν τῆς
προσφύσεως ὀθόνιον λεπΊὸν ὕδατι ψυχρῷ διάβροχον μεταξὺ θετέον
τῆς βαλάνου καὶ τῆς πόσθης, ἵνα μὴ πάλιν πρόσφυσις γένηται.

ζʹ. Περὶ τῶν περιτεμνομένων.

1 Οὐ περὶ τῶν διὰ θεότητα περιτεμνομένων νῦν ὁ λόγος ἐσΊὶν,

6. DE L'ADHÉRENCE DU PRÉPUCE AU GLAND.

1 Lorsque, soit le gland, soit le prépuce, soit les deux organes à la
2 fois, ont été le siége d'une ulcération, il s'établit une adhérence. Il faut
donc, en retirant autant que possible le prépuce, détruire les brides
avec le tranchant du scalpel, en s'efforçant surtout de séparer rigoureu-
sement le gland de la partie du prépuce qui lui est adhérente : cepen-
dant, si cela est difficile, on laissera plutôt quelque petite partie du
gland attachée au prépuce que de faire le contraire; car, le prépuce étant
3 mince, on le perce aisément. Après avoir détruit les adhérences, on
placera entre le gland et le prépuce un linge fin trempé dans l'eau
froide, de peur qu'il ne se forme une nouvelle adhérence.

7. DE LA CIRCONCISION.

1 Nous ne parlons pas ici de ceux qui subissent la circoncision pour cause de religion, mais de ceux dont le prépuce s'est noirci (*gangrené*)

Ch. 6, l. 3. σμιλίου ἢ πολυπικοῦ σπαθίου Paul. — 6. μᾶλλον om. R. — 9. πάλιν μὴ R. — Ch. 7, l. 10. τεμνομένων R.

Mai 186.
ἀλλὰ οἷς διαθέσεως αἰδοιικῆς γενομένης, ἡ πόσθη μελαίνεται. Χρὴ 2
τοίνυν τὰ μεμελανισμένα περιελεῖν κατὰ κύκλον. Τὰ πολλὰ μὲν 3
οὖν ἀναιμοῤῥάγητος ἡ πόσθη διαμένει· νεκρούμενα γὰρ ὑπὸ τῆς
ἐπινεμήσεως τὰ ἀγγεῖα τυφλοῦται· ὅθεν ἐπὶ τούτων χρησ7έον μετὰ
τὴν ἀποτομὴν λεπίδι σὺν μέλιτι· τήν τε γὰρ νομὴν ἵσ7ησι, καὶ τὸ
ἕλκος ἐπιεικῶς διατίθησι τοῦτο τὸ φάρμακον σ7ῦφον ἰσχυρῶς. Ἐπεὶ 4
δὲ ἐνίοτε αἱμοῤῥαγίαι ἐξακολουθοῦσι, κάλλιον ἔχει παρασκευάσα-
σθαι διὰ τὴν φορὰν αὐτῶν καυτῆρα μάλισ7α μηνοειδῆ, οἷς καὶ κατα-
σ7ελοῦμεν τὴν φορὰν τὴν τοῦ αἵματος, καὶ ἄλλως δὲ διαλυτικόν τι
ἔχει τῆς νομῆς τὰ καυτήρια. Ὁ δὲ ἀκόλουθος τρόπος [ὁ] μετὰ τὴν 5
καῦσιν τῆς ἀποθεραπείας.

η'. Περὶ θύμων τῶν ἐν αἰδοίοις.

Σαρκώδεις καὶ ἐνερευθεῖς ἐπανασ7άσεις γίνονται ποτὲ μὲν ἐπὶ 1

par suite d'une maladie des parties génitales. Il faut donc extirper cir- 2
culairement les parties noircies. Le plus souvent, le prépuce reste à 3
l'abri de l'hémorragie; car les vaisseaux mortifiés par l'ulcération en-
vahissante s'oblitèrent, et, pour cette raison, on doit, chez ces ma-
lades, après la résection, employer des battitures de cuivre combinées
au miel; car ce médicament arrête à la fois l'ulcération envahissante et
met l'ulcère dans un assez bon état, parce qu'il est fortement astringent.
Mais, comme il survient quelquefois des hémorragies, il vaut mieux 4
préparer d'avance, en vue de cet afflux, un cautère, surtout un cautère
semi-lunaire; car, avec cet instrument, nous arrêterons l'écoulement
du sang, et même, sans cela, les cautères exercent une espèce d'effet
dissolutif sur l'ulcération envahissante. Le traitement consécutif doit être 5
le même qu'après les brûlures.

8. DES THYMES AUX PARTIES GÉNITALES.

Il se forme, tantôt au gland, tantôt au prépuce, des protubérances 1

1. ἀλλὰ περὶ τούτων οἷς R. — 3. τῆς ex em.; τε R. — 5. ἐπιτομήν R. — 8. καυτῆρι μάλ. μηνοειδεῖ R. — 9. διαλυτικόν conj.; διασ7ηκόν R. — 10. [ὁ] ex em.; om. R. — Ch. 8, l. 12. καὶ ἐνερευθεῖς om. Paul.

Mai 186-187.
τῆς βαλάνου, ποτὲ δὲ ἐπὶ τῆς πόσθης, θύμοι καλούμενοι· εἴδη δὲ
2 διττὰ τῶν θύμων· οἱ μὲν γὰρ αὐτῶν εἰσι κακοήθεις, οἱ δὲ οὔ. Τοὺς
μὲν οὖν μὴ κακοήθεις ἀποξύειν σμίλης ἀκμῇ προσήκει, φαρμάκῳ τε
χρῆσθαι μετὰ τοῦτο τῶν ἠρέμα ἐσχαρούντων· ἐπὶ δὲ τῶν κακοήθων
187 3 μετὰ τὴν ἀφαίρεσιν | καύσει χρηστέον. Ἐπεὶ δὲ πολλάκις ἐπὶ τῆς
πόσθης γίνονται θύμοι κατὰ τὰ ἔνδον αὐτῆς καὶ κατὰ τὰ ἔξω μέρη,
καί τινες αὐτῶν καὶ κατὰ τὸ αὐτὸ μέρος, ὥστε εἶναι κατὰ ἀλλήλων,
χρὴ μὴ πᾶσιν αὐτοῖς ἀθρόως ἐπιχειρεῖν· εἰ γάρ τις καύσειε κἀκ
τῶν ἔνδοθεν κἀκ τῶν ἔκτοσθεν μερῶν τὴν πόσθην, καὶ μάλιστα ἐπὶ
4 ἀλλήλαις ποιούμενος τὰς καύσεις, λήσεται διατρήσας αὐτήν. Ἄμει-
νον οὖν κατὰ μέρος πρῶτον τὸ ἔνδοθεν ἀποτεμόντας καὶ διακαύσαν-
τας καὶ ἀπουλώσαντας κατὰ τρόπον, οὕτως ἐξ ὑστέρου καὶ ἐπὶ τὴν
τῶν ἄλλων θεραπείαν παραγίνεσθαι.

charnues et rouges, qu'on appelle *thymes;* il y a deux espèces de thymes :
2 les uns, de mauvaise nature; les autres, indifférents. Il faut donc
aviver, avec le tranchant d'un scalpel, les thymes bénins et employer
après cela quelque médicament légèrement escarotique; pour les thymes
malins, il faut, au contraire, recourir à la cautérisation après les avoir
3 enlevés. Mais, comme des thymes se forment souvent [simultanément]
à la partie intérieure et à la partie extérieure du prépuce, et comme
souvent aussi quelques-unes de ces tumeurs ont leur siége sur le même
point, de façon à se correspondre, il ne faut pas opérer toutes ces tu-
meurs d'un seul coup : en effet, si on cautérisait le prépuce à la fois à
la partie intérieure et à la partie extérieure, et surtout si on faisait ces
cautérisations sur des points diamétralement opposés, on percerait le
4 prépuce sans s'en douter. Il est donc préférable de faire d'abord une
ablation partielle à la face intérieure, de cautériser et de cicatriser comme
il faut, et de passer ensuite au traitement des autres thymes.

3. οὖν εὐήθεις Paul. — 7. αὐτῶν ex em.; αὐτό R. — 9. ἔκτοσθεν ex em.; ἔμπροσθεν R. — 10. ἀλλήλοις R. — Ib. ποιούμενοι R.

θ'. Περὶ συσσαρκωθείσης οὐρήθρας. Ἐκ τῶν Ἡλιοδώρου.

Σαρκοῦται ἡ οὐρήθρα ἑλκώσεως προηγησαμένης· σαρκοῦται δὲ 1
οὐχ ὅλη, ἀλλὰ κατά τι μέρος, ἢ ἀπὸ μέρους στενοχωρουμένου τοῦ
πόρου, ἢ ὅλου τῇ σαρκὶ πληρουμένου. Ὅταν οὖν ἀπὸ μέρους γέ- 2
νηται συσσάρκωσις, δυσουρεῖ, ἢ στραγγουρεῖ ὁ πάσχων· ὅλου δὲ
τοῦ πόρου πληρωθέντος κατὰ τὸ τῆς εὐρυχωρίας διάστημα, ἰσχου-
ρία γίνεται. Δεῖ οὖν σκόλοπι τῷ στενῷ τὴν σάρκα ἐκτέμνειν· ὁ δὲ 3
τρόπος τῆς ἐγχειρήσεώς ἐστι τοιοῦτος· τοῦ πάσχοντος ὑπτίου ἐσχη-
ματισμένου, καὶ τοῦ καυλοῦ ἀπευθυσμένου, τοῖς δακτύλοις τῆς ἀρι-
στερᾶς χειρὸς παραπιέζεται τὰ ὑπὸ τὴν σάρκα τῆς οὐρήθρας μέρη,
ἵνα συμπέσῃ, καὶ μή ποτε ἐν τῇ ἐκτομῇ αἷμα εἰς τὸ βάθος κατε-
νεχθῇ. Γενομένου δὲ τούτου, τῇ δεξιᾷ χειρὶ διακρατουμένης τῆς τοῦ 4
σκόλοπος λαβῆς, ἡ ἀκμὴ καθίεται εἰς τὴν οὐρήθραν, καὶ διωθεῖται
κατὰ τὴν βάσιν τῆς ἐκπεφυκυίας σαρκώσεως, ἕως οὗ κενεμβατήσῃ.

9. DE L'URÈTRE RÉTRÉCI PAR LA CHAIR. — TIRÉ D'HÉLIODORE.

L'urètre se rétrécit par de la chair à la suite d'une ulcération; seule- 1
ment il ne se rétrécit pas dans toute sa longueur, mais sur quelque
point particulier; ou le canal éprouve un rétrécissement partiel, ou il est
complétement obstrué par de la chair. Lors donc que le canal est par- 2
tiellement rétréci, le malade urine difficilement, ou goutte à goutte; si
le canal est entièrement rempli dans tout son diamètre, il y a réten-
tion d'urine. Il faut donc exciser la chair avec un instrument pointu et 3
mince; or voici la manière de pratiquer cette opération: on place le ma-
lade sur le dos; on donne à la verge une direction rectiligne; on fait
subir, avec les doigts de la main gauche, une pression latérale aux
[1] Cap. 2; t. XII, p. 382. R a *ἐν τῷ ια'*. — [2] Zonaras (in voce) donne encore une autre explication de l'étymologie d'*ἀλωπεκία*· *ἀπὸ τῆς ἀλώπεκος ἥ τις, ἔνθα ἂν οὐρήσῃ, τὸν τόπον ἄκαρπον ποιεῖ, ξηραίνουσα καὶ τὴν προϋπάρχουσαν βοτάνην καὶ ἑτέραν ἀναβλασ7ῆσαι οὐ συγχωρήσει*. — [3] τοῖς R. — [4] Voy. Hippocr. *Artic.* 31; t. IV, p. 146. — [5] Conf. Pollux, VII, 112, et X, 171; Hésychius et Photius (*Lexique*). — [6] Voy. *Fract.* 39; t. III, p. 546. — [7] Voy. *Fract.* 39; t. III, p. 544. — [8] Voy. *Fract.* 40; t. III, p. 546. — [9] *δέ* R. Du reste, cette scholie, jusqu'au mot *σ7ροφεῖς*, paraît avoir été copiée sur l'*Etym. magn.* (p. 231, l. 30) ou sur Hésychius. — [10] *ια'* R. Voy. du reste *Comm. in fract.* I, 10; t. XVIII^b, p. 349. — [11] *ἀγμ. ἄρθρ.* U; *ἀκμ. καὶ ἄρθρ.* R. — [12] *τάς* om. RU. — [13] *κάτω*] *πέρας* R. — [14] *πήχεως*] *ὤμου* R. — [15] *αἱ* om. RU. — [16] *ἀντεμβλήσεις* R. — [17] Voy. *Fract.* 41; t. III, p. 546. — [18] Voy. *Fract.* 41; t. III, p. 548. — [19] *ὀθόνοις* R. Voy. du reste *Fract.* 42; t. III, p. 552.

μονοβίβλῳ, εἴπερ ἄρα καὶ γνήσιόν ἐσῖιν αὐτοῦ τὸ σύγγραμμα[1], μεταγωγὴν[2] ὀσῖοῦ[3] ἀπὸ τοῦ παρὰ φύσιν τόπου εἰς τὸν κατὰ φύσιν. Εἴρηται δὲ ἀπὸ τοῦ ἀρτίου, τουτέσῖιν τοῦ ὑγιοῦς[4].

P. 230, l. 9 : Κατὰ μὲν οὖν] Ἀπὸ τοῦ ἐφεξῆς ῥητοῦ· ἀτὰρ καὶ ἡ εἰς τὸ ἰθὺ κατάτασις[5].

P. 231, l. 3 : Ὅταν ἡ κερκὶς] Ἀπὸ τοῦ αὐτοῦ, τμῆμα γ', ῥητοῦ· τοῦτο μὲν γὰρ τὸ παχύτερόν ἐσῖιν[6].

P. 231, l. 11 : Φανήσεται] Ἀπὸ τοῦ ἐφεξῆς ῥητοῦ· δῆλον οὖν γίνεται ψαυόμενον[7].

P. 231, l. 12 : Εἰς μὲν οὖν] Ἀπὸ τοῦ ἐφεξῆς ῥητοῦ· οἷσιν οὖν τὸ τοιοῦτον συμβῇ, οὐκέτι ῥηΐδιον[8].

P. 232, l. 2 : Χρὴ δὲ τὴν] Ἀπὸ τοῦ ἐφεξῆς ῥητοῦ· ὡς δὲ ἐπιδεῖν χρὴ ἐν ἄρθρῳ[9].

P. 232, l. 7 : ἀγκύλην] Ὅτι ἐν τῷ προγεγραμμένῳ Περὶ ὅρων μονοβίβλῳ[10] ἀγκύλην φησὶ γίνεσθαι[11] πάθος περὶ τοὺς ἐν τῷ τραχήλῳ, ἢ τοὺς ἐν τοῖς ἄρθροις τένοντας, ἐμποδιζομένους τῆς ἐνεργείας.

P. 239, l. 8 : κινεῖται] Κίνημά[12] ἐσῖι τῶν κατὰ γόμφωσιν ἢ κατὰ ἁρμονίαν συγκειμένων ὀσῖῶν ποτὲ μὲν ἐν τῷ αὐτῷ τόπῳ παρὰ φύσιν κίνησις, ποτὲ δὲ καὶ εἰς τὸν παρὰ φύσιν τόπον ἔκσῖασις, ὥσπερ ἐκτοπικοῦ[13] ταρσοῦ ὀσῖαριδίων καὶ ῥάχεως σπονδύλων εἴωθε γίνεσθαι. [*Def.* 474.]

P. 243, l. 8 : μένωσιν] Δεῖ γὰρ εἰδέναι ὅτι τετραχῶς πάσχει ἡ ῥάχις, ἢ ἐντὸς νευόντων τῶν σπονδύλων, καὶ λέγεται λόρδωσις, ἢ εἰς πλάγιον, καὶ λέγεται σκολίωσις, ἢ μένουσιν οὗτοι καὶ χαυνοῦνται οἱ σύνδεσμοι, ἢ ἔξω, καὶ λέγεται κύφωσις[14].

P. 244, l. 9 : Ἀφαιρεῖται] Ἀπὸ τοῦ αὐτοῦ βιβλίου τῆς Συνόψεως τῶν χειρουργουμένων μετὰ τὸ ἥμισυ τοῦ βιβλίου, κεφαλαίου τοῦ ὁμοίου.

P. 246, l. 10 : καιρίᾳ] Τί τῆς καιρίας τὸ σημαινόμενον, κατ' ἀρχὴν τοῦ ἐφεξῆς βιβλίου παρεγράφη[15].

P. 247, l. 12 : Ἀφαιρεῖται] Ἀπὸ τοῦ ε' τῶν Χειρουργουμένων, κεφαλαίου τοῦ ὁμοίου· ἐσῖι δὲ τελευταῖον κεφάλαιον.

[1] ἐν τῷ..... σύγγραμμα om. R. Voy. du reste 476; t. XIX, p. 461. — [2] μετὰ γῆν R; μετάγειν U. — [3] ὀσῖέου R; ὀσῖοῦν U; ὀσῖοῦ ἢ ὀσῖῶν Pseudo-Gal. — [4] La dernière partie de notre scholie, depuis Εἴρηται, ne se trouve pas chez le faux Galien. Conf. aussi plus bas la scholie au mot καταρτισμοῦ (p. 387, l. 12). — [5] Voy. *Fract.* 43; t. III, p. 552. — [6] Voy. *Fract.* 44; t. III, p. 554. — [7] Voy. *Fract.* 44; t. III, p. 554. — [8] Voy. *Fract.* 44; t. III, p. 554. — [9] Voy. *Fract.* 44; t. III, p. 556. — [10] Cette scholie et plusieurs autres sont tirées des *Définitions médicales* attribuées à Galien. Nous les reproduisons à cause des différences de rédaction, différences qu'il sera aisé de reconnaître en comparant le texte imprimé de Galien avec nos scholies. A la suite de chacune de ces scholies nous indiquons le n° de la définition. Voyez, pour celle-ci, 399 (t. XIX, p. 444). Conf. XLV, 15, p. 22 sqq. et les auteurs cités dans la *Table des chapitres*. — [11] Ὅτι..... γίνεσθαι] Ἀγκύλην φησὶν ὁ Γαληνός R. — [12] R omet cette scholie, ainsi que, parmi les suivantes, toutes celles qui sont empruntées aux *Déf. méd.* du faux Galien. — [13] An ἐκτοπισμῷ? Pseudo-Gal. a seulement ἐκ. — [14] Conf., outre les auteurs cités dans la table des chapitres, Gal. *Loc. aff.* IV, 6; *Comm. in aphor.* IV, 35, et VI, 46; *Comm. in art.* III, 48 (t. VIII, p. 242; t. XVII^b, p. 709; t. XVIII, p. 74 sqq. et 553), Foës. *Œcon. Hippocr.* et Gorré, *Déf. méd.* — [15] Voy. la scholie sur καιρία au commencement du livre XLVIII.

P. 249, l. 8 : Ἐξαδάκτυλοι] Ἀπὸ τοῦ γ' τῶν Χειρουργουμένων, κεφαλαίου τοῦ ὁμοίου.

P. 251, l. 11 : Σφίγγει] Ἀπὸ τοῦ αὐτοῦ, κεφαλαίου τοῦ ὁμοίου.

LIVRE XLVIII.

P. 253, l. 1 : καιρία] Καιρίαν οἱ μὲν τὴν λεπτὴν φασκίαν ἔλεγον παρὰ τὸ κείρεσθαι· οἱ δὲ πᾶν ὁτιοῦν ὕφασμα· καῖρον[1] γὰρ τὸν μίτον ἔνιοί φασι, καὶ καιρώματα τὰ διαχωριστικὰ τῶν στημόνων πλέγματα, καὶ ἁπλῶς[2] καίρωμα[3] τὴν ὑφὴν ἔλεγον. Ἐντεῦθεν τὸ καιροσέων[4] τῶν εὖ ὑφασμένων φησὶν ὁ ποιητής[5].

Καιροσέων[6] δ' ὀθονέων[7] ἀπολείβεται[8] ὑγρὸν ἔλαιον·

P. 271, l. 12 : γλουτός] Γλουτοὶ μέν εἰσι τῆς ὀσφύος, τουτέστι τοῦ πέρατος τῶν σπονδύλων, τὰ παρ' ἑκάτερα[9], κενεῶνες δὲ τὰ μετὰ τὰς νόθας πλευρὰς παρὰ τὸ κενὰ εἶναι τῆς ὀστώδους ὑποστάσεως[10].

P. 281, l. 10 : Τῶν ἐπιδέσμων] ἀπὸ τοῦ αὐτοῦ[11] ἐπιγεγραμμένου μονοβίβλου μετὰ τὸ προοίμιον, καὶ τὰ ἐφεξῆς πάντα μέχρι τοῦ τέλους ἀπὸ τῶν ὁμοίως ἐπιγεγραμμένων κεφαλαίων.

[1] *καιρόν* R; *καίραι* U; *καὶ ῥάμμα* P. Voy. *Etym. magn.* p. 498, l. 8, et p. 499, l. 13; Schol. *Od.* η, 107; Suidas et Hésychius, avec les notes des éditeurs; Eustathius, *Ad Od.* p. 1571, l. 55 sqq. Du reste, il est clair que la première étymologie se rapporte à *κειρία*, et la seconde à *καιρία*. Les éditeurs du *Trésor* regardent le premier de ces deux mots comme seul légitime, probablement parce que c'est le seul qu'on trouve chez les bons auteurs, et nos manuscrits (voy. les variantes des pages 366 et 411) nous auraient permis de nous conformer à leurs préceptes. Malgré cela, la seconde étymologie ne nous a pas paru tellement inadmissible qu'elle nous défendît de supposer que nos auteurs médicaux se soient servis du mot *καιρία*. — [2] *ἅπαν* R. — [3] *καιρώματα* U. — [4] *κέρος ἐών* R; *καῖρον ἐών* U. — [5] *Od.* η, 107. — [6] *κέρος ἐών* R; *καῖρον ἐών* U. — [7] *δ' ὄθεν* P; *δ' ὀσονέ* (sic) R. — [8] *ἀπελάμπετο* RU. — [9] L'abréviateur de Rufus (p. 52) donne la même définition du mot *γλουτός*. (Voy. Orib. XXV, 1; t. III, p. 391, l. 5.) Ensuite il ajoute : *πυγαὶ δὲ τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη καὶ ἐφέδρανα.* Pour Rufus lui-même, au contraire (p. 32), *γλουτοί*, *πυγαί* et *ἐφέδρανα* sont synonymes et signifient la même chose que *πυγαί* pour l'abréviateur. Pour ce qui regarde le sens du mot *γλουτός*, Pollux (II, 183 et 184) et le faux Galien (*Introd.* 10; t. XIV, p. 707) sont d'accord avec le vrai Rufus. Mais le scholiaste de l'Iliade de Bekker (ε', 66) se rapproche plus de l'abréviateur. On y lit *γλουτὸς κατὰ τοὺς παλαιοὺς τὸ σφαίρωμα τῆς κοτύλης.* — Voy. aussi les petites scholies. — En outre, Galien dit (*De oss. ad tir.* 21; t. II, p. 773; voy. Orib. XXV, 20; p. 417, l. 5) qu'on appelle aussi *γλουτός* le grand trochanter. Enfin le scholiaste de l'Iliade (*l. c.*) dérive ce mot de *γλοιὸν διὰ τὸ ἐν αὐτῷ τρυφερὸν καὶ γλοιῶδες.* — [10] On trouve la même définition avec la même étymologie chez Galien, *Comm. in art.* III, 74; t. XVIII, p. 589; *Comm. in prognost.* II, 1, et *Comm. in offic. med.* II, 16, t. XVIII^b, p. 112 et 764; Schol. Il. ε, 284 et 857; *Etym. magn.* p. 503, l. 28; Hésychius et Suidas (conf. aussi les notes des éditeurs de ces deux lexiques), et Eustath. *Ad Il.* p. 423, l. 38, et p. 547, l. 42. Voy. aussi Érotien, p. 218; Pseudo-Gal. *Introd.* 10; t. XIV, p. 705, et Rufus, *Appel. part. corp. hum.* p. 32. Les définitions de Pollux (II, 165 et 170) sont un peu différentes. — [11] Au lieu de *αὐτοῦ*, il faut probablement lire *ὡσαύτως*.

P. 321, l. 1 : Τούτῳ τινες] Ἀπὸ τοῦ αὐτοῦ λόγου μετὰ σ′ σῖίχους, κεφάλαιον τηλέφιος[1] μετὰ τὸ τρίτον τοῦ κεφαλαίου.

P. 329, l. 7 : πεδίου] Πεδίον ἐσῖὶ τὸ μέρος τὸ ἐκ πέντε ὀσῖῶν συγκείμενον πρὸ τῶν δακτύλων τοῦ ποδὸς, ὡς εἶναι αὐτὸ μεταξὺ ταρσοῦ καὶ δακτύλων· τὸ δὲ ὑποκείμενον τῷ πεδίῳ λέγεται σῖῆθος ποδός.

P. 331, l. 12 : οὔτε κατὰ βουβῶνα] Ἀπὸ τοῦ αὐτοῦ λόγου, ἐκ τοῦ τέλους τοῦ λόγου.

LIVRE XLIX.

P. 336, l. 12 : λειότερον] Ἀντὶ τοῦ εὐεικτότερον, εὐγνωμονέσῖερον.

P. 338, l. 5 : καπέτων] Τοὺς[2] τῶν ξύλων σωληνισμοὺς καπέτους προσηγόρευσεν Ἱπποκράτης[3], ὡς προϊόντες ἐν τῷ κζ′ κεφ.[4] τὸν Ῥοῦφον εὑρήσομεν λέγοντα τὸ Ἱπποκράτους βάθρον ἐξηγούμενον.

P. 345, l. 10 : πρίσῖεις] Ἀντὶ τοῦ πρίονες[5].

P. 347, l. 12-13 : οἱ μέν εἰσι τετράγωνοι, οἱ δὲ φακωτοί] Τετράγωνοι μέν εἰσι κοχλίαι, οὓς οἱ χρυσοχόοι διαπλάτῖουσιν ἐν τοῖς τῶν γυναικῶν λεγομένοις ψελίοις· φακωτοὶ δὲ οἷς οἱ κναφεῖς χρῶνται πρὸς τὴν τῶν ἱματίων πίλησιν, καὶ ὅσοι ἄλλοι τῶν τεχνιτῶν πιεσῖηρίων ὀργάνων δέονται[6] παρὰ τὸ ἐοικέναι τῷ ἐδωδίμῳ φακῷ τὰς τῶν κοχλιῶν ἕλικας[7].

P. 355, l. 9 : διανταίων] Ἀντὶ τοῦ ἐναντίων.

P. 356, l. 13 : μεταληπῖικῆς] Περὶ τῆς μεταληπῖικῆς κινήσεως ἐν τῷ ζ′ τῆς Περὶ χρείας μορίων[8] πολὺν ποιεῖται λόγον ὁ Γαληνὸς, διαλεγόμενος περὶ τῶν τὴν λάρυγγα κινούντων μυῶν, καί φησι ὅτι κατακέχρηνται αὐτῇ οἱ ἀρχιτέκτονες ἐν τοῖς μηχανήμασι, καὶ πρὸ ἐκείνων ἡ φύσις[9], καὶ παραδείγματι χρῆται[10] τῇ κινήσει τοῦ παρόντος μηχανικοῦ γλωτῖοκόμου, μεταληπῖικὴν λέγων εἶναι κίνησιν τὴν ἄλλων διὰ μέσων ἄλλων κίνησιν. Ἀλλὰ καὶ ὁ Ἡλιόδωρος τὸν τρόπον τῆς κατὰ μετάληψιν καὶ ἀντιμετάληψιν κινήσεως παραδίδωσι[11] μετὰ τὸ ἑξῆς κεφάλαιον[12].

[1] Nous ne savons comment il faut corriger ce mot corrompu. Il s'agit probablement du nom d'un bandage. — [2] Ὅτι τούς U. — [3] *Artic.* 72; t. IV, p. 298. Galien (dans son commentaire sur ce passage, IV, 50; t. XVIII, p. 750); Apoll. *Lex. Homer. Schol. Il.* ο, 356; Hésychius (voy. aussi les notes des divers éditeurs), Eustathius, *Ad Il.* p. 1019, l. 62, et p. 1376, l. 29, affirment que le mot κάπετος signifie proprement un *fossé*. La plupart le dérivent de σκάπῖω, *je creuse*. Conf. Lobeck, *Pathol. serm. gr. elem.* p. 125. Eustathius et le scholiaste de l'Iliade assurent, en outre, que c'était un mot propre aux Argiens. — [4] Voy. ch. 26; p. 433, l. 4. — [5] R n'a pas cette glose. U om. τοῦ. Le glossateur a cru qu'il s'agissait non de poissons-scies, mais de scies, ce qu'il était, jusqu'à un certain point, en droit de faire, parce que les anciens appelaient quelquefois aussi une scie πρίσῖης. Cela ressort de Pollux, qui énumère (II, 113) le πρίσῖης (les éditions ont, il est vrai, πρίσῖις, mais les manuscrits ont, à ce qu'il paraît, πρίσῖης) entre les outils des charpentiers (τέκτονες), et d'Hésychius : πρίσῖης· ῥίνων, πρίων. Mais il nous a semblé qu'une image d'un poisson-scie était un ornement plus approprié pour une machine de réduction que celle d'une scie. — [6] καὶ ὅσοι.... δέονται om. R. — [7] παρὰ τὸ ἐοικότως κόκκοις τοῦ ἐδωδίμου φακοῦ κατ' ἀλλήλων συντεθειμένοις R. — [8] Voy. VII, 14; t. III, p. 575. — [9] ἐκείνων φησί R. — [10] χρῆσθαι R. — [11] Ἀλλὰ καὶ.... παραδίδωσι om. R, qui ajoute, à la place de ces mots, après κεφάλαιον, καὶ ὁ Ἡλιόδωρος περὶ αὐτοῦ (l. αὐτῆς) διαλέγεται — [12] Voy. p. 367, l. 3, et, plus bas, dans plusieurs autres passages.

P. 362, l. 12 : *ἀμβοειδές*] *Ἀντὶ τοῦ κεκυρτωμένου καὶ ὑπερέχον, τί δ' ἐστὶν ἄμβων, ἐν τοῖς ἔμπροσθεν ὁ Γαληνὸς*[1] *διεσάφησεν.*

P. 363, l. 4 : *κατατάσεσιν*] *Κατάτασίς ἐστιν ὁλκὴ σωμάτων εἰς τοὺς κάτω τόπους· ταύτης δὲ ἡ μέν τίς ἐστιν εὐθύπορος, ἡ δὲ κατὰ μετάληψιν.* [*Def.* 479.]

P. 379, l. 10-11 : *Ἐξαρθρεῖ..... παραρθρεῖ*] *Ἐξάρθρημά ἐστιν ὀστοῦ κειμένου*[2] *κατὰ φύσιν ἐκ κοιλότητος βαθείας ἔκβασις εἰς τὸν τόπον τὸν παρὰ φύσιν. Παράρθρημά ἐστι παραλλαγὴ ἢ φορὰ ὀστοῦ κατὰ φύσιν κειμένου ἐξ ἐπιπολαίου κοιλότητος εἰς τὸν παρὰ φύσιν τόπον.* [*Def.* 472 et 473.]

P. 384, l. 4 : *ἐξελκυσμόν....... σφάλμα*] *Ἐξελκυσμός ἐστι μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν ἐκ τῆς ἐπιφανείας εἰς τὸ βάθος. Σφάλμα ἐστὶ μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν κάτωθεν ἄνω.* [*Def.* 482, 483.]

P. 387, l. 12 : *καταρτισμοῦ*] *Καταρτισμός ἐστι μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν ἐκ τοῦ παρὰ φύσιν τόπου εἰς τὸν κατὰ φύσιν*[3]. [*Def.* 476.]

P. 391, l. 11 : *περίσφαλσιν*] *Περίσφαλσίς ἐστι μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν περί τι προϋποκείμενον αἴτιον*[4].

P. 401, l. 14 : *ψαλίδες*] *Ἀντὶ τοῦ καμάραι· ψαλίδας γὰρ οἱ Ἕλληνες ἐκάλουν τα τοιαῦτα σχήματα διὰ τὸ ἐοικέναι τῷ κάτω μέρει τῆς ψαλίδος, ὅπερ ἐστὶ καμαροειδές· οἱ δὲ κάμαρα ἔλεγον τὰ ἀσφαλῆ κατ' ἰδίαν διάλεκτον. Καὶ ταῦτα οὖν τὰ σχήματα ὡς ἀσφαλεῖς οὔσας οἰκοδομὰς καμάρας, οἱ δὲ καὶ κάμαρα ἔλεγον*[5].

P. 404, l. 10 : *εὐθύπορος..... κατάτασις*] *Εὐθύπορός*[6] *ἐστιν ὁλκὴ σωμάτων εἰς τοὺς κάτω τόπους τῶν ἀρχῶν κατ' εὐθὺ ἀποδιδομένων τοῖς τῆς τάσεως αἰτίοις*[7]*· ἡ δὲ κατὰ ἀντιμετάληψίν ἐστιν ὁλκὴ σωμάτων εἰς τοὺς κάτω τόπους, μεταλαμβανομένων τῶν ἀρχῶν διὰ τροχιλιῶν κάτω προσδεδεμένων, ἀντιλαμβανομένων*[8] *δὲ καὶ δι' ἄλλων τροχιλιῶν ἄνω προσδεδεμένων, εἶτα ἀποδιδομένων τοῖς τῆς τάσεως αἰτίοις.* [Cf. *Def.* 479.]

P. 406, l. 1 : *ἀνάτασιν εὐθύπορον*] *Ἀνάτασίς ἐστιν ὁλκὴ σωμάτων εἰς τοὺς ἄνω τόπους, ἀποδιδομένων κατ' εὐθὺ*[9] *τῶν τῆς καιρίας*[10] *ἀρχῶν τοῖς τῆς τάσεως αἰτίοις*[11]*· ἡ δὲ κατὰ μετάληψιν καὶ κατὰ ἀντιμετάληψιν ἀνάτασις νοεῖσθαι δύναται ἀπὸ τῶν ἐπὶ τῆς κατατάσεως*[12] *εἰρημένων*[13] [Cf. *Def.* 480.]

[1] Voy. XLVII, 4; p. 221-222, d'où il résulte qu'il faut probablement lire *ἄμβη* au lieu de *ἄμβων*. Conf. aussi plus bas la scholie sur *ἀμβοειδῆ* (p. 417, l. 5). — [2] *κινουμένου* Pseudo-Gal. *Déf. méd.* 472 (t. XIX, p. 460), d'où la première partie de cette scholie est tirée. — [3] Conf. la scholie au mot *καταρτιζόμενον* (p. 230, l. 4). — [4] Toute la forme de cette définition semble prouver que le scholiaste l'a tirée de son exemplaire des *Déf. méd.* du faux Galien, bien que, dans l'état actuel de cette collection, elle ne s'y trouve pas. Elle manque aussi dans R. Voyez ce que nous avons dit, p. 536, note 12. — [5] R omet cette scholie, probablement parce que ce n'est qu'une répétition, avec de légères modifications et abréviations, de celle que les deux manuscrits avaient déjà donnée au mot *καμάραις* (p. 178, l. 7). — [6] Il faut probablement lire *Κατάτασις εὐθύπορος*. Dans le texte actuel des *Déf. méd.* du faux Galien (479, t. XIX, p. 461), d'où cette scholie est tirée, il existe probablement une lacune, d'où il résulte que le commencement de cette définition est confondu avec la fin de celle que notre scholiaste donne plus haut au mot *κατατάσεσιν* (p. 363, l. 4). — [7] *τοῖς... αἰτίοις* ex em.; *τῶν... αἰτίων* U. — [8] Il faut probablement lire *ἀντιμεταλαμβ.* — [9] *κατ' εὐθύ* ex em.; *καὶ εὐθύς* U. — [10] *καιρίας* ex em.; *παρίας* U. — [11] *τοῖς..... αἰτίοις* ex em.; *τῶν... αἰτίων* U. — [12] *κατατάσεως* ex em.; *κατὰ τάσεως* U; *κατστάσεως* Pseudo-Gal. — [13] *νοεῖσθαι εἰρημένων* U.

P. 407, l. 2 : διάτασιν] Διάτασίς ἐστιν ὁλκὴ σωμάτων εἰς τοὺς ἄνω καὶ κάτω τόπους. [*Def.* 481.]

P. 413, l. 1 : κνώδακας] Ἀντὶ τοῦ περὶ ἄξονας ἢ κέντρα[1].

P. 417, l. 5 : ἀμβοειδῆ] Ἀντὶ τοῦ ὑπερέχουσαν[2]· ἄμβωνας γὰρ τὰς τῶν ὀρῶν ἔλεγον ὑπεροχάς[3].

P. 432, l. 3 : Ὁ θαυμασιώτατος] Ἀπὸ τοῦ προοιμίου τοῦ μονοβίβλου Ἐπὶ γηρὰ ἄνθρωπος[4]· τινὲς δὲ αὐτὸ Περὶ ἐξαρθρημάτων ἐπιγράφουσιν.

P. 435, l. 7 : ἐκπαλείας] Ἀντὶ τοῦ προπήδησις[5].

LIVRE L.

P. 459, l. 1 : Ἐπὶ ὧν] Ἀπὸ τοῦ ιδ' τῆς Θεραπευτικῆς. Μετὰ τὸ ἥμισυ τοῦ λόγου αὐτὰ εὑρήσεις, καὶ ἐν τῷ[6] βιβλίῳ τῆς Συνόψεως, ἔνθα τὸ τεσσαρεσκαιδέκατον ἐπιτέμνεται.

P. 460, l. 10 : Τῶν ἐκ γενετῆς] Ἀπὸ τοῦ β' τῶν Χειρουργουμένων, κεφ. τοῦ ὁμοίου.

P. 463, l. 13 : Ἐκ γενετῆς] Ἀπὸ τῶν Ἀντύλλου Χειρουργουμένων, βιβλίον β', κεφάλαιον τοῦ τρίτου μέρος[7]. Ὑποσπαδιαίαν δὲ λέγεσθαί φησιν αὐτὴν[8] ὁ Ἡλιόδωρος ἐν τῷ δ' τῶν Χειρουργουμένων παρὰ τὸ σπᾶσθαι τὴν βάλανον.

P. 466, l. 1 : Ἡ τοῦ οὔρου] Ἐκ τῶν Χειρουργουμένων, κεφ. τοῦ ὁμοίου.

P. 466, l. 5 : Διττόν] Ἀπὸ τοῦ βιβλίου τῶν Χειρουργουμένων, κεφ. τοῦ ὁμοίου.

P. 469, l. 1 : Ἑλκώσεως] Ἀπὸ τοῦ αὐτοῦ, κεφ. τοῦ ὁμοίου.

P. 469, l. 10 : Οὐ περί] Ἀπὸ τοῦ αὐτοῦ βιβλίου, κεφ. τοῦ ὁμοίου, συνεχὲς τοῖς πρὸ αὐτοῦ.

P. 472, l. 1 : Σαρκοῦται] Ἀπὸ τοῦ δ' τῶν Χειρουργουμένων, κεφ. τοῦ ὁμοίου.

P. 475, l. 1 : Ῥαγάδες] Ἀπὸ τοῦ αὐτοῦ, κεφ. τοῦ ὁμοίου.

P. 487, l. 8 : Εἰ μὲν οὖν] Συνεχὲς τοῖς πρὸ αὐτῶν.

P. 493, l. 1 : Ἐπακολουθεῖ] Συνεχὲς τοῖς πρὸ αὐτῶν.

P. 493, l. 6 : Τῶν δὲ μή] Συνεχὲς τοῖς πρὸ αὐτῶν.

P. 495, l. 6 : Εἰ δὲ αἱμοῤῥαγοίη] Συνεχὲς τοῖς πρὸ αὐτῶν.

P. 497, l. 1 : Εἰ δὲ φλεγμαινόντων] Ἀπὸ τῶν αὐτῶν, μετ' ὀλίγον τῶν πρὸ αὐτῶν.

LIVRE LI.

P. 505, l. 8 : Γινώσκειν δέ] Ἀπὸ τοῦ Ἱπποκράτους τοῦ Περὶ ἑλκῶν, ῥητοῦ· ἔλαιον καὶ ὅσα μαλθώδεα καὶ ἐλαιώδεα[9].

[1] Voy. Hésychius et le *Lexique* latin de Forcellini, *in voce*. — [2] ὑπερέχοντι U. Cette scholie manque dans R. — [3] Conf. Érotien, Apollonius Citiensis, *Comm. in Hippocr. de artic.* ap. Dietz, *Scholia in Hippocratem et Galenum*, t. I, p. 10; Eustathius, *in Il.* p. 522, l. 28 sqq. et p. 716, l. 34 sqq. et Foës. *Œcon. Hippocr.* in voce. Conf. aussi plus haut la scholie au mot ἀμβοειδές (p. 362, l. 12). — [4] Ce titre est évidemment corrompu; mais nous ne savons pas comment il faut le corriger. — [5] R n'a pas cette glose. — [6] L'indication du numéro du livre manque. — [7] Il faut probablement corriger, d'après Mai, βιβλίον β' κατὰ (τὸ) γ' μέρος. — [8] Il faut probablement lire ὑποσπαδίας (ou ὑποσπαδιαίους)....... αὐτούς. — [9] Voy. Hippocrate, *Des plaies*, 2; t. VI, p. 404. Ceux qui ont écrit l'histoire littéraire de Galien ont oublié de citer, parmi ses œuvres, le commen-

P. 509, l. 13 : Ταῖς κοπ7αῖς] Ἀπὸ τοῦ αὐτοῦ[1] μετὰ οὐ πολὺ τῶν πρὸ αὐτῶν[2] ἐν τῷ ιε′[3] τῶν πρὸς Ἀνδρομάχου γεγραμμένων Φαρμάκων.

P. 514, l. 3 : Τῶν δὲ κυκλοτερῶν] Ἀπὸ τοῦ Ἱπποκράτους Περὶ[4] ἑλκῶν, ῥητοῦ· τῶν ἑλκέων τὰ κυκλοτερῆ[5].

P. 515, l. 6 : δεῖ γάρ] Ἀπὸ τοῦ Περὶ τῶν κατὰ κεφαλὴν τραυμάτων, ῥητοῦ· καὶ τὰ κυκλοτερέα τῶν ἑλκῶν[6].

P. 515, l. 9 : Μεγάλων] Ἀπὸ τοῦ Περὶ[7] ἑλκῶν, ῥητοῦ· τῶν ἑλκέων τὰ κυκλοτερῆ ἢν ὑπόκοιλα ᾗ[8].

P. 517, l. 4 : Καλεῖται δέ] Ἀπὸ τοῦ Τῶν ἐκτὸς παθῶν.

P. 517, l. 8 : Τὸ δὲ λοιμῶδες] Ἀπὸ τοῦ βιβλίου τῆς Συνόψεως τῶν χειρουργουμένων μετὰ τὸ ἥμισυ τοῦ βιβλίου.

P. 518, l. 6 : κελυφάνων] Ἀντὶ τοῦ κορυφῶν ἢ κελυφῶν[9].

P. 519, l. 9 : Ἄνθρακες] Ἄνθραξ εἴρηται ἀπὸ τῆς[10] τοῦ ἄνθρακος ὁμοιότητος, ὡς αὐτός Φησιν ἐν τῷ β′[11] τῆς Θεραπευτικῆς.

taire sur le livre hippocratique *Des plaies*, dont nous voyons qu'Oribase nous a conservé des extraits. (Conf. plus bas les scholies aux mots τῶν δὲ κυκλοτερῶν, p. 541, l. 3, et μεγάλων, *ibid.* l. 7). Cependant ce commentaire est déjà cité par Galien lui-même. (*Comm. in art.* IV, 22; t. XVIII, p. 695.) — [1] Les mots ἀπὸ τοῦ αὐτοῦ se rapportent à une scholie perdue qui indiquait la source d'où l'extrait précédent d'Oribase était tiré, car aussi bien l'extrait actuel que les deux précédents sont empruntés au livre IV, *Sec. gen.* Voy. *Indication des livres et des chapitres de Galien auxquels correspondent les extraits d'Oribase.* — [2] αὐτοῦ R. — [3] Lisez ζ′. Cependant il pourrait se faire aussi que le scholiaste eût mal compté, et par conséquent écrit ε′ au lieu de ζ′. — [4] τὴν περί R. — [5] Voy. Hippocrate, *Des plaies*, 8; t. VI, p. 406. Conf. p. 540, note 9. — [6] Voy. *Des plaies de la tête*, 13; t. III, p. 234. — [7] περὶ τῆς περί R. — [8] Voy. Hippocr. *Des plaies*, 8; t. VI, p. 406. Conf. p. 540, note 9. — [9] κορυφῶν ἢ est évidemment une répétition vicieuse de κελυφῶν. Du reste, le grammairien Ammonius distingue entre κέλυφος et κέλυφανον : κέλυφος μὲν γὰρ λέγεται ἐπὶ τῶν ὀσ7ρακοδέρμων, οἷον τῶν κογχυλίων, κελύφανον δὲ ἐπὶ τῶν τραγημάτων καὶ ὀσπρίων. Mais, en général, les auteurs ne tiennent aucun compte de cette différence. Voy. aussi Tzetzès, *Ad Lycophr.* 89. — [10] τῆς om. R. — [11] ιε′ R. Voy. *Meth. med.* II, 2; t. X, p. 82.

ἘΚ ΤΗ͂Σ ΒΊΒΛΟΥ ὈΡΕΙΒΑΣΊΟΥ ΤΗ͂Σ ΠΡῸΣ ἸΟΥΛΙΑΝῸΝ ΤῸΝ ΒΑΣΙΛΈΑ ἘΚΛΟΓΑῚ ΒΟΗΘΗΜΆΤΩΝ.

α'. Περὶ κεφαλαλγίας.

Εἰ μὲν ἐν πυρετοῖς κεφαλαλγεῖν συμϐαίνει, φλεϐοτομεῖν ἐν τῇ πρώτῃ ἀνέσει ἢ τῇ δευτέρᾳ, εἰ μήτε ἡλικία, μήτε ὥρα κωλύοι, ἤ τι ἄλλο τοιοῦτον. Καὶ μᾶλλον ἀφαιρετέον, οἷς ἀφανὲς τὸ ἄλγημα ἐγένετο αἰφνίδιον οὐκ ἐπὶ εὐλόγοις αἰτίοις, οἷον αἵματος ἱκανῇ ῥύσει ἢ κοιλίας. Εἰ δὲ ὕστερον μετὰ ἑϐδόμην εἰσϐάλλοι ἡ κεφαλαλγία, σικυαστέον ἀπὸ ἰνίου ἢ αὐχένος, ἢ βδέλλας προσθετέον κατὰ μηνίγγων. Παρηγορητέον δὲ καὶ τὴν κεφαλὴν ταῖς διὰ ἐλαίου ἐμϐροχαῖς κατὰ αὐτὸ ἢ πέμπτον ὄξους μετειληφότος· παρηγορεῖ δὲ καὶ τὸ ἀνηθέλαιον καὶ τὸ πηγάνινον καὶ τὸ ἀμυγδάλινον. Καταπλάσματα δὲ ἁρμόζει μετώπῳ καὶ κροτάφοις προσαγόμενα ἄρτος διὰ ὀξυκράτου καὶ ῥοδίνου, ἔστιν ὅτε σὺν ἀμυγδάλοις, ἢ ῥόδοις, ἤτοι ξηροῖς, ἢ ἁπαλοῖς σὺν ἡδυόσμῳ, ἢ ἀλῶν ἢ γλήχωνος μισγομένων τῷ ἄρτῳ μετὰ περσίκου φύλλων. Ποιεῖ δὲ καὶ ὤκιμον λεῖον σὺν ὄξει καὶ ῥοδίνῳ, ἢ κισσοῦ κόρυμϐοι ἐν ὄξει καὶ ῥοδίνῳ, ἢ ἕρπυλλον διὰ ὕδατος ἑψηθὲν καὶ προσλαϐὸν πύρινον ἄλευρον, ἢ καρδάμωμον φρυγὲν καὶ λεανθὲν ὄξει καὶ ῥοδίνῳ, ἢ ζύμη μετὰ ῥοδίνου, ἢ ἶρις ξηρὰ μετὰ ὄξους. Συνεχῶς δὲ ἀλλασσέσθω ἕκαστον τούτων· ἀπρακτεῖ γὰρ χρονίσαντα. Ἐπίχριστα δὲ μετὰ ὄξους ἀλόη, ἢ ἀμμωνιακὸν, ἢ μαστίχη, ἢ ἄρτος κεκαυμένος, ἢ κροκόμαγμα καὶ κηκὶς ἴσα μετὰ ὄξους. Ἐπὶ δὲ τῶν ἄνευ πυρετῶν κηκὶς καὶ κροκόμαγμα μετὰ οἴνου ἐπιχρίεται, ἢ δαφνίδων ἑξάγια β' καὶ πηγάνου φύλλων Γο ϐ', νάπυος ∠β', ἢ σμύρνης καὶ ἀλόης καὶ λιϐάνου καὶ καστορίου καὶ εὐφορϐίου ἴσα μετὰ ὄξους.— Μάλαγμα πρὸς κεφαλαλγίαν.] Κηροῦ ∠ιζ', ἀμυγδαλίνου ἐλαίου Γο γ', ἰοῦ ξυστοῦ, κιμωλίας, χαλκίτεως ἀνὰ ∠δ', κισήρεως ∠γ', χαλκοῦ κεκαυμένου, λεπίδος στομώματος ἀνὰ ∠ϐ'. Ἐὰν δὲ δοκῇ σκληρότερον εἶναι, ἀμυγδαλίνῳ ἐλαίῳ μάλασσε. Πρὸς δὲ τὴν λεγομένην ἡμικρανίαν ποίει οὕτως. Τερεϐινθίνης, χαλκοῦ κεκαυμένου, κολοφωνίας, μίσυος ὠμοῦ ἐξ ἴσου· ἐμπλάστρῳ χρῶ.— Ἄλλο.] Νάπυος ∠δ', κηροῦ, τερεϐινθίνης ἀνὰ ∠β', ἐλαίου παλαιοῦ ∠α'.— Κατάπλασμα εἰς ἡμικρανίαν]. Δαφνίδων λείων ∠β', πηγάνου φύλλων ∠β', νάπυος ∠α'. Ὕδατι διεὶς κατάπλασσε.— Τροχίσκος ὁ διὰ τῆς θαψίας πρὸς ἡμικρανίαν.] Χυλοῦ θαψίας ∠ις', σμύρνης ∠η', ὀποπάνακος ∠ς', εὐφορϐίου ∠ς', νίτρου ∠δ', ὀποῦ παρθικοῦ ∠δ', πεπέρεως ∠β', σαγαπηνοῦ ∠β'. Λείου διὰ ὄξους καὶ χρῶ, μετὰ δὲ ἓξ ὥρας λοῦε. Εἰ δὲ βούλῃ ὑφειμένῳ χρῆσθαι,

Ch. 1, l. 3. ἐφένετο X. — 9. ἁπαλοῖς] πᾶλη X. Cf. Paul. III, 4. — 11-12. ἑρπύλλῳ... ἑψηθέντι... προσλαϐόντι X. Conf. Paul. ibid. — 27. ὑφημένως X.

κηρωτῇ ἴσῃ ἀναλαβὼν ἔμπλασσε καὶ ἔα νυχθήμερον. — Τροχίσκος ἡμικρανικὸς ὁ διὰ κανθαρίδων.] Κηροῦ ∠α', ὀξυγγίου παλαιοῦ ∠α', κανθαρίδων ∠α', σκορόδων ∠α'. Λειώσας ὁμοῦ ἀναλάμβανε τῇ κηρωτῇ, ἐμπλάσας τε ἐπίθες ἑσπέρας καὶ ἔα διανυκτερεῦσαι, ὄρθρου δὲ ἀφελὼν τὸ φάρμακον ῥῆξον τὴν φλύκταιναν καὶ θεράπευε παρύγρῳ φαρμάκῳ. — Ἀναγαργάρισμα πρὸς κεφαλαλγίαν φλέγμα κρατούμενον περὶ κεφαλὴν κενῶσαι.] Νάπυος ἐκλελειωμένου καὶ κεχυλισμένου Γο ιδ', σταφίδος ἀγρίας ∠δ', πυρέθρου ∠δ', πεπέρεως ∠δ'. Κόψας καὶ σήσας μῖξον καὶ ἐν ἡλίῳ ἀνακογχυλίζου.

β'. Πρὸς ἐπιληπτικούς.

Σκίλλης ὀπτῆς τὸ ἐντὸς λείου καὶ ἀνίσου ἀνὰ ὀξύβαφον καὶ σελίνου ὀξύβαφα γ'. Ἐκ τούτου δίδου καρύου μικροῦ τὸ μέγεθος μετὰ ὀξυμέλιτος. Προπεριπατείτωσαν δὲ καὶ μετὰ τὸ πιεῖν, εἰ δύναιντο, ἄνω καὶ κάτω διατρεχέτωσαν.—Ἄλλο.] Φύλλα ἁπαλὰ ἐλαίας κε' μετὰ καστορίου τριωβόλου σὺν ὀξυμέλιτι. Βοηθεῖ δὲ καὶ κατὰ αὑτὸ τὸ καστόριον. —Ἄλλο ἐπιληπτικοῖς, καὶ τοῖς περιοδικῶς σπωμένοις, ἢ εἰλεωδεῶς ὀχλουμένοις, ἢ χρονικῶς κεφαλαλγοῦσιν.] Καστορίου, ἀβροτόνου, πάνακος, πυρέθρου, κρόκου ἀνὰ ∠η', πηγάνου ἀγρίου σπέρματος, σμύρνης, πεπέρεως λευκοῦ ἀνὰ ∠δ'. Λειώσας ὄξει σκιλλίνῳ καὶ πλάσας τροχίσκους δραχμιαίους δίδου ἀπυρέτοις μὲν ἐν ὀξυμέλιτι, πυρέσσουσι δὲ ἐν ἀνέσει ἢ διαλείμματι διὰ ὑδρομέλιτος ἐπὶ τρεῖς ἡμέρας. Ποιεῖ καὶ ἀρθριτικοῖς, ἄγει καὶ ἔμμηνα ἐννάκις ὡς εἴρηται ποτιζόμενον. Ἐλέγχει ἐπιληπτικοὺς θυμιώμενα ἄσφαλτος, ἢ γαγάτης λίθος, ἢ κέρας ἐλάφειον ἢ αἴγειον, ἐσθιόμενον δὲ ἧπαρ τράγειον.

γ'. Πρὸς πιτυριάσεις.

Κιμωλίαν βρέξας ὕδατι καὶ μαλάξας καὶ προσβαλὼν νίτρον σμῆχε σεύτλου χυλῷ καὶ χρῖε. Λιβανωτὸν καὶ σμύρναν τρίψας ἐλαίῳ μετὰ ταῦτα κατάχριε σταφίδι ἀγρίᾳ, ἢ φρυκτῇ μετὰ οἴνου λείᾳ.

δ'. Πρὸς ἀλωπεκίας.

Ἀλκυόνιον τὸ τραχύτερον καύσας καὶ λύχνου ἐλαίῳ λειώσας ἐπίχριε. Βασιλικὰ κάρυα καύσας ἐπίχριε σὺν μέλιτι. Ἢ μῦν ζῶντα καύσας ἐπίχριε σὺν μέλιτι. Πεπέρεως, προβατείας κόπρου ξηρᾶς, ἐρυσίμου, εὐζώμου σπέρματος ἀνὰ ∠δ', ἐλλεβόρου λευκοῦ ∠γ', μυῶν ἀφόδου ∠γ'. Ἀναλάμβανε χολῇ ταυρείᾳ ἢ τραγείᾳ ἢ ὑείᾳ. Κηκῖδας καύσας λείου σὺν οἴνῳ καὶ ἐπίχριε. Λεπίδος στομώματος λειώσας μετὰ ὄξους καὶ ἐλαίου παλαιοῦ ἐπίχριε. Καλάμου φύλλα κεκαυμένα μετὰ ἀρκείου στέατος διπλασίονος. Πρὸ παντὸς δὲ φαρμάκου καὶ πρὸ πάσης ῥύσεως ἀνάτριβε συνεχῶς ἤτοι νίτρῳ, ἢ βολβῷ, ἢ ἐπὶ βραχὺ κρομμύῳ, ὡς μὴ ἑλκωθῆναι, καὶ ξύρα τὸν τόπον συνεχῶς.

2. σκόρδων X, et sic sæpius. — 6. ἐκλελειωμένης καὶ κεχυλισμένης X. — Ch. 2, l. 8. ἀνήθου Aët. — 16. τρεῖς ἡμέρας Aët.; τρισὶν ἡμέραις X. — Ch. 3, l. 21. ἐλαίῳ καὶ μετὰ ταῦτα X. — Ch. 4, l. 23. τρανότερον Aët.; τραχύτατον Paul.

ε'. Πρὸς ῥεούσας τρίχας.

Λάδανον καὶ ἀδίαντον ὃ καλοῦσι πολύτριχον, ἐπίχριε σὺν οἴνῳ καὶ μυρσινίνῳ πρὸ βαλανείου καὶ μετὰ βαλανεῖον· ἢ ἀλόην σὺν οἴνῳ μέλανι αὐσΊηρῷ, ἢ σμύρναν καὶ λάδανον σὺν οἴνῳ καὶ μυρσινίνῳ. Ἢ σπυράθους καύσας ἐπὶ ὀσΊράκου λείου μετὰ ἐλαίου καὶ προξυρήσας ἐπίχριε.

ς'. Πρὸς φθεῖρας τὰς ἐν τῇ κεφαλῇ.

Σανδαράκην μετὰ ἐλαίου, ἢ κισσοῦ χυλὸν σὺν μέλιτι, ἢ σινωπίδα μετὰ ὄξους. Ἢ κεδρίᾳ, ἢ ὑγρᾷ πίσσῃ μετὰ σΊυπΊηρίας, ἢ δαφνίδων πιέσματι, ἢ ἐλαίῳ ῥαφανίνῳ. Εἰς δὲ τὸ ὅλον σῶμα σΊαφὶς ἀγρία σὺν ἐλαίῳ ἐπιχριομένη.

ζ'. Πρὸς ἀχῶρας.

Οἱ ἀχῶρες ἕλκη εἰσὶν ἐν τῇ κεφαλῇ γεννῶντα ὑγρασίαν μυξώδη, συμβαίνει δὲ καὶ ἐπὶ τοῦ γενείου καὶ ἐπὶ τοῦ ἐφηβαίου κατὰ τὸν τῶν τριχῶν τόπον. ΧρησΊέον οὖν τούτῳ· λιθαργύρου ∠ις', πηγάνου φύλλων ∠γ', σΊαφίδος ἀγρίας ∠δ', χαλκάνθου ∠β'. Μυρσινίνῳ ἐλαίῳ ἀναλαβὼν γλοιώδη ἐπίχριε.

η'. Σμήγματα πυκνοῦντα κεφαλήν.

Νίτρου λ α', δαφνίδων λ β', σΊαφίδος ἀγρίας λ α', σικύου ἀγρίου ῥίζης Γο ς'. Σμάσθω ἐν βαλανείῳ μὴ ἀλειψάμενος, κατὰ δὲ τῶν ὀφθαλμῶν κατεχέτω ὀθόνιον πολύπΊυχον ἢ σπόγγον.

θ'. Περὶ τῶν ἐν ὀφθαλμοῖς παθῶν.

Ἄλειμμα τὸ λεγόμενον ὑγείδιον ὅ τινες Ἀμμωνίου ἐκάλεσαν ποιοῦν πρὸς ἀρχομένας ὀφθαλμίας καὶ ἐπικαύματα καὶ κοιλώματα καὶ πρὸς πᾶν ἕλκος καὶ ὑποπύους, συγχύσεις, χημώσεις, προπΊώσεις καὶ πρὸς τὰ χρόνια μυοκέφαλα, σΊαφυλώματα, ὀνύχια. Ποιεῖ δὲ καὶ πρὸς τὰς ὑπὸ ὑδατίδων γινομένας φλεγμονὰς, ἀνακαθαίρει τε καὶ ἀναπληροῖ καὶ ἀπουλοῖ· τοὺς δὲ μὴ δυναμένους διά τινα αἰτίαν, ἤτοι διὰ πόνον κεφαλῆς, ἢ διὰ ὀφθαλμοῦ κοιμηθῆναι ἄγει εἰς ὕπνον γεννικῶς ὡς ὑπνωτικὸν φάρμακον· χρῶ δὲ ἢ μετὰ ᾠοῦ, ἢ γάλακτος, ἢ ὕδατος μέσῃ κράσει, ἢ παχυτέρῳ. Καδμείας ∠ις', ψιμυθίου ∠ς', κασΊορίου ∠ς', νάρδου ἰνδικῆς ∠δ', σΊίμμεως ∠μ', ἀλόης ∠ς', κασίας ∠δ', λεπίδος ∠ε', χαλκοῦ κεκαυμένου ∠ις', ῥόδων ἄνθους ∠η', λυκίου ἰνδικοῦ ∠γ', λίθου σχισΊοῦ ∠δ's'', κρόκου ∠ς', μολίβδου κεκαυμένου καὶ πεπλυμένου ∠η', ὀπίου δραχμαὶ γ', ἀκακίας ∠μ', κόμμεως ∠μη', ὕδωρ ὄμβριον· δεδοκιμασμένον ἄγαν.

Ch. 5, l. 3. μυρσίνῳ X, et sic semper. — Ch. 9, l. 22. κασσίας X, et sic sæpius.

ι'. Πρὸς ὤτων ἀλγήματα.

Ἀλγημάτων μὲν ὄντων ἐν πυρετοῖς καταπλαστέον ὠμαῖς λύσεσιν ἐπιτιθέντα ἄνωθεν μαρσίππους ἁλῶν πεφρυγμένων, κατὰ δὲ τοὺς τῶν ἀλγημάτων παροξυσμοὺς πυριατέον σπόγγοις διὰ ὑδρελαίου μέχρις ἀπονίας· πάντων γὰρ μᾶλλον οὗτοι παρηγοροῦσιν· καὶ πάλιν καταπλαστέον, εἴς τε τὸν πόρον ἐγχυματιστέον ἔλαιον ᾧ ἐναφήψηται γῆς ἔντερα, ἢ ὄνοι οἱ ὑπὸ τὰς ὑδρίας, ἢ ἀράχναι. Ἐγχυματιστέον δὲ ὑοσκυάμου σπέρμα τετριμμένον μετὰ ῥοδίνου, ἢ δαφνίδων πίεσμα, ἢ χυλῷ κονύζης, ἢ πολίου, ἢ παρθενίου μετὰ ἴσου ῥοδίνου κεχλιασμένῳ· ἢ κενταυρίου χυλὸν, ἢ χολῇ βοείᾳ μετὰ χυλοῦ ῥοιᾶς γλυκείας ἡψημένῃ· ἢ ὀπὸς μήκωνος μετὰ γυναικείου γάλακτος· ἢ χυλῷ πυρήνων ῥοιᾶς μετὰ μέλιτος. — Πρὸς ὦτα πυοῤῥοοῦντα.] Σχιστῆς, κρόκου, κηκῖδος ἴσα σὺν οἴνῳ αὐστηρῷ ἐγχυμάτιζε χλιαρῷ· πρὸς δὲ ὀδύνας μεγίστας καὶ πύον ἀμύγδαλα πικρὰ λελεπισμένα κ', ἀφρονίτρου, λιβάνου, ὀπίου ἀνὰ ∠γ', κρόκου ∠δ', χαλβάνης ∠β', σμύρνης α'. Ὄξει λείου καὶ ἔνσταζε ὀδύνης μὲν οὔσης ῥοδίνῳ διεὶς, πυοῤῥοούντων δὲ οἰνομέλιτι ἢ ὀξυμέλιτι· δυσηκοΐας δὲ οὔσης ὄξει. Πρὸς δὲ σκωληκιῶντα πόρον ἔγκλυζε ἀφέψημα ἀψινθίου, ἢ κενταυρίου, ἢ πρασίου. Ἢ καππάρεως φύλλων χυλὸς, ἢ τοῦ καρποῦ, ἢ κεδρέα, ἢ ἐλλέβορος λευκὸς, ἢ οὖρον ἀνθρώπου παλαιὸν, ἕκαστον σὺν μέλιτι. — Ὑπερσαρκήματα ἐν ὠσίν.] Ἔγκλυζε νίτρῳ διὰ ὕδατος θερμοῦ. Διάψα λεπίδι χαλκοῦ μετὰ σανδαράκης ἴσοις· ἐσχαρωθέντα μέλιτι ἀνακαθαίρειν. — Θλάσεις ὤτων.] Ἄρτου θερμοῦ τὸ ἐντὸς σὺν μέλιτι ὁλμοκοπήσας κατάπλασσε· φλεγμονῆς δὲ γενομένης χόνδρῳ σὺν ὄξει ἑφθῷ κατάπλασσε. Ὕδατος ἐναποληφθέντος εἰς τὸ οὖς ἔνσταζε χυλὸν κρομμύου, ἢ διὰ καλάμου ἐκμύζα ὡς διὰ σίφωνος. Ζώου ἐμπεσόντος εἰς ἀκοὴν ἔνσταζε πρὸς τὸ ἀναβιβασθῆναι αὐτὸ μαλάχης χυλὸν, ἢ κενταυρίου ἀφέψημα μετὰ ὄξους· ἢ ἀψινθίου χυλόν, ἢ ὀπὸν σκαμμωνίας σὺν νίτρῳ καὶ ὕδατι θερμοῖς, ἢ νίτρον σὺν χυλῷ ἀψινθίου καὶ ὄξει, ἢ πράσου χυλὸν μετὰ μέλιτος, ἢ θεῖον ἄπυρον σὺν οὔρῳ παιδίου. Ψηφῖδος ἐμπεσούσης, ἢ μηλωτίδι ἀνάσπα διὰ ῥητίνης, ἢ ταυροκόλλης, ἢ δρώπακος. — Θλάσεις ὤτων.] Σάνδυκος, ἐλαίου ἀνὰ λ̸ α', ὕδατος Γο ϛ'. Ἕψε ἕως συστῇ καὶ ἔμπλασσε. Δυσηκοΐαις αἰγὸς οὖρον καὶ χολὴν ἐγχυμάτιζε· χρονίαις ὀδύναις καὶ ἑλκώσεσιν ὤτων ἐψιλωμένου χόνδρου κυκλαμίνου χυλοῦ ἢ λινοσπέρμου μέρη δύο, μέλιτος ἀττικοῦ μέρος ἕν. Ἕψε ἕως μέλιτος σχῇ πάχος καὶ ἔνσταζε χλιαρόν.

ια'. Πρὸς τὰ τῆς ῥινὸς ἕλκη.

Διάχριε τὰς ῥῖνας τῷ ἀνδρωνείῳ τροχίσκῳ ἢ τῷ Μούσα σὺν γλυκεῖ· κεῖνται ἐν τοῖς στοματικοῖς· ἢ ψιμυθίῳ σὺν οἴνῳ, ἢ σαμίᾳ γῇ, ἢ μολίβδου σκωρίᾳ, ἢ λιθαργύρου καὶ ψιμυθίου καὶ μολίβδου σκωρίᾳ ἴσοις μετὰ οἴνου καὶ ἐλαίου, ἢ ἀμόργῃ, ἢ σανδαράκῃ μετὰ ἐλαίου. — Πρὸς σαρκώματα, ὀζαίνας, αἰγίλωπας.] Χρῶ δὲ ἐπὶ ὀζαινῶν οὕτως. Δοὺς τῷ πάσχοντι ὕδωρ καταῤῥοφῆσαι καὶ κρατεῖν ἐν τῷ στόματι ἐμφύσα διὰ σύριγγος τὸ φάρμακον. Χαλκοῦ ἐρυθροῦ ῥινήματος μέρος ἓν, ἁλῶν ἀμμωνιακῶν μέρη β', στυπτηρίας στρογγύλης μέρη γ', ὄξους δριμυτάτου μέρη ιβ'. Λειοτριβήσας ὁμοῦ καὶ βαλὼν εἰς

σκεῦος ἐρυθροῦ χαλκοῦ ἐν ἡλίῳ ξήραινε ἐν τοῖς ὑπὸ κύνα καύμασι, κινῶν ῥάϐδῳ ἐρυθροῦ χαλκοῦ ἕως ξηρανθῇ· ἀποτίθεσο δὲ ἐν κεραμαίῳ τεύχει. Ποιεῖ δὲ καὶ πρὸς νομὰς καὶ σηπεδόνας πάσας ξηρόν· ἐμπλασσόμενον δὲ μετὰ κηρωτῆς ῥοδίνης ἕλκη ἀναπληροῖ.

ιβʹ. Πρὸς πώλυπας.

Πώλυπας ἐξεσθίει προηλκωθέντας δρακοντίου ῥίζα ἐμπασθῆ, ἢ χυλὸς αὐτῆς ἐπιχριόμενος, κυπαρίσσου σφαιρία λειωθέντα σύκου σαρκὶ καὶ ἐντεθέντα, ἐλελίσφακος καταπασθῆ, ὀπὸς σιλφίου μετὰ χαλκάνθου ἢ ἰοῦ. Κυνεία λευκὴ ὄξει λειωθεῖσα καὶ ἐγχυματιζομένη ἢ καταχριομένη ποιεῖ ἄκρως. Προσέτι δὲ τῶν καυστικῶν ἐστι καὶ τοῦτο. Ἀσϐέστου ζώσης ∠βʹ, χαλκίτεως ∠αʹ, τρυγὸς κεκαυμένης ∠αʹ, νίτρου ∠αʹ. Μετὰ σπακτῆς κονίας πτερῷ διάχριε.

ιγʹ. Πρὸς αἰγίλωπας.

Αἰγίλωπας ἰᾶται ἐπὶ ὧν μὴ διὰ βάθους τὸ ὀστέον ἔφθαρται μασηθέντα καὶ ἐπιτιθέμενα ἀρνογλώσσου φύλλα, ἢ ἀνθεμίδος, ἢ μαλάχης σὺν χολῇ ταυρείᾳ. Ποιεῖ ἄριστα σμύρνα οἴνῳ λειωθεῖσα χυλώδης ὡς κολλύριον, ἢ χυλὸς αἰγίλωπος τοῦ ἐν τῷ σίτῳ, ἐπάνω τιθεμένων ὀθονίων ξηρῶν. Ἀλλασσέσθω δὲ ἕκαστον τρὶς τῆς ἡμέρας. Ποιεῖ δὲ καὶ μαλάχης φύλλα μετὰ ἅλατος μασηθέντα. Ὅταν δὲ ἀναστομωθῇ, μόνα τὰ φύλλα ποιεῖ ἄχρις ἀπουλώσεως.

ιδʹ. Πταρμικά.

Ἐλλέϐορος λευκὸς, ἢ καστόριον, ἢ πέπερι, ἢ στρούθιον, ἢ ὁμοῦ πάντα· οὐ χρὴ δὲ ἐμφυσᾷν, ἀλλὰ πτερῷ διαχρίειν ὡς ἐσωτάτω τῆς ῥινός. — Πλεονάζοντας πταρμοὺς παῦσαι.] Ἐγχυμάτιζε ῥόδινον, ἢ νάρδινον, ἢ γλυκὺ ἔλαιον· ὀσφραντὰ δὲ παύει πταρμὸν ἄνισον, ἢ ὤκιμον.

ιεʹ. Αἱμοῤῥαγίας ῥινός.

Χαλκῖτιν λεάνας ἀνάλαϐε ἐλλυχνίῳ δεδευμένῳ ὕδατι, ἢ πριαπίσκῳ, καὶ ἐντίθει τοῖς μυκτῆρσιν· ἢ ᾠοῦ ὄστρακον καύσας μίσγε αὐτῷ κηκῖδος τὸ ἥμισυ καὶ ὡσαύτως χρῶ· ἢ λυκίῳ ἰνδικῷ διάψα· ἢ ὀνίδα καύσας τὴν σποδὸν ἐμφύσα· ἢ χυλίσας τὴν ὀνίδα ἔνσταζε τὸν χυλόν· ἢ μυλίτου λίθου ἐκ πυρᾶς σϐεσθέντος ὄξει τὴν ἀτμίδα ὀσφραινέσθω· τὰ δὲ ὦτα ἐμφρασσέσθω καὶ τὸ μέτωπον ἔμϐρεχε σπόγγοις ἐξ ὕδατος ψυχροῦ· ἁρμόζει δὲ καὶ διασφίγγειν τὰ ἄκρα ἀποδεσμῷ καὶ σικύαν τῷ ἰνίῳ κολλᾷν μετὰ αἵματος ἀφαιρέσεως· ἔστιν ὅτε καὶ φλεϐοτομεῖν καὶ ὀξυπαγῆ δὲ τῷ μετώπῳ ἐπιχρίειν.—Ἄλλο ἄκρως ποιοῦν.] Ῥοδοειδοῦς σκεύασμα. [Ῥοϊδαρίου καὶ] ὤχρας τὸ ἴσον ἀνεὶς ἔνσταζε εἰς τὸ ἀντικείμενον οὖς.

Ch. 15, l. 21, αὐτῷ Paul.; αὐτό X. — 24. ἔμϐρεχε Paul.; ευχε X. — 27. [Ῥοϊδαρίου καί] ex Aët. lat.; ῥόδου δαρίου καί Aët. gr.; om. X.

ιϛʹ. Πρὸς τὰ ἐν σ7όματι αἱμασσόμενα οὖλα.

Σχισ7ῆς ∠ηʹ, λιβάνου καὶ μασ7ίχης ἀνὰ ∠δʹ, πεπέρεως ∠αʹ. Ἀναλαβὼν ἔμπασσε. — Πρὸς τὰ αἱμασσόμενα καὶ ῥευματιζόμενα οὖλα.] Ὠμοτάριχον ἐν χύτρᾳ καύσας λείου τὴν σποδιὰν καὶ παράπ7ου. — Ἄλλο.] Σχισ7ῆς καὶ βαλαυσ7ίου καὶ σμύρνης ἀνὰ ∠βʹ, κηκῖδος ∠αʹ, πεπέρεως ϛʺ. Χρῶ.

ιζʹ. Πρὸς παρουλίδας.

Παρουλίς ἐσ7ι φλεγμονὴ περί τι μέρος τῶν οὔλων ἥ τις μὴ λυθεῖσα ἐκπυΐσκεται, ποτὲ δὲ φλεβοτόμῳ διαιρεθεῖσα διασ7έλλεται μότῳ, ἢ ξύσματι ὀθόνης. Χρῶ δὲ οὕτω ξηρῷ· θείου ἀπύρου, πεπέρεως, σ7υπ7ηρίας σχισ7ῆς ἴσα.

ιηʹ. Πρὸς τὰς τῶν οὔλων διαβρώσεις καὶ πλάδους.

Γάλα ὄνειον, ἢ κοινὸν ἤτοι αἴγειον, ἐλαίας φύλλων ἀφέψημα, πλατάνου φύλλων ἐν ὄξει ἡψημένων· ξηρὰ δὲ προσαπ7όμενα ἰὸς σιδήρου, κύτινοι. — Πρὸς ἐπουλίδας.] Ἐπουλίς ἐσ7ιν ἀπὸ φλεγμονῆς ὑπερσάρκωμα κατὰ τὸν ἐσώτατον γόμφιον, ἔσ7ιν ὅτε μετὰ πυρετοῦ καὶ ὀδύνης· χρείαν οὖν ἔχει κατασ7ολῆς. Χρησ7έον τοίνυν ἰῷ ξυσ7ῷ κατ' αὐτὸν ἢ μετὰ κηκῖδος, ἢ σώρει κεκαυμένῳ, ἢ σ7υπ7ηρίᾳ πάσῃ, ἢ λεπίδι χαλκῇ κατ' αὐτήν, ἢ μετὰ ὄξους λειωθείσῃ ἐπὶ ἱκανὰς ἡμέρας καὶ ξηρανθείσῃ.

ιθʹ. Πρὸς παρισθμίων φλεγμονὴν ἢ διὰ μόρων.

Μόρων χυλὸς κο. ιβʹ. Ἕψε ἕως παχυνθῇ· εἶτα προσλαμβάνει οἴνου αὐσ7ηροῦ ξ αʹ καὶ γλυκέος κρητικοῦ, ὃν ἡμεῖς σ7αφιδίτην καλοῦμεν ἐπιχωρίως, ξ αʹ, μέλιτος ξ αʹ, σμύρνης ∠δʹ, κρόκου, ὀμφακίου, σχισ7ῆς ἀνὰ ∠βʹ. Ἕψε ἕως συσ7άσεως. — Περὶ φλεγμονῆς ἐν παρισθμίοις καὶ κιονίδι.] Εἰ μὲν ἐν πυρετῷ φλεγμαίνοι παρίσθμια καὶ κιονίς, ἀναγαργαρίσματα ἁρμόζει διὰ ἀφεψήματος πιτύρων, ἢ ῥόδων, ἢ φοινίκων, ἢ φακῆς· ἐνδούσης δὲ τῆς φλεγμονῆς ἢ ἀκμαζούσης μικτέον αὐτοῖς τὸ μέλι ὃ ἐν ἀρχαῖς οὐ δεῖ ποιεῖν, οὐδὲ ἐν ἐπιδόσεσιν, ὡς μὴ τῇ δριμύτητι ἐφέλκεσθαι ῥεύματα. Εἰ δὲ ἐκπυηθέντα ῥαγείη, γαργαρισ7έον μελικράτῳ μετὰ φακοῦ ἀφεψήματος, ἢ ῥόδων, ἐπιμένοντας μέχρι παντελοῦς λύσεως. Ἢ σ7οματικὴν διαλύειν καὶ διδόναι γαργαρίζειν. — Πρὸς τὰ ἐν παρισθμίοις λοιμικὰ ἕλκη.] Χρησ7έον τοῖς προγεγραμμένοις, ἰδίως δὲ τῇ τε διὰ μόρων μετὰ ὕδατος θερμοῦ. Ἢ ὑδρόμελι ἔχον ἄνθος ῥόδων, ἢ κόσ7ον, ἢ ῥοῦν, ἢ ῥᾶ

Cʜ. 16, l. 2. Ὠμοτάριχον Paul.; Ὠμὸν τάριχον X. — 4. πέπερ X, et sic sæpius. — Cʜ. 18, l. 8. Post ὄνειον, supple ex Aët. et Paul. θερμὸν διακλυζόμενον. — 12. καθαυτῷ X. — 13. λειωθείσης..... ξηρανθείσης X. — Cʜ. 19, l. 19. παρακμαζούσης Aët. — 22. διαλύειν] διάκλυσιν Paul. — 23. τῇ ex me.; τήν X.

ξηρὸν ἐμπασσόμενον. Πειρᾶσθαι δὲ μηδὲ ὅλως χειραπ7εῖν ἢ εὐαφῶς πάνυ παράπ7εσθαι. Ὤνησε δὲ καὶ ὁ ἀνδρώνειος τροχίσκος, μετὰ δὲ τοὺς ἐρεθισμοὺς τούτῳ γαργαρίζειν· γλυκείᾳ ῥίζῃ διεμένῃ.

κ'. Πρὸς ἄφθας.

Κηκίδων ἀφέψημα καὶ μέλιτος τὸ ἴσον ἕψε ἕως μελιτώδους συσ7άσεως καὶ μετὰ πάσης πρᾳότητος διάτριβε. — Ἄλλο. Ποιεῖ καὶ πρὸς τὸν λεγόμενον βάτραχον.] Ἰοῦ ξυσ7οῦ, κηκῖδος, λεπίδος χαλκοῦ, χαλκίτεως ἴσα. Παράπ7ου. Ἔσ7ι δὲ σὺν γλυκεῖ καὶ διάκλυσμα.

κα'. Πρὸς ἀντιάδας.

Κηκῖδος ∠η', μίσυος ∠β', ἁλῶν ὀπτῶν ∠β'· ξηρῷ χρῶ. — Ἄλλο.] Ὀμφακίῳ ξηρῷ λείῳ παράπ7ου. — Τὸ Μούσα ἰατρεῖον πρὸς τὰ ἐν σ7όματι.] Σχισ7ῆς, ἀλόης, σμύρνης, χαλκάνθου ἀνὰ ∠ς', κυτίνων ∠δ', κρόκου ∠γ'. Ἔνιοι καὶ κροκόμαγμα ∠β'. Εἰ δὲ μὴ παρείη κροκόμαγμα, κρόκου ἄλλας ∠β', καὶ σμύρνης ἄλλην ∠α'. Λεῖου σὺν οἰνομέλιτι καὶ χρῶ οὕτως.

κβ'. Πρὸς βάτραχον ὑπογλώσσιον.

Μίσυος, ἰοῦ ξυσ7οῦ ἴσα ξηρά· διάτριβε τοὺς ὑπὸ τὴν γλῶσσαν τόπους. Τῶν δὲ τελείων προδιαίρει τὰς ὑπὸ τῆς γλώσσης φλέϐας, κατὰ δὲ τοῦ ἀνθερεῶνος χρησ7έον τῇ ἀνθηρᾷ, ἢ τῷ σφαιρίῳ, ἢ τῷ διὰ ᾠῶν παρύγρῳ.

κγ'. Στοματικὴ διάχρισ7ος.

Ὄμφακος ἤδη διαυγάζοντος λευκῆς σ7αφυλῆς χυλοῦ κο. α', μέλιτος κο. α'. Ἑψήσας πρᾴως κάταγε εἰς ποσὸν πάχος, εἶτα μίξας σμύρνης, κασίας, ὀμφακίου, κρόκου ἀνὰ ∠β', πάλιν ἕψε ὡς σύσ7ασιν διαχρίσ7ου λαϐεῖν.

κδ'. Στοματικὴ ἀνθηρὰ πρὸς πάντα.

Κυπέρου ∠η', σμύρνης, κροκομάγματος, σχισ7ῆς, ἴρεως ἀνὰ ∠β', σανδαράκης ∠γ', κρόκου ∠α'. Πάντα λεῖα μίξας χρῶ. — Τροχίσκος ὁ ἀνδρώνειος πρὸς κιονίδα.] Κυτίνων ῥοᾶς, ἀρισ7ολοχίας ἀνὰ ∠θ', κηκίδων ∠δ' ἢ η', ἀλόης ∠δ', λιϐάνου, σχισ7ῆς, χαλκάνθου ἀνὰ ∠δ', σμύρνης ∠β'. Λεῖου διὰ γλυκέος καὶ χρῶ διὰ γλυκέος. — Ὀδόν-

2. Ὤνησε Paul.; ὠνήσει X. — Ib. τοὺς ἐρεθισμοὺς Aët., Paul.; τοῦ ἐρεθισμοῦ X. — Ch. 22, l. 14. προδίαιρε X; προδιαιρεῖν Paul.; δίελε Aëtius. — Ib. τῆς γλώσσης Paul.; τὴν γλῶσσαν X. — 15. ἀνθηρᾷ Paul.; ἀθηρᾷ X.

των σμήγματα.] Ἀριστολοχίας ῥίζης, ἐλαφείου κέρατος κεκαυμένου, μαστίχης ὀλίγου. ἑνώσας χρῶ. — Πρὸς βρώματα ὀδόντων.] Βρώματι ὀδόντων ἐντίθει στύρακα ἀναλαβὼν εὐφορβίῳ, ἢ πέπερι μετὰ χαλβάνης, ἢ τὸ ἐντὸς τῆς κηκῖδος μετὰ μέλιτος, ἢ ὀποπάνακα, ἢ ὀπὸν σιλφίου, ἢ τὴν διὰ δύο πεπέρεων, ἢ τὴν φιλώνειον, ἢ θεῖον ἄπυρον μετὰ ἴσου πεπέρεως· ἐγὼ δὲ μᾶλλον πύρεθρον, ἢ σταφίδα ἀγρίαν ἐνθεῖναι προέκρινα μετὰ κατοχῆς. — Πρὸς ὀζοστόμους.] Ἁλὸς ἀμμωνιακοῦ, ἴρεως, κυπέρου ἴσα· διατρίψας ἐπὶ ἱκανὸν τὰ οὖλα διακλυζέσθω οἴνῳ εὐώδει.

κε'. Πρὸς χείλη ἐῤῥωγότα.

Ἀμόργῃ ἑφθῇ διάχριε· ποιεῖ γὰρ τὸ δέον τάχιστα. Ἤδη δὲ καὶ τοῦτο ὠφελεῖ· στέατος χηνείου, μέλιτος, τερεβινθίνης ἴσα, ῥόδων ἄνθους, ὑσσώπου, ῥοδίνου ἀνὰ βραχύ.

κϛ'. Διάχρισμα ἀποφλεγματίζον.

Ὀριγάνου, σινάπεως, ὑσσώπου, πεπέρεως, θύμου, πυρέθρου ἴσα. Κόψας καὶ σήσας μέλιτι φυρῶν διάχριε τὴν ὑπερῴαν· ὕστερον δὲ καὶ τὰ παρίσθμια νάπυος διπλοῦν.

κζ'. Πρὸς [κό]ρυζαν, κατασταγμὸν καὶ κατάῤῥους.

Ἴρινον μύρον ἔνσταζε ταῖς ῥισίν. Ἀφλέγμαντον ἐπιτιθέναι κατὰ τοῦ μετώπου, οἷον τὴν Ἱκεσίου, ἢ τὴν ὀξηρὰν, ἢ τὴν Ἀθηνᾶν, ἢ τὴν βάρβαρον· ἐπιχρίειν δὲ ἔνδοθεν τοὺς μυκτῆρας λιβανωτῷ καὶ σμύρνῃ συλλελειασμένοις μετὰ οἴνου καὶ ἐλαίου ὡς ἔχειν πάχος μέλιτος. Ἢ μελάνθιον κεκομμένον ἐν ὀθονίῳ ἀποδεθὲν ὀσφραινέσθωσαν, ἢ πέπερι, ἢ κύμινον· γαργαριζέσθωσαν δὲ σκυβελίτην θερμὸν, ἢ πρότροπον. Τὸ διὰ ὑσσώπου καὶ σύκων καὶ στροβίλων ἀφέψημα μετὰ ἴρεως ῥοφείτωσαν. — Ἄλλο πρὸς κατάῤῥουν.] Στύρακος ∠δ', σμύρνης, ὀπίου, χαλβάνης ἀνὰ ∠α'. Γλυκεῖ ἀναλαβὼν ποίει ὀροβιαῖα καταπότια καὶ δίδου εἰς κοίτην β' ἢ γ' ἢ δ', καὶ ἐπιῤῥοφείτω γλυκέος κεκραμένου κο. β'. — Ἄλλο.] Ὁρμίνου σπέρματος, μήκωνος μελαίνης σπέρματος, λινοσπέρμου πεφωγμένου ἴσα μέλιτι ἑφθῷ ἀναλαβὼν δίδου νήστει διαμασᾶσθαι.

κη'. Ἀρτηριακή.

Πρὸς τραχύτητα βρόγχου καὶ βῆχα διαίμους τε πτύσεις. Ἀμύγδαλα πικρὰ λελεπισμένα κε', λινοσπέρμου πεφωγμένου ∠δ', τραγακάνθης ∠β', στροβίλων κόκκοι λ', ᾠοῦ ὠπτημένου τὴν λέκιθον. Ἡ τραγάκανθα ὕδατι βρέχεται, τὸ δὲ ὅλον γλυκεῖ ἀναλαμβάνεται. Εἰ δὲ ἡ φωνὴ ἐγκέκοπται, μέλιτι μῖξον ἀντὶ γλυκέος, μάλιστα ἐπὶ ὧν

1. ὀλίγου ex em; ὀλίγης X. — Ch. 26, l. 15. Ἀθηνᾶν Aët., Paul.; ἀθηρᾶν X.

ἀναχθῆναί τι δεῖ. — Ἡ διὰ κωδυῶν ποικίλη.] Κωδύας μήκωνος χρονίας ρκ' βάλε εἰς ὕδατος ξεστία γ', καὶ ἔασον βραχῆναι ἡμέρας γ' καὶ ἑψήσας ὡς λειφθῆναι τὸ τρίτον, τὰς μὲν κωδύας ῥίψον, τῷ δὲ ὕδατι μῖξον μέλιτος ξ α', καὶ ἑψήσας ἕως μελιτώδους συστάσεως πρὸς τῷ ἐπαίρειν ἔμπασον κρόκου, σμύρνης, ἀκακίας, ὑποκιστίδος χυλοῦ ἀνὰ ∠α'. Δίδου εἰς ὕπνον ἔκλειγμα. — Ἄλλο.] Στέατος ὀρνιθείου προσφάτου ∠γ's'', μέλιτος κο. α'. Ἕψε κινῶν πηγάνου κλωνίοις ἕως συστῇ. Δίδου δὲ νήστεσι, καὶ μετὰ τροφὴν, καὶ εἰς νύκτα.

κθ'. Περὶ βηχός.

Ἡ βὴξ ῥευματισμός ἐστιν ἀρτηρίας τραχείας καὶ θώρακος· ἐὰν δὲ χρονίσῃ, καὶ πνεύμονος. Ἁρμόζει δὲ καταῤῥοφεῖν ἐπὶ αὐτῇ τὸ διὰ ὑσσώπου καὶ ἴρεως καὶ στροβίλων ἀφέψημα συνεχῶς. — Ἄλλο τὸ διὰ στύρακος.] Ἀμώμου, κασίας ἀνὰ Γο β', στύρακος Γο α's'', ναρδοστάχυος Γο α's'', κρόκου Γο α', πεπέρεως λευκοῦ ∠α', μέλιτος ξ α'. Δίδου κοχλιάριον. — Ἄλλο βηχικὸν πραΰτερον.] Μέλιτος Γο γ', βουτύρου προσφάτου Γο γ', κυμίνου ∠γ', λινοσπέρμου ∠β'. Προαπαφρίσας τὸ μέλι μίγνυε τὸ βούτυρον μετὰ τῶν λοιπῶν καὶ πάλιν ἕψε ὁμοῦ. — Βῆχα ξηρόν.] Βῆχα ξηρὸν ἴᾶται ὕδατος ζέοντος καταῤῥόφησις· διὰ παχύτητα γὰρ φλέγματος μὴ ἀνάγοντες τοῖς ὑγραίνουσι ποσῶς βοηθοῦνται. — Πρὸς βῆχας καὶ φθίσεις ἰσόσταθμος.] Φύλλου, πετροσελίνου, ὑσσώπου, ῥόδων ξηρῶν, ἀνίσου, ὀπίου, κρόκου, κόστου, ὑοσκυάμου σπέρματος, σμύρνης τρωγλοδύτιδος, ναρδοστάχυος, ἴρεως ἀνὰ ∠α', μέλιτος τὸ ἀρκοῦν. Ἡ δόσις κυάμου μέγεθος εἰς νύκτα.

λ'. Δυσπνοϊκοῖς, ἀσθματικοῖς, ὀρθοπνοϊκοῖς.

Κατάπλασμα διὰ σύκων καὶ αἰρίνου ἀλεύρου καὶ κριθίνου ἔχον καὶ ῥητίνην καὶ κηρὸν καὶ μέλι· ἐμπασσέσθω δὲ αὐτῷ καὶ ἶρις καὶ μάννα. Οὐκ ἄχρηστος δὲ καὶ ὠμήλυσις μετὰ ῥητίνης καὶ κηροῦ καὶ ἴρεως καὶ μάννης. Ἀσθματικοῖς πόμα δίδοται πολίου, ἀβροτόνου, καστορίου, χαμαιπίτυος, ἀμμωνιακοῦ θυμιάματος ἴσα. Μέλιτι ἀναλαβὼν δίδου κυάμῳ ἴσον. Ἔδοσάν τινες ἀφρονίτρου κοχλιάριον α' ἐν τρισὶ κυάθοις μελικράτου. Καστορίου, πεπέρεως, ἀμμωνιακοῦ θυμιάματος, ἀφρονίτρου ἴσα. Δίδου ἐν μελικράτῳ ∠α'. — Ἄλλο.] Καστορίου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ∠η', πεπέρεως κόκκους μ'. Γλυκεῖ ἀναλαβὼν δίδου κυάμῳ ἴσον σὺν μελικράτῳ κυάθοις γ'. — Ἄλλο.] Σκίλλης ὀπτῆς Γο ς', στρουθίου Γο β', μέλιτος ℔ α'. Δίδου μύστρου πλῆθος νήστει ἐκλείχειν. — Ἄλλο δυσπνοϊκοῖς.] Σινάπεως ∠α', νίτρου ἀφροῦ ∠γ', ἐλατηρίου ἡμιωβόλιον. Λεάνας ὕδατι πλάσσε τὸ πᾶν εἰς καταπότια, δίδου δὲ β' ἐπὶ ἡμέρας β' πρωῒ καὶ δείλης· καθαίρονται γὰρ ἀλύπως. Καὶ ἐν παροξυσμῷ μὲν δοθὲν δυσπνοοῦσιν αὕτη καταπαύει τὴν

4. τό X. — Ib. ἔμπλασον X. — 5. ἔκλειγμα Aët.; ἔλιγμα X, et sic fere semper. — Ch. 30, l. 20. αἰρίνου ex em.; ἐρίνου Aët.; ἱρίνου X, Paul. — 21. ἐμπασσέσθω Aët., Paul.; ἐμπλ. X. — Ib. μάννη X 2e m. — 24 et 27. κυάμου X. — 31. αὐτή X.

διάθεσιν, ἐξ ἐπιμονῆς δὲ καὶ λύει διδόμενον παρὰ δυσὶν ἡμέραις τοῖς ἰσχυροτέροις. Ἐπὶ δὲ τῶν πνιγομένων δίδου ἀφρονίτρου ∠γ' μετὰ ὑδρομέλιτος κυ. γ'. Καὶ μετὰ καρδάμου ἐνίοτε ἢ καρδαμώμου παραχρῆμα βοηθεῖ. Ποιεῖ ἡ δύναμις καὶ ἐπὶ ἰσχιαδικῶν. Ἀψινθίου, θείου ἀπύρου ἴσα. Κόψας καὶ ἐκλεάνας δίδου μετὰ μέλιτος.

λα'. Περὶ αἱμοπτοϊκῶν.

Αἱμοπτοϊκοῖς δίδοται χυλὸς πρόσφατος πολυγόνου, ἢ ἀρνογλώσσου, ἢ βάτου, ἢ κηκίδων, ἢ ὠκίμου, ἢ ἡδυόσμου κατὰ ἰδίαν μετὰ ὄξους βραχέος. Ἢ ῥᾶ ποντικὸν λεῖον ἐμπάσσειν τῷ ποτῷ, ἢ σάμιον ἀστέρα, ἢ λημνίαν σφραγίδα μετὰ τοῦ σαμίου, ἢ κοράλλιον, ἢ ἐλαίας ἡψημένης χυλὸν, ἢ ἀκακίαν, ἢ ὑποκιστίδα, ἢ βαλαύστιον, ἢ πράσιον, ἢ ῥοῦν, ἢ κηκῖδα λείαν, ἢ ἐρυθρόδανον, ἢ κόμμι, ἢ τραγάκανθαν μετὰ μήκωνος μελαίνης, ἢ πυτίαν λαγωοῦ, ἢ ἐλαφείαν, ἢ μοσχείαν, ἢ πράσου σπέρμα ὅσον τοῖς τρισὶ δακτύλοις κατασχεῖν μετὰ ἴσου μήκωνος σπέρματος, ἢ ὄμφακος ξηροῦ κοχλιάριον. — Τροχίσκος ὁ διὰ κοραλλίου.] Λιβάνου ἄῤῥενος ∠η', γῆς σαμίας, βαλαυστίων, κοραλλίου ἀνὰ ∠δ', ἀμύλου, λημνίας σφραγίδος ἀνὰ ∠β', ὀπίου, ὑοσκυάμου σπέρματος ἀνὰ ∠α'. Ἀναλάμβανε χυλῷ ἀρνογλώσσου. — Αἱμοπτοϊκοῖς.] Κοραλλίου, σαμίου ἀστέρος ἴσα. Δίδου κοχλιάρια γ' μετὰ ὀξυκράτου κυάθους γ' κατὰ μέρος. — Ἡ διὰ ἰτεῶν.] Κηροῦ, πιτυΐνης, πίσσης, ἀσφάλτου ἀνὰ ℔α', μελαντηρίας, χαλκίτεως, χαλκάνθου, μίσυος, ψιμυθίου, κηκίδων, ἰοῦ ξυστοῦ, κυτίνων, ῥοὸς, σχιστῆς στυπτηρίας καὶ στρογγύλης ἀνὰ Γο γ', λεπίδος Γο γ', ὄξους κο. ϛ', ἐλαίου τὸ ἀρκοῦν, ἰτέας φύλλων ἁπαλῶν ℔ α'. Ἑψήσας ἐν ὄξει τὰ φύλλα καὶ ἐκθλίψας ῥίψον καὶ λείου τὰ ξηρὰ ἐν αὐτῷ ἕως ὅλον ἀναλωθῇ, εἶτα ἐπίϐαλλε τὰ τηκτὰ ἐν τῇ θυίᾳ· ἐπιτίθει δὲ τοῖς αἱμοπτοϊκοῖς κατὰ τοῦ θώρακος καὶ τῶν μεταφρένων· ἔτι δὲ καὶ ἐνάρθροις καὶ πρὸς παλαιὰ ἕλκη καὶ καταγματικὰ, πρός τε κεφαλαλγίας, ὀφθαλμῶν ῥευματισμόν. Ἔστι δὲ καὶ ἔμμοτος ἀγαθὴ, τὸ δὲ ὅλον ξηραντικὴ καθέστηκεν. — Ἡ διὰ αἱρῶν ἀναξηραντικὴ ποιοῦσα καὶ πρὸς σπλῆνα καὶ χοιράδας μαλάσσουσα.] Πίσσης ℔β', κηροῦ Γο η', τερεϐινθίνης ἢ πιτυΐνης Γο θ', ἀσφάλτου Γο β', αἱρίνου ἀλεύρου ξ α' ὅ ἐστιν Γο ιδ', ἐλαίου παλαιοῦ Γο ε', οἴνου ὀλίγον.

λβ'. Πρὸς φθισικούς.

Φθισικοῖς ἔκλειγμα.] Μέλιτος ἀττικοῦ ℔ α', φοινίκων Γο δ', σταφίδων λιπαρῶν Γο β', στύρακος Γο α', κρόκου, ἴρεως, ὑοσκυάμου σπέρματος, τραγακάνθης ἀνὰ ∠δ', στροϐίλων ∠ϛ', ἀμύλου Γο α' s''. — Ἄλλο.] Μέλιτος ξ α', οἴνου σκυϐελίτου ξ α'. Ἕψεται ὁμοῦ μέχρι συστάσεως κινούμενον γλυκυῤῥίζης κλάδῳ, εἶτα μίγνυται σμύρνης ὀϐολὸς, κρόκου ὀϐολοὶ δύο. Δίδοται νήστει κοχλιάρια β'. — Ἄλλο κάλλιστον.] Σκίλλαν ὀπτήσας ἕως ἀνθρακώσεως τῶν ἔξω λεπισμάτων, εἶτα τὸ ἐγκάρδιον αὐτῆς λείου μιγνὺς τῷ ἐγκαρδίῳ αὐτῆς μέλιτος μέρη ϛ'. Δίδου νήστει. — Ἄλλο κάλλιον.] Ὀρόϐινον

Ch. 32, l. 29. ἕψηται X. — 32-33. λειοῦν μιγνύντα τὸ ἐγκάρδιον αὐτῆς X.

ἄλευρον χυλῷ σκίλλης ἀναλαβὼν ξήραινε, ἐν δὲ τῇ χρήσει κόψας τοὺς ἀρτίσκους μέλιτι μιγνὺς πρόσφερε νήσΊει. — Ἄλλο.] Βουτύρου προσφάτου, τερεβινθίνης, μέλιτος ἴσα. Δίδου νήσΊει. — Ἄλλο.] Ὀρόβου, ἴρεως, γλυκυῤῥίζης, ἀμυγδάλων πικρῶν ἴσα. Μέλιτι ἀναλαβὼν δίδου. Ἡ διὰ κωδυῶν μετὰ τροφὴν δίδοσθαι ἁρμόζει, ἀναγέγραπΊαι δὲ ἐν τοῖς πρὸς κατάῤῥουν. — Ἡ διὰ πρασίου.] Πρασίου κόμης λ α' ἕψεται ἐν ὕδατος κυάθοις ϛ', καὶ ὅταν δὴ τὸ τρίτον λειφθῇ τοῦ ὕδατος, μίγνυε αὐτῷ μέλιτος ξ α', καὶ ἕψε ἕως μελιτώδους συσΊάσεως. Ἡ δόσις κοχλιάρια β' ἢ γ'. Ποιεῖ δὲ ἐπὶ τῶν φθισικῶν καλῶς πολλὰ τῶν ἐν τοῖς βηχικοῖς καὶ πρὸς κατάῤῥους ἀναγεγραμμένα.

λγ'. Περὶ ἐμπυϊκῶν.

Ἐμπυϊκοὶ καλοῦνται οἷς ἂν ἀπόσΊημα γενόμενον ἐν τῷ ὑπεζωκότι τὰς πλευρὰς ὑμένι συῤῥαγῇ· κοινότερον δὲ καὶ οἷς ἀπὸ ἄλλου τινὸς μέρους τοῦ θώρακος ἀναφορὰ ὑγροῦ γίνοιτο ἐκ συῤῥήξεως ἀποσΊήματος. Τοῖς οὖν ἀνάγουσι πύον ἁρμόζει ἃ καὶ τοῖς φθισικοῖς, καὶ μάλισΊα τὸ διὰ ὀρόβων. Ἔκλειγμα ἀνακαθαῖρον ἐμπυϊκούς. Καρδαμώμου ∠η', σαγαπηνοῦ ∠δ', σμύρνης ∠α', κασΊορίου ∠β', ὀπίου ∠β', πεπέρεως λευκοῦ ∠α'. Ἐν ὕδατι πλάσσε τροχίσκους ἄγοντας ∠γ', καὶ δίδου ἕνα μετὰ ὕδατος. — Τὸ διὰ ὀρόβου.] Ὀρόβου πεφωγμένου καὶ ἐρηριγμένου ∠η', κωναρίων ∠η', ἀμύλου ∠η', πεπέρεως ∠δ', πηγάνου χυλοῦ ∠α', μέλιτος ἀπέφθου. Κοινότερον δὲ ἁρμόζει τὰ ἐπὶ τῶν φθισικῶν. — Τὸ μέγα διὰ πρασίου.] ΝαρδοσΊάχυος Γο α', πεπέρεως λευκοῦ Γο α', πρασίου χυλοῦ Γο α', μέλιτος ξ α', οἴνου ἀμιναίου ξ α'. Τὸν χυλὸν σὺν τῷ οἴνῳ καὶ τῷ μέλιτι ἕψε καὶ σύσΊασιν ἔχοντι ἐπίπασσε τὰ ξηρὰ λεῖα.

λδ'. Πρὸς περιπλευμονικούς.

ΠροποτισΊέον τοὺς περιπλευμονικοὺς σύκων ἀφεψήματι μετὰ ὑσσώπου, ἢ ἴρεως ἀφεψήματι, ἢ μελικράτῳ ἴριδος λείας ἐμπασσομένης· ἔσΊω δὲ τῆς ἴρεως κοχλιάρια β'. Ἐπιτιθέναι δὲ κατὰ ὅλου τοῦ θώρακος καὶ τῶν πλευρῶν κυπρίνην κηρωτὴν ἔχουσαν ἴρεως ἐμπεπασμένην, ἢ κηρωτὴν διὰ πηγανίνου ἐλαίου καὶ ἴρεως ξηρᾶς, ἢ τὸ διὰ κηροῦ καὶ ῥητίνης, μυελοῦ τε καὶ βουτύρου καὶ ὑσσώπου καὶ ἴρεως ξηρᾶς καὶ ναρδίνου μύρου ἴσων.

λε' Περὶ πλευρίτιδος.

Πλευρῖτίς ἐσΊι πυρετὸς ὀξὺς καὶ συνεχὴς ἐπὶ φλεγμονῇ τοῦ ὑπεζωκότος τὰς πλευρὰς ὑμένος. Ἔξωθεν οὖν ἐπιτίθεται αὐτοῖς ἐν ἀρχαῖς ἔριον ἐλαίῳ πηγανίνῳ βραχὲν, ἢ ἔριον τεθειωμένον ἐμβραχὲν, ἢ ἔριον ἐκ πισσελαίου ἐμπεπασμένου βραχέος θείου·

6. ὕδατι κυάθων X. — Ib. δέ X. — Ch. 33, l. 15. ἠριγμένου X. — Ch. 34, l. 21. μελικράτου ἢ ἴριδι λεία ἐμπασσομένη X. Cf. Aët., Paul. — Ch. 35, l. 28. ἔρειον τὸ ἐσθιόμενον ἐνβραχέν X. — Ib. ἐμπεπλασμένου X.

μετὰ δὲ διατρίτου κατάπλασμα γῦρις μετὰ λινοσπέρμου καὶ μέλιτος καὶ πηγανίνου ἐλαίου· ἔστω δὲ πάνυ κοῦφον καὶ λαγαρόν· ἢ τὸ [διὰ] αἰρίνου ἀλεύρου μετὰ κηροῦ καὶ ἀσφάλτου καὶ μέλιτος καὶ ἐλαίου. Δεῖ δὲ μιγνύειν τοῖς καταπλάσμασι πυρέθρου, ἢ νάπυος, ἢ κάχρυος, ἢ καρδαμώμου. — Ἔνεμα πλευριτικοῖς.] Ἔλαιον πηγάνινον ἔχον τερεβινθίνης καὶ βουτύρου. — Διὰ στόματος.] Διὰ στόματος δὲ ψηφία μέλιτος καθέφθου καταπινέτωσαν. — Ἔκλειγμα.] Ἀμυγδάλων πικρῶν, λινοσπέρμου, στροβιλίων, ἀμύλου ἴσον μετὰ μέλιτος ἀπέφθου. Εἰ δὲ ἀνὰ κύαθον μίξαις, πρόσβαλε πεπέρεως κόκκους λ', σμύρνης ∠β', κρόκου ∠α'. Λείου καὶ ἀναλάμβανε μέλιτι ἀπέφθῳ ℔ α'. Προσθείη δὲ ἄν τις καὶ πεπέρεως κόκκους ιε'. — Ἀντίδοτος πλευριτικὴ ἐπὶ χρονισάντων]. Δαφνίδων ∠η', πηγάνου ἀγρίου σπέρματος ∠η', ἀριστολοχίας μακρᾶς ∠δ', σμύρνης ∠δ', γεντιανῆς ∠δ', μέλιτος ἀπέφθου ℔ α'. Ἡ δόσις καρύου ποντικοῦ τὸ μέγεθος. — Ἄλλη]. Ἑλενίου ∠ις', πηγάνου σπέρματος ∠δ', σμύρνης ∠α', μέλιτος ℔ α'. — Ἐπίθεμα πλευριτικὸν τὸ δυσῶδες]. Πιτυΐνης ℔ α', κηροῦ Γο ς', πηγάνου χλωροῦ Γο ς', κυπρίνου Γο ς', θείου ἀπύρου, ὀποπάνακος, σαγαπηνοῦ ἀνὰ ∠δ'. Ἐγὼ δὲ καὶ χαλβάνης ∠δ'. — Ἄλλο ἐπίθεμα χρονίων ἀλγημάτων πλευρᾶς]. Κηροῦ, πιτυΐνης, πίσσης ἀνὰ ℔ α', δαφνίδων λελεπισμένων ℔ α', ἀμμωνιακοῦ θυμιάματος Γο ς', χαλβάνης Γο δ', πυρέθρου Γο β', νίτρου Γο β', ἰοῦ ξυστοῦ Γο α', εὐφορβίου Γο α', ἐλαίου δαφνίνου Γο α', ἢ κοινοῦ παλαιοτάτου Γο δ'. — Ἀντίδοτος ἀθανασία ἀνώδυνος, πλευριτική]. Κασίας ∠η', νάρδου στάχυος, ἀμώμου, κρόκου, ὀπίου, στύρακος, κόστου, σμύρνης ἀνὰ ∠δ', μέλιτος κόκκον α'.

λς'. Περὶ συνάγχης.

Συνάγχης εἴδη δύο· τὸ μὲν γὰρ ἄνευ φλεγμονῆς ὑποκρύφα συμβαίνει, τὸ δὲ σὺν φλεγμονῇ. Ἐπὶ μὲν οὖν τῶν μετὰ φλεγμονῆς παραλαμβάνειν τὰ πράως στύφοντα γαργαρίσματα, οἷον ἀφέψημα ῥόδων, ἢ φακῆς, ῥοός, ἑλίκων ἀμπέλου, μύξων, ὑδρομέλιτι ῥόδων ἄνθος ἐμπάσσοντα, μόρων χυλὸν σὺν ὑδρομέλιτι, ἀκρέμονας ἀμπέλου ἢ βάτου· εἰ δέ τις ἀναδορὰ γένοιτο, ἄρτου ἀπόβρεγμα θερμὸν, ἢ πυρῶν ἀφέψημα, ἢ ἄμυλον ἀνέντα ὕδατι θερμῷ· εἰ δὲ προσάγοι ἀπόστασις, πιτύρων ἀφέψημά τι μετὰ σύκων καὶ ὑσσώπου ἢ ἀβροτόνου. Εἰ δέ πως ἑλκοῖτο, κροκίον μιγνύειν τῷ μελικράτῳ, ἢ κόστου, ἢ γλυκυῤῥίζης ἀφέψημα· ἐν δὲ παρακμαῖς χυλὸς πτισάνης λεπτός. Διάχριστος δὲ ἡ διὰ μόρων, ἢ ῥοὸς ἀπόβρεγμα κατακόρως κεχρωσμένον τῇ γεύσει ἐμφαῖνον τὴν στύψιν· μετὰ ὑδρομέλιτος δὲ ἀφέψεται ἕως συστάσεως. Ἡ ῥοὸς χυλὸς μέλιτι μίγνυται τριπλασίονι καὶ ἑψηθεὶς ἕως συστάσεως διαχρίεται ἁρμοδίως ἐν παρακμῇ, μάλιστα εἰ καὶ ὑσσώπου ἔχοι· ἐπὶ δὲ τῶν ἄνευ φλεγμονῆς τὰ δριμύτερα, οἷον ὑδρόμελι ἔχον ὑσσώπου ἀφέψημα, ἢ ὀριγάνου, ἢ νᾶπυ χυλωθὲν συνήθως καὶ μιγὲν μελικράτῳ, ἢ ἀφέψημα κασίας, ἢ ἀγαρικοῦ, ἢ γεντιανῆς ἐν μελικράτῳ, σύκων μετὰ ὑσσώπου ἀφέψημα· ἐπανίσταται γὰρ ἡ σὰρξ καὶ καταλαμβάνει τὴν βυθιωτέραν θλίψιν. — Διά-

2. [διά] ex em.; om. X. — Ch. 36, 1. μυξῶν X. — 29. κεχρωσμένον ex em; 21. ὑποκρύφα conj.; ὑπὸ νύκτα X. — 23. χρώμενοι X. Voy. Aët.

χρισμα συνάγχης]. Πίσσα ὑγρὰ μετὰ νίτρου καὶ παλαιοῦ ἐλαίου, ἢ ἀψίνθιον μετὰ νίτρου καὶ μέλιτος, ἢ ἀμμωνιακὸν διειμένον μέλιτι.— Ἀναγαργάρισμα]. Πηγάνου χυλὸς μετὰ γάλακτος, ἢ ὀμφάκιον μετὰ ὑδρομέλιτος, γλυκυῤῥίζης καὶ λευκοΐου σπέρμα ἑψηθέντα σὺν ὑδρομέλιτι, ἢ μετὰ γάρου καὶ μέλιτος τὸ νᾶπυ, ἢ κυκλαμίνου εἰς πολλὰ τμηθείσης ἐν γλυκεῖ τὸ ἀφέψημα διαχρίειν, ἢ ὀπῷ κυρηναϊκῷ διειμένῳ μετὰ ἐλαίου, ἢ τῇ διὰ μόρων σΊοματικῇ διειμένῃ μετὰ ἐλατηρίου.

λξ'. Περὶ ἐπιληψίας.

Τοὺς ἐμπεσόντας εἰς ἐπιληψίαν διαβρέχειν λιπαρῶς τὰ σπώμενα καὶ διασΊρεφόμενα μέρη, διακρατεῖν τε καὶ ἀπευθύνειν, εἶτα διασΊήσαντας τὸ σΊόμα ἐπικαθεῖναι δάκτυλον ἢ πΊερὸν κεχρισμένον ἐλαίῳ πρὸς τὸ κομίσασθαι φλέγμα· τούτου γὰρ ἡ πλησμονὴ, ἅτε γλίσχρα καὶ κολλώδης ὑπάρχουσα, χρόνῳ περὶ τὴν κεφαλὴν ἀθροισθεῖσα τὰ νεῦρα ἀποθλίψασα καὶ μὴ διατρέχειν ἐν αὐτοῖς τὸ ψυχικὸν πνεῦμα ἐναφιεῖσα, τὴν κατάπτωσιν εἰργάσατο. Χρὴ οὖν τοῖς ὀσφραντοῖς τὴν αἴσθησιν ἐρεθίζειν. Δεῖ οὖν πευκεδάνῳ, κυρηναϊκῷ ὀπῷ, ἀσφάλτῳ, κεδρίᾳ, πίσσῃ προσάγειν· μετὰ δὲ τοὺς παροξυσμοὺς, εἰ μηδὲν κωλύοι, φλεβοτομεῖν ἀπὸ ἀγκῶνος. Μηδὲν δὲ ὑπείκοντος τοῦ παροξυσμοῦ, τὰ μὲν ἄκρα σιναπισμῷ καταληπΊέον, σικύαν τε κολλητέον τοῖς ὑποχονδρίοις. Μὴ γενομένης δὲ μηδὲ πρὸς ταῦτα ἀνοχῆς, ὀλιγίσΊη μὲν ἐλπὶς, ὅμως δὲ θαρσαλέως ὁ ἰατρὸς κασΊόριον βιαζόμενος ἐγχείτω, καὶ ὀπὸν κυρηναϊκὸν μετὰ μέλιτος καὶ ὄξους, καὶ διὰ ἕδρας ἐνιέτω κενταυρίου ἀφέψημα ἢ κολοκυνθίδος. Τοὺς δὲ διαναστάντας ἐκ τῆς ἐπιληψίας μετὰ τὴν ἀνάληψιν τῇ διὰ τῆς ἱερᾶς καθάρσει χρησΊέον. Αὕτη μὲν οὖν τίς ἐσΊιν ἡ τῆς προσφάτου καὶ ὀξείας ἐπιληψίας θεραπεία· ἐφεξῆς δὲ ὅσα πρὸς ἀνασκευὴν τῆς κεχρονισμένης παραδώσομεν. Χρὴ τοίνυν τοὺς πάσχοντας ἐν ὑδροποσίᾳ μὲν μακρᾷ συνέχειν, ἐγχειροῦντας δὲ τῇ θεραπείᾳ καὶ φλεβοτομεῖν, εἰ μηδὲν κωλύοι, καὶ διαλιπόντας τέσσαρας ἢ ε' ἡμέρας ἀναλαβεῖν τὸ σωμάτιον καὶ εἶτα οὕτω καθαρτικῷ ὑποκενοῦν, μάλισΊα διὰ ἐλλεβόρου μέλανος ἢ κολοκυνθίδος, εἴτε οὖν καὶ διὰ σκαμμωνίας. Δεῖ δὲ τοῦ μὲν ἐλλεβόρου δίχα τῆς ἐντεριώνης κεκομμένου καὶ σεσησμένου ἐμπάσσεσθαι μελικράτου κυάθοις ε' ἢ ἕξ, ἢ μέλιτι ἀπέφθῳ ἀναλαμβάνειν μετὰ ὀλίγου πεπέρεως. Τῆς δὲ κολοκυνθίδος τὸ σπέρμα ἐκβαλόντας πληροῦν αὐτὴν ἔχουσαν τὴν ἐντεριώνην δεῖ γλυκέος, καὶ ἐᾶν ὅλην τὴν νύκτα, ἕωθεν δὲ κεράσαντα τὸ γλυκὺ διδόναι πιεῖν· μετὰ δὲ τὴν αὐτάρκη κάθαρσιν λούειν μὲν αὐτοὺς, τῇ δὲ τρίτῃ σικυασΊέον ὑποχόνδριά τε καὶ μετάφρενα μετὰ ἀμυχῶν, εἶτα διασΊήσαντας ἱκανὰς ἡμέρας καὶ ἀναλαβόντας τὸ σωμάτιον τῇ διὰ κολοκυνθίδος ἱερᾷ προσάγειν· εἶτα μετὰ τοῦτο σικυασΊέον κεφαλὴν καὶ ἰνίον, τῇ δὲ ἑξῆς καταπλάττειν αὐτὴν ἄρτῳ διειμένῳ μὲν μελικράτῳ, συλλελειωμένῳ δὲ πικροῖς ἀμυγδάλοις, ἢ ἑρπυλλίῳ, ἢ ἡδυόσμῳ, ἢ καλαμίνθῃ, ἢ πηγάνῳ, καὶ τοῦτο ποιητέον ἐπὶ τρεῖς ἡμέρας, μετὰ δὲ ταῦτα ξυράμενον

Ch. 37, l. 9. πΊερὸν κεχρισμένον *Syn.*, Paul.; πΊερῷ κεχρισμένῳ X. — 10. ἅτε ex em.; ὅσα τε X. — 24. εἶτ' οὖν X. — 27. ἐκβαλόντας *Syn.*, Paul.; ἐκβάλλοντας X. — 33. συλλελειωμένῳ Paul.; συλλελιωμένοις X.

τὴν κεφαλὴν καταχρίειν πευκεδάνου ὀπὸν ἐν ὄξει διειμένον· ἢ σπονδύλιον ἐνέψειν· διασ?ήσαντα δὲ πάλιν καὶ ἀναλαβόντα τὸ σωμάτιον διδόναι τῆς διὰ κολοκυνθίδος ἀντιδότου ὀβολοὺς θ' ἐν μελικράτῳ, καὶ διασ?ήσαντα ἡμέρας πάλιν διδόναι τῆς ἀντιδότου ∠γ', εἶτα πλαρμικοῖς χρῆσθαι, καὶ μετὰ πέντε ἢ ι' ἡμέρας καστόριον διδόναι ἐν μελικράτῳ καὶ διαστήσαντα πάλιν κλύζειν τῷ διὰ κενταυρίου καὶ κολοκυνθίδος, εἶτα τὴν ἱερὰν αὖθις διδόναι καὶ ἐφεξῆς ἀποφλεγματισμοῖς χρῆσθαι καὶ ἐῤῥίνοις, εἶτα τῷ σιναπισμῷ χρῆσθαι κατὰ τῆς κεφαλῆς. Δεῖ δὲ καὶ δριμυφαγίαις ἐν καιρῷ χρῆσθαι.

λη'. Περὶ καρδιακῶν.

Πῶς σημειώσῃ καρδιακόν; ὅταν ἐν ὀξεῖ πυρετῷ καὶ καυσώδει σφυγμὸν εὕρω πυκνὸν καὶ ἀμυδρὸν καὶ τῶν ἄκρων κατάψυξιν, καὶ ἱδρῶτας περὶ τὸ πρόσωπον καὶ μέχρι στήθους ψυχροὺς καὶ κολλώδεις, καὶ τὴν ἀποφορὰν τοῦ χρωτὸς γεώδη προσβάλλουσαν, καὶ τοῦ περὶ τὴν καρδίαν σφυγμοῦ σφοδρότητα καὶ μέγεθος καὶ πρὸς τούτοις ἀπορίαν καὶ ἀλυσμόν, τὸν τοιοῦτον καρδιακὸν εἶναι λέγω. Ἀέρος οὖν ψυχροῦ ἐπεισόδῳ καὶ ῥιπισμῷ βοηθητέον, ἀποσπογγιστέον τε τὸ πρόσωπον ὀξυκράτῳ ψυχρῷ, καὶ καταβρογχιζέτωσαν, καὶ ὀσφραντὰ ποικίλα προσφερέσθωσαν, τὰ δὲ ἐπιβόλαια ἀφαιρείσθω, καὶ τὸ ἐπιβεβλημένον δὲ ἔστω κοῦφον καὶ τριβακόν. Ταῦτα καὶ τὰ λοιπὰ τῆς τοιαύτης θεραπείας Γαληνὸς ἐδίδαξεν ἐν τοῖς Περὶ λιποθυμίας θαυμαστῶς Πρὸς Γλαύκωνα· τοῖς δὲ ἐξιδροῦσι μέρεσιν ἐμπαστέον μυρσίνῃ λείᾳ, ἢ κιμωλίᾳ, ἢ οἰνάνθῃ, ἢ ἠλέκτρῳ, μάλιστα θώρακι καὶ τραχήλῳ καὶ μασχάλαις καὶ ὑποχονδρίοις καὶ βουβῶσιν. Ὁμοίως δὲ βοηθεῖ ἐμπασσόμενα σίδια μετὰ μάννης, ἢ κηκὶς κατὰ αὐτήν τε καὶ σὺν ἀσβέστῳ, ἢ σαμία γῆ μετὰ κόμμεως, ἢ τρὺξ οἴνου κεκαυμένη· τὰ δὲ ἄκρα ἤτοι μέχρι γονάτων καὶ ἀγκώνων, ἢ μέχρι μασχαλῶν καὶ βουβώνων καταπαστέον τρυγὶ κεκαυμένῃ, ἢ καὶ ἀσβέστῳ, ἢ πυρέθρῳ, ἢ πεπέρει· ἢ βολβοῖς λείοις καταχριέσθωσαν μετὰ πεπέρεως ἀπὸ βραχιόνων μέχρι δακτύλων, καὶ ἀπὸ μηρῶν ὁμοίως, περιτιθεμένων αὐτοῖς λεπτῶν ταινιδίων. Ἁρμόζει δὲ καὶ νᾶπυ καὶ πύρεθρον, καὶ ἀδάρκη. Τροφαὶ δὲ ἄρτος ἐξ ὕδατος ψυχροῦ ἢ ἐξ οἴνου καὶ ὕδατος κεκραμένου, πόδες ὕειοι, ἀγκύλαι, ῥύγχη, πτηνά, ψυχρὰ δὲ καὶ ταῦτα προσφερέσθω. Τῇ δὲ κεφαλῇ καὶ μετώπῳ μηδὲν ἐμπάσσειν, ἀλλὰ ἐπιχρίειν ἀκακίαν μετὰ κόμμεως διὰ ἀφεψήματος ῥόδων χυλοῦ ἐπιχριομένην. Κατάπλασμα τοῖς ὑποχονδρίοις διὰ φοινίκων, μήλων καὶ ῥόδων καὶ οἰνάνθης, ἀκακίας, ὑποκιστίδος καὶ στυπτηρίας. Εἰ δέοι ποτὲ κλυστῆρος, ἀφέψημα λινοσπέρμου καὶ πτισάνης καὶ ἁλὸς συμμέτρου καὶ μέλιτος, ἢ ὕδωρ κατὰ αὐτό, ἢ ὑδρόμελι, ἢ ὑδρέλαιον.

λθ'. Πρὸς ἀτονίαν καὶ ἀνορεξίαν στομάχου.

Ἀνορεξίας οὔσης καὶ ἀτονίας ἐν στομάχῳ, ὀσφραντὰ δεῖ προσάγειν ἤλεκτρον, ἡδύοσμον, γλήχωνα, ὕσσωπον, καταπλάσσειν δὲ τὸ διὰ φοινίκων καὶ μήλων καὶ ἀλ-

3. ἡμέραν *Syn.* — Ch. 38, l. 10. προσβάλλ. Aët.; ἀποβ. X. — 27-28. ἐπιχριόμενον X.

φίτων· πρὸς δὲ τὴν ἀτονίαν σὺν τούτοις καὶ μαστίχης καὶ οἰνάνθης καὶ ἀψινθίου ἐπιμιγνύναι. Μετὰ δὲ τὸ ῥωσθῆναι ποσῶς ποτίζειν ἀψινθίου ἀπόβρεγμα κυάθους β', ἢ ἀλόης ∠α', ἢ τὴν πικράν· ἔστι δὲ ἡ πικρὰ ἥδε· ἀλόης ∠ρ', ἀσάρου, κρόκου, νάρδου στάχυος, κινναμώμου, ξυλοβαλσάμου, μαστίχης ἀνὰ ∠ς'· δίδου κοχλιάριον μεστὸν μετὰ ὕδατος κυάθοις γ', ἢ ὑδρομέλιτι. — Πρὸς δηγμὸν στομάχου, στόματος καὶ κοιλίας.] Ἀνδράχνην καθεψήσας ὕδατι ὡς λειφθῆναι τὸ τρίτον, κοτύλην πρόσφερε πιεῖν ψυχρὰν, ἢ γαλακτώδη· ἢ ἀδίαντον, ὃ καὶ πολύτριχον καλεῖται, ὁμοίως εἰς ἀποτρίτωσιν ἑψήσας, μίξας ῥοιᾶς ὀξείας χυλὸν καὶ βραχὺ ἐμπάσας ἡδυόσμου πότιζε. Ἢ ῥόδων ἄνθος λεῖον ἐμπάσας ὕδατι πότιζε. — Πρὸς ῥευματισμὸν στομάχου.] Κατάπλασμα διὰ μέλιτος καὶ ἀλφίτου πάλης καὶ φοινίκων καὶ ὀμφακίου καὶ μήλων, καὶ μάλιστα κυδωνίων, ἀκακίας τε καὶ οἰνάνθης καὶ ἀλόης καὶ σιδίων καὶ ὑγρᾶς στυπτηρίας· ἢ ὑφαιρεῖν τὸ μέλι τε καὶ τὸ ἄλφιτον μιγνύειν τε κηρωτῇ ῥοδίνῃ. — Πρὸς λυγμόν.] Πρὸς δὲ λυγμὸν στομάχου ἀπὸ ψύξεως ἐπιτιθέναι ἔλαιον διὰ πηγάνου καὶ κυμίνου καὶ ἀψινθίου ἐν ἐρίῳ. Λυγμὸν διὰ ἔνδειαν γεγονότα τροφὴ ἀποικονομεῖ. Λυγμὸν διὰ ὑπερπλήρωσιν ἔμετος ἀπαλλάσσει καὶ τῶν ἄκρων διάδεσις καὶ κατοχὴ πνεύματος ἔντασίς τε καὶ ἀναφώνησις μετὰ πλείονος κραυγῆς, καὶ σύντονος καὶ μακρὸς περίπατος, καὶ ταχεῖα αἰώρησις, καὶ ἔτι μᾶλλον ἱππασία, σικύαι τε μετὰ πλείονος φλογὸς τῷ τε στήθει καὶ τῷ μεταφρένῳ κολλώμεναι. Λυγμὸν τὸν ἐπὶ πυρετοῖς τὰ αὐτά πως βοηθήματα παύει. Λυγμὸς ἐπὶ καταφοραῖς, ἢ τετάνοις, ἢ συγκοπαῖς γινόμενος ἐγγὺς τὸν θάνατον σημαίνει. Προποτίζειν οὖν συνεχῶς μελικράτῳ, ἢ ὕδατι ψιλῷ μετρίως θερμῷ· ἢ καστόριον σὺν μελικράτῳ κυάθοις β' πλῆθος τριωβόλου.

μ'. Χολῇ ὀχλουμένοις τὸν στόμαχον.

Οἱ ὑπὸ μελαίνης χολῆς ὀχλούμενοι ἐν πυρετοῖς τὸν στόμαχον δηγμὸν ἰσχυρὸν ὑπομένουσι μετὰ ἰλίγγου τῆς κεφαλῆς καὶ ἱδρώτων ψυχρῶν, ἔτι δὲ ἐκλύσεως καὶ μικρότητος καὶ ἀμυδρότητος σφυγμῶν. Καταπλάσσειν μὲν οὖν τοῖς προειρημένοις διὰ φοινίκων καὶ κενοῦν διὰ κλυστῆρος, ποτίζειν τε σέρεως χυλὸν, τῷ δὲ ποτῷ ἡδύοσμον ἐμπάσσειν.

μα'. Πρὸς τὰς κυνώδεις ὀρέξεις.

Κυνώδεις καὶ ἐπιτεταμένας ὀρέξεις τροφῆς ἔχοντας καταπλάττειν ὠμηλύσει, κἂν μὴ ἀπαιτῇ τὰ σπλάγχνα· ποτὸν δὲ ἀθρόον διδόναι, ῥόφημα πόλτοι διὰ μέλιτος πολλοῦ καὶ διὰ ἐλαίου πλείονος ἢ στέατος χηνείου ἢ ὀρνιθείου· λαχάνων δὲ σεῦτλον, μαλάχην, κολοκύνθην μετὰ ἐλαίου καὶ γάρου, καὶ καταπίμελα πτηνὰ, ἰχθύας λιπαροὺς, ἄρτους ἐζυμωμένους, παρεμπλέκειν τε συνεχῶς τῷ ποτῷ τὴν τροφήν. Εἰ δὲ καὶ ὀπώρας

7. ψυχρῷ X. — 10. ἀλ. καὶ πάλης X. — 14. τροφὴν ἀποικονομεῖν X. — 15. ἔτασις (sic) X. — 17. αἰώρησις Aët.; μετεώρισις X. — 18. κολλώμεναι Aët.; βαλόμ. X. 1re m.; βαλλόμ. 2^e^ m. — Ch. 40, l. 22, Οἱ Aët.; om. X. — Ib. ὀχλουμένοις X. — Ch. 41, l. 28. πόλτοι Aët.; om. X. — 28-29. πολλοῦ καὶ Aët.; πόλτος X 1re m.; πόλτους 2^e^ m.

ἐνδέχοιτο διδόναι, ἁρμόζει πέπειρα περσικὰ, ἄπιοι, χωρὶς ἐμβάμματος πέπονες. Εἰ δὲ ῥευματίζοιτο τὴν κοιλίαν, τὰ διὰ γάλακτος ῥοφήματα ἄρισ7α.

μβ'. Πρὸς θλίψιν σ7ομάχου.

Αἱ μετὰ τροφὴν θλίψεις σ7ομάχου γίνονται περὶ τὰς πέψεις καὶ ἀναδόσεις τῆς τροφῆς, ἐπὶ ὧν χρησ7έον διαδέσεσι, ψηλαφίαις, αἰώραις, ἐπὶ ἐνίων δὲ καὶ ἐγκαθίσμασι καὶ ποδῶν καταιονήσεσι καὶ ἐμβροχαῖς. Εἰ δὲ ἐπὶ σπλάγχνου τινὸς φλεγμονῇ συμβαίνοι, ἐκείνην πρότερον ἀποικονομητέον διά τε ἐμβροχῶν καὶ καταπλασμάτων· συνηθέσ7ερον δὲ τοῖς τὸ ἧπαρ παρὰ φύσιν διακειμένοις ἐπιγίνεται μετὰ πυρώσεως παντὸς τοῦ σώματος, μάλισ7α δὲ χειρῶν καὶ ποδῶν, καὶ ἐρεύθους προσώπου.

μγ'. Πρὸς σιαλισμὸν σ7ομάχου.

Ὄξος σκίλλινον, ἢ ἁλμάδων ἐλαιῶν ζωμὸς, ἢ θαλλίων ἀφέψημα, ἢ κηκίδων ὀμφάκων, ἢ ὀμφάκιον ὕδατι διειμένον, ἢ σ7υπ7ηρία σχισ7ὴ ὡσαύτως· πάντων δὲ μᾶλλον ποιεῖ ἀλόη διειμένη ὕδατι, καὶ τὰ ἁπαλὰ δὲ φύλλα τῆς ἐλαίας διαμασηθέντα πάνυ ἁρμόζει.

μδ'. Πρὸς τοὺς μὴ κατέχοντας τὴν τροφὴν οὓς οἱ παλαιοὶ ἰδίως σ7ομαχικοὺς προσηγόρευον, κατάπλασμα.

Μέλιτι μιγνύσθω τήλινον ἄλευρον καὶ μαλάχης σπέρμα λεῖον ξηρόν· εἰ δὲ κοπῆναι μὴ δύναιτο ἡψημένον, καὶ βραχὺ ἔλαιον ποιεῖ ἴσα μαλάγματι. — Ἄλλο.] Αἴρινον ἄλευρον καὶ ἐρύσιμον μετὰ μέλιτος. Ἐχέτω δὲ ἀντὶ τοῦ ἐλαίου πίσσαν ὑγράν.

με'. Πρὸς τὰς καθημερινὰς ναυτίας καὶ τοὺς ἐμέτους καὶ τοὺς ἀποξυσμοὺς τῆς τροφῆς.

Κοριάνδρου σπέρματος ∠α' ὡς ἄλφιτον ἐμπάσας ὕδατι πότιζε, ἢ θριδακίνης λευκῆς σπέρμα κοχλιάρια δύο, ἢ μασ7ίχης χίας τετριμμένης κοχλιάριον α', καὶ μασᾶσθαι δὲ αὐτὴν καὶ ἀποπ7ύειν πρὸ τῆς πόσεως συμφέρει. Ἕλκους ἐν σ7ομάχῳ ἢ κοιλίᾳ ὄντος, ἀπέχεσθαι μὲν δριμυφαγίας πάσης, ἐπίθεμά τε διὰ φοινίκων καὶ κυδωνίων μήλων καὶ ἀλφίτων, κηρωτήν τε ἐπιτιθέναι διά τε μηλίνου ἢ ῥοδίνου ἔχουσαν ἀμμωνιακὸν καὶ λίβανον, ἔμπλασ7ροι ἥ τε Ἱκεσίου καὶ ἡ διὰ ἰτεῶν, τό τε Νειλέως ἐπίθεμα· ἔσ7ι δὲ τὸ Νειλέως τοῦτο· Κηροῦ λ̷α', ἀμμωνιακοῦ θυμιάματος λ̷α', κρόκου ∠δ', ῥοδίνου ἢ ναρδίνου λ̷ β'. Ὄξει λείου κρόκον καὶ ἀμμωνιακόν.

μϛ'. Περὶ ἐμπνευματώσεως σ7ομάχου.

Πνευματοῦται ὁ σ7όμαχος ἤτοι τῇ κοιλίᾳ συνδιατιθέμενος, ἢ τῷ κόλῳ, καὶ σοφίζεται τοὺς πολλοὺς διὰ τὸ τὰς ἐκ τῆς πνευματώσεως ὀδύνας εἰς αὐτὸν ἐρείδειν ὡς αὐτὸς

Ch. 42. l. 5. κατεωνισειs ἐνβροχοι X. — Ch. 44, l. 14. Ἐχέτω δέ Aët.; ἔχοντος X.

προηγουμένην ἀναδεδεγμένος πεῖσιν. Εἰ μὲν οὖν μετὰ τροφὴν συμβαίνοι, προχειρότατόν ἐσῖι βοήθημα ἔμετος τῆς τροφῆς. Ἐπιθετέον δὲ ἔξωθεν ἔριον ἐλαίῳ δεδευμένον ἐν ᾧ ἡψήθη κύμινον καὶ πήγανον καὶ ἀψίνθιον. Προσεμπεπάσθω δὲ σελίνου σπέρμα ἢ σίνωνος· ποτίζειν δὲ ἀλόης ∠α', ἢ κασΊορίου ∠α', παρὰ ὅλον τε τὸν χρόνον τῆς θεραπείας ὑδροποσία ὀνίνησιν, ἔσΊιν ὅτε αὐτοτελὲς βοήθημα ὑπάρχον. — Κηρωτή.] Κηρωτὴ σΊομαχική. Κηροῦ Γο ι', ἀμμωνιακοῦ θυμιάματος Γο ι', κολοφωνίας Γο δ', κρόκου, κυπέρου, ἴρεως, καρδαμώμου, λιβάνου, ἀλόης ἀνὰ ∠δ', ναρδίνου ἢ μηλίνου ἢ ῥοδίνου Γο ϛ'. Ὄξει λείου τὸ ἀμμωνιακὸν ἢ οἴνῳ. — Πρὸς ἀτονίαν σΊομάχου.] Ῥοιὰς ὡρίμους ε' ἢ ϛ' ὅλας κόψας ἐπίχεε ὕδατος ℥ γ', καὶ ἕψει εἰς ἀποτρίτωσιν, εἶτα ἐκθλίψας καὶ ῥίψας ἕψει πάλιν τὸ ὕδωρ ἕως συσΊάσεως, καὶ δίδου ἐξ αὐτοῦ τῷ ἀσθενοῦντι κοχλιάριον α' ἢ β' ἢ γ', ἀπυρέτοις μετὰ οἴνου, πυρέσσοντι δὲ μετὰ ὕδατος. — Ἄλλο πρὸς ἀτονίαν σΊομάχου.] Ῥοιὰς ὀξείας καὶ γλυκείας καὶ σέρεως χυλοῦ ἴσα μίξας προσέμπασον βραχὺ ἡδυόσμου καὶ πότιζε, καταῤῥοφεῖν δὲ ἐκ διαλειμμάτων βραχέων· ἢ οἰνάνθην λείαν ἔμπασσε τῷ ποτῷ μετὰ σΊάχυος νάρδου. Ἁρμόζει δὲ καὶ σέριν ἐσθίειν καὶ καυλὸν θριδακίνης. — Τὸ διὰ καλαμίνθης ὀξύπορον.] Πεπέρεως ℔ α', λιγυσΊικοῦ Γο δ', γλήχωνος, καλαμίνθης ἀνὰ Γο γ', ζιγγιβέρεως Γο β', πετροσελίνου Γο α's'', θύμου Γο α', μέλιτος ℥ γ'. — Τὸ διὰ τριῶν πεπέρεων· ποιεῖ καὶ πρὸς τριταίους, τεταρταίους καὶ ἀμφημερινούς]. Πεπέρεως μέλανος Γο δ', πεπέρεως λευκοῦ Γο β', πεπέρεως μακροῦ Γο α', ναρδοσΊάχυος, κινναμώμου, ἄμμεως, καρώου, ὑσσώπου, σεσέλεως, δαύκου, πετροσελίνου ἀνὰ Γο α', ζιγγιβέρεως ∠δ'· τινὲς δὲ καὶ ἑλενίου Γο α'· μέλιτος ἀπέφθου ℔ γ'. Χρῶ. — Τὸ διοσπολιτικὸν πεπΊικόν.] Ζιγγιβέρεως Γο γ', πεπέρεως λευκοῦ, κυμίνου, νίτρου, πηγάνου χλωροῦ ἀνὰ Γο α', ὄξους καὶ μέλιτος τὸ ἀρκοῦν. Τῷ ὄξει λειοῦται κύμινον, ζιγγίβερι, νίτρον· ἔνιοι δὲ νίτρον οὐ βάλλουσιν. — Ἄλλο πεπΊικόν.] Ἁλῶν ℥ α's'', σιλφίου Γο β', πεπέρεως Γο β', πετροσελίνου Γο α's'', σεσέλεως, καρώου, γλήχωνος, ἄμμεως, ζιγγιβέρεως, σΊαφυλίνου σπέρματος, σίνωνος ἀνὰ Γο α', λιγυσΊικοῦ ∠ϛ', σελίνου ῥίζης ∠α'. — ΠεπΊικὸν κάλλιον τοῦ διοσπολίτου.] Κυμίνου θηβαϊκοῦ Γο β', καρδαμώμου, πεπέρεως, ἀσάρου, ζιγγιβέρεως, πετροσελίνου ἀνὰ Γο α', πηγάνου σπέρματος ∠δ', ὄξους κο. α', μέλιτος κο. β'. — Ἄλλο ὀξύπορον.] Πηγάνου φύλλων χλωρῶν ∠λβ', κυμίνου ∠ιγ', λιγυσΊικοῦ, καρώου, σελίνου σπέρματος, πεπέρεως, ζιγγιβέρεως, ἑλενίου, νίτρου ἀνὰ ∠η'. — Κηρωτὴ σΊομαχική.] Ἀψινθίου, ἀλόης, μασΊίχης, σΊύρακος, κηροῦ, νάρδου μύρου ἢ ῥοδίνου. — Καυσουμένοις σΊόμαχον χρονίως.] Γλυκυῤῥίζης ἀφέψημα ἢ τὴν ῥίζαν ἐμπάσσοντα δοτέον ποτῷ, ἢ ἕλικων ἀμπέλου ἀφέψημα ἢ ἀπόβρεγμα, ἢ ἀνδράχνης χυλόν· μετὰ ὕδατος δὲ χυλίζεται. Οἱ δὲ χολὴν μέλαιναν γεννῶντες πινέτωσαν γλήχωνος ἀφέψημα, ἢ ὕδωρ ἐν ᾧ σίδηρος ἐσβέσθη. — Πρὸς δηγμὸν σΊομάχου.] Γάλα γυναικεῖον θηλαζόμενον, σόγχου χυλὸς μετὰ μήκωνος, ἢ ἀμύγδαλα πικρά, ἢ σικύου σπέρμα προσενεκτέον. — Τὸ διὰ κυδωνίων πεπΊικόν.] Ὀξυμέλιτος, χυλοῦ κυδωνίων ἀνὰ ℥ β', πεπέρεως, ζιγγιβέρεως ἀνὰ Γο ϛ'· ἔνιοι καὶ πετροσελίνου Γο β'. Βέλτιον δὲ γίνεται σκιλλίνου ὄξους λαβόν. Τινὲς δὲ τὰ κυδώνια τῷ ὄξει καθεψήσαντες οὕτω σκευάζουσιν. — Τὸ διὰ κιτρίου πρὸς βραδυπεψίας.] Ὄξους κο. γ', κιτρίου σαρκὸς ℔ α', ὑσσώπου, πηγάνου, ὀριγάνου ἀνὰ δεσμίδιον. Νυχθήμερα ε' βραχέντα ἐν τῷ ὄξει ἕψεται ἕως μελιτώδους συσΊάσεως καὶ ἐκπια-

σθέντα ῥίπτεται, τῷ δὲ ὄξει μίγνυται μέλιτος ξ α', καὶ πάλιν ἕψεται ἕως μελιτώδους συσ7άσεως· ὅταν δὲ εὖ ἔχῃ, ἐμπάσσεται ἀσάρου, μήου, πεπέρεως λευκοῦ ἀνὰ Γο β's''. Ἡ δόσις πρωῒ καὶ εἰς κοίτην. — Διὰ μασ7ίχης ἐπίθεμα.] Τερεβινθίνης, μασ7ίχης ἀνὰ Γο δ's'', ταυρείου σ7έατος καὶ κηροῦ ἀνὰ Γο θ', μέλιτος, νάρδου μύρου ἀνὰ ℔ α'. — Ἐπίθεμα τὸ διὰ μελιλώτου.] Μελιλώτων Γο η', ἀμμωνιακοῦ Γο γ', βδελλίου Γο γ', μυροβαλάνου, οἰνάνθης ἀνὰ Γο β', κρόκου, σμύρνης, λιβάνου, κυπέρου, ἴρεως, καρδαμώμου, κασίας, νάρδου κελτικῆς, ἀλόης ἀνὰ Γο α', κηροῦ ℔ α', τερεβινθίνης Γο ιϛ', νάρδου μύρου ℔ α'. Εἰ δὲ δέοι ποτὲ, καὶ ὀποβαλσάμου Γο β'· ὄξει ἢ οἴνῳ. — Ἡ πανθεία.] Τηλίνου ἀλεύρου ξ α', ἀλθαίας σπέρματος ξ α', ψυλλίου ξ α', σ7έατος χηνείου προσφάτου ℔ α', κρόκου, φύλλου, ἀλόης, χαμαιμήλου ἀνὰ Γο γ', μελιλώτου, βερενικαρίου νίτρου, ῥόδων ξηρῶν, ἀμώμου, σ7ύρακος, σμύρνης, κυπέρου ἀνὰ Γο β', λίθου ἀσσίου ἄνθους, καρδαμώμου, ναρδοσ7άχυος ἀνὰ Γο α's'', λιβάνου, ἀφρονίτρου λείου, κόσ7ου ἀνὰ Γο α'. Κόψας σήσας λείου, εἶτα μίσγε τὸ χήνειον. Ἐπὶ δὲ τῆς χρήσεως τοῦ φαρμάκου Γο δ', κηροῦ Γο η', ῥοδίνου ℔ γ', λινοσπέρμου χυλοῦ Γο η'. — Ἀνηθίνη κηρωτή.] Ἐλαίου ξ α', ὕδατος ξ s'', σ7έατος Γο ϛ', κηροῦ Γο δ', ἀνήθου Γο δ', χαμαιμήλου Γο γ', σκίλλης Γο γ', ἀγχούσης Γο α's''. — Ἡ γλυκεῖα ἀντίδοτος.] Ἀλόης Γο ζ', ἴρεως Γο β', μασ7ίχης Γο α's'', νάρδου κελτικῆς Γο α's'', πεπέρεως ∠δ', ζιγγιβέρεως ∠δ', ὄξους Γο ζ', ῥιζῶν μαράθου φλοιοῦ ℔ γ', μέλιτος ξ α'.—Ὀξύπορον Ἀρχιγένους.] Πεπέρεως λευκοῦ ∠γ', ἄμμεως, λιγυσ7ικοῦ, σελίνου σπέρματος, ἀμυγδάλων πικρῶν πεφωγμένων ἀνὰ τριώβολον, καρδαμώμου, ἀνίσου, ζιγγιβέρεως, καρώου ἀνὰ ∠δ', σιλφίου ∠δ', νεκταρέας ∠α'. Μέλιτι ἀναλαβὼν μετὰ δεῖπνον δίδου καρύου ποντικοῦ τὸ μέγεθος διὰ ὕδατος κυ. β'. Ποθείσης δὲ αὐτῆς οὔτε ὀξυρεγμία, οὔτε ἄλλη τις διαφθορὰ ἢ σ7ρόφος ἀπαντᾷ. Νεκταρέα ἐσ7ὶν ἑλένιον.

μζ'. Περὶ πλαρμῶν.

Ἐνοχλοῦσι πλαρμοὶ πλεονάκις ἐμπίπ7οντες ἐν πυρετοῖς· καὶ γὰρ πληροῦσι τὴν κεφαλὴν καὶ ἐλέγχουσιν ἐνίοις τὴν δύναμιν καὶ αἷμα ἐκ ῥινῶν ἄγουσιν. Ἀντιβαίνειν οὖν αὐτοῖς δεῖ· κατέχει δὲ ἐπιφερόμενον πλαρμὸν διάτριψις τῆς ῥινὸς καὶ τοῦ μετώπου καὶ ὀμμάτων, χάσμη τε καὶ τῆς ὑπερῴας τρίψις, σπουδαία ἐρυγὴ, ἔντασις εἰς λαγόνα, μετεωρισμὸς τῆς κεφαλῆς, ἐπισ7ροφὴ ἐπὶ πλευρὰν, ψηλαφία τῶν ἄκρων, μασητήρων μυῶν λιπασμὸς καὶ θερμοῦ ἐλαίου εἰς ὦτα ἔγχυσις, πιλήματος θερμοῦ ὑπόθεσις τῷ ἰνίῳ, ὀσφραντὰ μῆλον, ἄλφιτον, οἵ τε ἐκ θαλάσσης σπόγγοι καινοί. Γινομένης δὲ ὀσμῆς καὶ μὴ διεξιόντος τοῦ πλαρμοῦ, ἀνάπαυσις τοῦ τραχήλου ἐπιτηδευέσθω καὶ συνεχὴς τῶν δριμειῶν ὀσμῶν πεῖρα καὶ ἄνεσις τῆς διανοίας· τὸ γὰρ φιλότιμον περί τι δυσοδεῖ περὶ αὐτό. Ἐρεθίζει πλαρμὸν αἰφνίδιός πως ἐξ ὕπνου ἔγερσις, καπνὸς, κονιορτὸς, ὀσμὴ δριμυτέρα, οἷον πέπερι, νᾶπυ, κασ7όριον, σ7ρουθίου ῥίζα, χαμελαία, ἰὸς ξυσ7ὸς, ἀρισ7ολοχία σ7ρογγύλη.

Ch. 47, l. 33. δυσοδεῖ e conj.; δυσώδι X.

μη'. Περὶ λιποθυμίας.

Ἡ μὲν ἐν πυρετοῖς διὰ πρόδηλον αἰτίαν συμβαίνουσα λιποθυμία ὥσπερ εἰπεῖν ἔκκρισιν ἢ ἐπανάστασιν, κίνησιν, φόβον, ὀδύνην, βοήθειαν ἔχει τὴν περιγραφὴν τῶν αἰτίων τούτων· οὔτε γὰρ ἐξανίστασθαι αὐτοῖς ἐπιτρεπτέον, οὔτε ἐνδοτέον ταῖς ἀθρόαις ἐκκρίσεσιν, τά τε ἀλγήματα παρηγορητέον, ἀλλὰ καὶ τῶν φόβων τὰς ποιητικὰς αἰτίας λυτέον διὰ παραινέσεων, διασφίγγειν τε τὰ ἄκρα καὶ σικύας προσβάλλειν τοῖς ἐμπροσθίοις μέρεσι καὶ ὀπισθίοις τοῦ στομάχου, ἐπὶ πλευράν τε κατακλιτέον, δινουμένην τε τὴν κεφαλὴν ἐπιθέσει χειρὸς εὐαφοῦς μετὰ θλίψεως πιεστέον, ὀσφραντά τε προσφέρειν καὶ διανοίγειν ἐπὶ μέγα τὸ στόμα· προκαταληφθέντες γὰρ ἀναλαμβάνονται, μηδὲ εἰς πεῖραν τῆς λιποθυμίας ἐλθόντες. Τοὺς δὲ ἐν βαλανείῳ λιποθυμεῖν ἀρχομένους ταχέως ἐμβιβάζειν, μήτε καταδύσει, μήτε πολλῇ καταχύσει χρωμένους· λιποθυμοῦντας δὲ ἐξακτέον ταχέως, καὶ τὸ μὲν σῶμα κούφῳ τινὶ καλύπτειν, τὸ δὲ πρόσωπον σπόγγῳ ἐκ ψυχροῦ ἀποσπογγίζειν, ἢ καταῤῥαίνειν ψυχρῷ, τρίβειν τε τὸ πρόσωπον, ἀνατρίβειν τε εὐτόνως τοὺς πόδας· δοτέον δὲ καὶ ψυχρὸν διάκλυσμα, ἔστιν ὅτε καὶ καταῤῥοφῆσαι. Λυτικὸν δὲ λιποθυμίας καὶ τὸ ἐπὶ πλεῖστον ὅσον διανοίγειν τὸ στόμα, ἤ, εἰ μὴ δύναιντο, ἡμῶν καθέντων τοὺς δακτύλους ἐνδοτέρω τῶν ὀδόντων πρὸς τοῖς χαλινοῖς. Ἀνοικτικὸν καὶ τὸ παραπιέζειν καὶ τοὺς ἀκουστικοὺς πόρους καὶ τὰ λεγόμενα λιθοειδῆ ὀστᾶ. Τοὺς δὲ εὐτελεστέρους καὶ ῥαπιστέον καὶ ἐκτιλτέον τὰς τρίχας. Ἐμβόησις δὲ ἑνὸς μὲν ὠφελεῖ, πολλῶν δὲ κατὰ τὸ αὐτὸ βλάπτει. Τὰς μέντοι μετὰ σφοδρὰν λιποθυμίαν ἢ εἰς θερμὸν ἢ εἰς ψυχρὸν καθέσεις ὡς αἰτίας θανάτου φοβεῖσθαι· ἢ γὰρ χαλασμῷ τῶν σωμάτων ἐκκρινόμενον τὸ ὑποκείμενον θερμὸν ἀπόλλυται, ἢ πηγνύμενον ὑπὸ ψύξεως ἀποσβέννυται.

μθ'. Περὶ τῶν κατὰ τὸ ἧπαρ παθῶν.

Ὅσοις πόνος ἐν τοῖς δεξιοῖς μέρεσιν ὑπὸ τὸ δεξιὸν ὑποχόνδριον παρέπεται καὶ ὄγκος καὶ βάρος ὥσπερ τινὸς ἐξηρτημένου καὶ κατατείνοντος καὶ συναίσθησις μέχρι κλειδὸς τῆς καταλλήλου καὶ ὠμοπλάτης, οὖρά τε ὕφαιμα καὶ ὑπόχλωρα καὶ ἀνορεξία καὶ ἄχροια ποσὴ καὶ ἀμεταληψία τῆς τροφῆς, ἐπιστήσῃ ταῦτα συμβαίνειν φλεγμαίνουσι τὸ ἧπαρ. Ὅσοις μέντοι καὶ πυρετοὶ καὶ φρῖκαι παρακολουθοῦσιν, ὄγκος τε εἴκων μετὰ τῶν ἄλλων τῶν προειρημένων, οὗτοι ἀπόστημα ἐν ἥπατι ἔχουσιν. Εἰ μέντοι τὰ οὖρα ἐπιφάνειαν ἔχοι ὑγροῦ ἢ καὶ τὰ διαχωρήματα, ἢ μετὰ τῆς τροφῆς ἀνεμηθείη, ἢ ὑγρὸν ὑπὸ τὸ ὑπογάστριον ἐν ταῖς ἀνακλίσεσιν, ἢ ἦχος ἢ κλυδὼν ἐπιφαίνοιτο, εἰδέναι χρὴ ἐῤῥῆχθαι τὸ ἀπόστημα. Εἰ δὲ σκληρία πολυχρόνιος καὶ ὄγκος ὑποπίπτοι καὶ δοκοίη αὐτοῖς ὥσπερ τι βάρος ἐξηρτῆσθαι τοῦ διαφράγματος, καὶ δύσπνοια καὶ κακόχροια καὶ ἀνορεξία παρακολουθοῖ, ἐσκιῤῥωμένου ἥπατος σημεῖα. Φλεγμονῆς οὖν

Ch. 48, l. 16. ἀνυτικόν Aët. — 19. καθέσεις Aëtius; διαθέσεις X. — Ch. 49, l. 25. τροφῆς ἐπίστασις εἰς ταῦτα συμβαίνει X.

ὑποκειμένης ἢ ἀλγημάτων, κοινὸν κατάπλασμα διὰ λινοσπέρμου καὶ τήλεως καὶ κριθίνου ἀλεύρου ἢ πυρίνου, ἤτοι πάντων, ἤ τινων, ἢ ἑνὸς, καὶ ἀψινθίου, καὶ μαστίχης. Τὸ δὲ ὑγρὸν μελίκρατον ἔστω μετὰ ἐλαίου. Ἰδίως δὲ ποιεῖ ἐπὶ ἥπατος ἀγρίας μαλάχης ῥίζα μελικράτῳ ἑψηθεῖσα καὶ λειοτριβηθεῖσα μιγεῖσά τε τοῖς προειρημένοις. Εἰ δὲ μείζων εἴη ἡ φλεγμονὴ τοῦ ἥπατος, μικτέον τῷ καταπλάσματι χαμελαίαν, ἢ χαμαίπιτυν, ἢ πόλιον, ἢ ἄσαρον, ἢ μῆον, ἢ ἠρυγγίου ῥίζαν ἢ σπέρμα, ἢ δαῦκον. Ποιεῖ δὲ καὶ τὰ σῦκα ἑψόμενα καὶ συλλεαινόμενα. Θερμότερον δὲ γίνεται κατάπλασμα εἰ προσλάβοι πιτυΐνης ῥητίνης Γο γ' ἢ πίσσης ξηρᾶς τὸ αὐτό. — Ἡπατικαὶ ἀντίδοτοι. Ἡ πικρὰ ἡπατική.] Ἀλόης ∠ρ', ξυλοβαλσάμου, ἀμώμου, ἀσάρου, ναρδοστάχυος, κρόκου, μαστίχης ἀνὰ ∠ϛ'. Δίδου ∠α' ἢ κοχλιάριον μετὰ ὕδατος θερμοῦ Γο γ'. — Ἡ διὰ ὀξυμέλιτος πικρὰ ποιοῦσα στομαχικοῖς, κολικοῖς, ὑστερικαῖς, ὑδρωπικοῖς.] Μαράθου ῥίζης φλοιοῦ ℔ γ', ὄξους, εἰ παρείη, αἰγυπτίου· εἰ δὲ μή γε, κοινοῦ κο. ζ'. Ἕψε τὰς ῥίζας εἰς ἀποτρίτωσιν καὶ ῥίψας αὐτὰς μῖξον τῷ ὄξει μέλιτος ξ α' ἢ ℔ β' s'', καὶ πάλιν ἕψε ἕως συστάσεως μελιτώδους· ἐπάρας δὲ καὶ ψύξας ἔμπασον ἴρεως ἰλλυρικῆς Γο β', ἀλόης Γο η', μαστίχης χίας Γο α', ζιγγιβέρεως, κασίας, νάρδου κελτικῆς ῥιζῶν ἢ τῆς κόμης, ἑλενίου ἀνὰ Γο α', πεπέρεως ∠δ'. Ἐν ἄλλοις οὐχ εὗρον πέπερι. Εἰ δὲ παρείη, μήου Γο α'· εἰ δὲ μὴ παρείη, οὐκ ἐμποδίζει. Τινὲς καὶ ὀποῦ παρθικοῦ· ἐγὼ δὲ οὐδέπω τὸν ὀπὸν ἔμιξα. Ἡ δόσις κοχλιάριον ἐν ὕδατι, ἢ ὑδρομέλιτι κυ. δ', καὶ ἐπιῤῥοφείτω ὕδατος κύ. α'. — Ἡπατικὸν ξήριον χρονίαις διαθέσεσιν.] Καστορίου, πετροσελίνου, κυπέρου, πεπέρεως λευκοῦ. Ἡ δόσις κοχλιάριον ἓν ἐν μελικράτου κυ. γ'. — Ἡπατικὸν ξήριον.] Ἀνίσου, γεντιανῆς, ἀμυγδάλων πικρῶν, ἀψινθίου ἴσα. Κοχλιάριον ὕδατι θερμῷ δίδου. Κόστου, τήλεως, ἄμμεως ἴσα. Κοχλιάριον ἕν. — Τοῖς ἐψυγμένοις ἧπαρ.] Ὀριγάνου κοχλιάριον ἐν μελικράτῳ· ἢ πρασίου κοχλιάριον ἓν, ἢ ἀφέψημα αὐτοῦ, ἢ πελεκίνου κοχλιάριον ἕν. — Τὸ διὰ λυκείου ἥπατος κάλλιστον· ἐξόχως γὰρ ποιεῖ.] Γεντιανῆς, χαμαιπίτυος, πρασίου, σελίνου, πετροσελίνου, χολῆς ἀρκείας, νάπυος, σκολοπενδρίου, μίλτου, πάνακος ῥίζης, ἐρυθροδάνου, κράμβης σπέρματος, ἀριστολοχίας μακρᾶς, πεπέρεως λευκοῦ, νάρδου στάχυος, κόστου, εὐζώμου σπέρματος, ἠρυγγίου ῥίζης, πολίου, ἐχίου, εὐπατορίου, ἀρκευθίδων ἴσα ἀναλάμβανε μέλιτι ἀπέφθῳ. Δίδου ποντικοῦ καρύου τὸ μέγεθος. Ἔνιοι καὶ λυκείου ἥπατος καὶ ἑλενίου ἴσα, καὶ ἡμεῖς οὕτως. — Ἀντίδοτος ἡπατικοῖς, σπληνικοῖς, ἰκτερικοῖς, πρὸς θώρακος πόνους, ὑποχόνδρια διῳδηκότα καὶ μετέωρα, καὶ πρὸς τοὺς μολιβδώδεις τὴν χροιάν.] Κρόκου ∠ι', σχοίνου ἄνθους ∠δ', κασίας, ναρδοστάχυος ἀνὰ ∠β', σμύρνης, κινναμώμου, κόστου ἀνὰ ∠α', μέλιτος ἀπέφθου τὸ ἀρκοῦν. Ἀποτίθεσο ἐν ἀργυρῷ σκεύει, δίδου δὲ αἰγυπτίου κυάμου τὸ μέγεθος διεὶς ὕδατι καὶ μέλιτι, ἢ οἰνομέλιτος κυάθοις γ' καὶ ὕδατος κυ. θ'. — Πρὸς ἧπαρ σκιῤῥωθέν.] Σκιῤῥωθέντος ἥπατος πότημα ἀναγαλλίδος τῆς τὸ κυανοῦν ἄνθος ἐχούσης· πότιζε μελικράτῳ· εἰ δὲ ἐνδεδωκότα ἐστὶ τὰ πυρεκτικὰ, ὀξυμέλιτι. Ἡ σκίλλης ὀπτῆς ὁμοίως τριώβολον· ὀπτᾶται δὲ ἡ σκίλλα ἐν καμίνῳ ἕως ἀνθρακώδη αὐτῆς τὰ ἐξώτερα, καὶ δίδοται τοῦ ἐγκαρδίου. — Περὶ ἀποστάσεως ἐν ἥπατι θεραπείας.] Ἀποστάσεως δὲ οὔσης ἐν ἥπατι συνεργεῖ τῇ συῤῥήξει καταπλάσματα διὰ

36. ἐστὶ conj.; ἐπι X. Conf. Aët.

λινοσπέρμου, τήλεως, κριθίνου, παραμιγνυμένης αὐτοῖς ῥητίνης, μάννης, πίσσης, ἀλθαίας ῥιζῶν, περισΊερᾶς κόπρου, σπυράθων, πολίου· σπύραθοι δέ εἰσιν αἴγεια κόπρος. — Ἡπατικὸν κάλλισΊον.] Καπνοῦ τοῦ ἐν ταῖς κριθαῖς Φυομένου ἀφέψημα ἀποτριτωθέν. Κιχορίου καὶ χαμαίδρυος ἀφέψημα ὁμοίως τῆς ῥίζης πότιζε. — Περὶ συῤῥήξεως ἥπατος.] Συῤῥήξεως δὲ γενομένης ἐν ἥπατι ἔμπλασΊροι ἀναξηραντικαί, ἥ τε Ἱκεσίου, ἡ διὰ ἰτεῶν, προπαραληφθεισῶν τῶν μαλακτικῶν ἐμπλάσΊρων ὡς τῆς Μνασέου. — Ἐπίθεμα ἡπατικόν.] Κηροῦ, ἀμμωνιακοῦ Ͽυμιάματος ἀνὰ λ̸ α', τερεβινθίνης Γο δ', μελιλώτου Γο β', κρόκου Γο α', νάρδου μύρου Γο ε'. Τὸ ἀμμωνιακὸν ὄξει ἢ οἴνῳ λεάνας μίσγε τὰ λοιπὰ τοῖς τηκτοῖς. Ἀναληφθέντι χρῶ. — Ἄλλο ἐπίθεμα κάλλισΊον.] Κηροῦ, τερεβινθίνης ἀνὰ Γο ι', νίτρου, τήλεως, δαφνίδων, σαμψύχου ἀνὰ Γο ς', πεπέρεως Γο α', ἰρίνου μύρου τὸ ἀρκοῦν, οἴνου κόκκον α'. Τὰ ξηρὰ φυρᾶται τῷ οἴνῳ, τῇ δὲ ἐπιούσῃ μίγνυται τοῖς τηκτοῖς. Ἡ δὲ χρῆσις μετὰ διπλασίονος κηρωτῆς ναρδίνης. Ἐν ἄλλῳ ἀντιγράφῳ νίτρου Γο β'. — Ἁπλᾶ καὶ σύνθετα πινόμενα πρὸς ἡπατικούς.] Ἡπατικοὺς πότιζε ἀναγαλλίδος χυλὸν, ἀγαρικοῦ ἀφέψημα, ἢ χαμαιπίτυος, ἢ ἀδιάντου, ἢ ἀκόρου, ἢ σφονδυλίου ῥίζαν σὺν οἴνῳ· ἢ ἄμωμον, ἢ κασίαν, ἢ ἐλελίσφακον σὺν πικροῖς ἀμυγδάλοις ἐν μελικράτῳ, ἢ ἄσαρον σὺν ὕδατι, ἢ γεντιανῆς ∠α', ἢ γλυκυῤῥίζης χυλοῦ ∠α' μετὰ ὕδατος, ἢ τῆς ῥίζης ἀφέψημα, ἢ ἀρισΊολοχίας ὁμοίως, ἢ δάφνης ῥίζης τριώβολον ἐν μελικράτῳ, ἢ ἠρυγγίου ∠α' μετὰ φυλλίνου σπέρματος, ἢ ἑρπύλλου ἀφέψημα, ἢ ῥᾶ ποντικοῦ ἀπυρέτοις, ἢ ἠριγέροντος ἀπόζεμα, ἢ πολίου ὁμοίως, ἢ σινωπίδος ∠α'. — Ἡπατικὸν χρονίαις περιωδυνίαις καὶ σκληρίαις.] ΚόσΊου, τήλεως, πεπέρεως, ξηροῦ πηγάνου κόμης, πίσσης ξηρᾶς ἴσα. Πότιζε κοχλιάριον α' ὕδατι, ἢ ὑδρομέλιτι, ἢ οἴνῳ. — Ἄλλο ἡπατικόν.] Κρόκου ∠δ', ἀμμωνιακοῦ Ͽυμιάματος ∠λβ'. Τὸν κρόκον ὕδατι βρέξας καὶ λεάνας καὶ ἐπιβαλὼν τὸ ἀμμωνιακὸν ἀνάλαβε καὶ πλάσσε τροχίσκους. Δίδου ὕδατι ∠α' ἢ τριώβολον. — Ἡπατικόν.] Ἀλόης ∠β', γλαυκίου ∠δ'. Δίδου ξηρὸν ἀπυρέτοις οἴνῳ κεκραμένῳ εὐθυλούτροις μύσΊρον α', πυρέσσουσι μελικράτῳ.

ν'. Περὶ σπληνός.

Ὅσοις ὑπὸ τὸ ἀρισΊερὸν ὑποχόνδριον ἄλγημα καὶ διάτασις καὶ κάρος καὶ ἀνορεξία καὶ τῆς γλώσσης ξηρότης μετὰ φρικιῶν καὶ πυρετῶν παρακολουθεῖ καὶ ἐν ταῖς ἐπισΊροφαῖς βάρος ὥσπερ ἀποσπωμένου τινὸς, σπληνικοὶ καλοῦνται. Καὶ σκιῤῥοῦται δέ ποτε σπλὴν ὥσΊε ὄγκον ὑποπίπΊειν μείζονα μετὰ σκληρότητος καὶ ἀντιτυπίας, ὥσΊε δοκεῖν λίθον αὐτοῖς ἐκκρέμασθαι· δραμόντες δὲ ἢ κοπιάσαντες ἄλλως πως ὀδυνῶνται, ἕλκη τε δυσαλθῆ ἴσχουσι, καὶ μάλισΊα περὶ τὰ σκέλη, καὶ κακόχροια τοῦ σώματος ἐπὶ τὸ μελάντερον· χρονίζοντες δὲ καὶ ὑδρωπιῶσιν. Ἐμβροχαὶ οὖν προσαγέσθωσαν φλεγμαίνοντος σπληνὸς ὀξέλαιον ἐν οἰσυπηροῖς ἐρίοις, καταπλάσματα δὲ διὰ ὀξυμέλιτος καὶ ἀλεύρου κριθίνου μετὰ ἀψινθίου καὶ μυροβαλάνου, ἢ διὰ καππάρεως ῥίζης λείας· ἔσΊω δὲ τοῦ καταπλάσματος τέταρτον· ἢ καππάρεως ὁμοίως, ἢ μυροβαλάνου τὸ ἴσον· ἢ κυκλαμίνου ὁμοίως· ἢ ἀλθαίας ῥίζης ἐν ὀξυμέλιτι λειανθείσης καὶ ἑψη-

Ch. 50, l. 27. κάρος] βάρος Aët.

θείσης. Κηρωτὴ δὲ διαδεχομένη τὸ κατάπλασμα μυροβάλανον ἐχέτω. — Ποτήματα σπληνικά.] Ποτήματα διδόσθω ἀμμωνιακοῦ μέρη δύο μετὰ ἑνὸς μέρους καστορίου· μίξας πότιζε σὺν ὀξυκράτῳ ∠α'· ἢ μυρίκης καρποῦ, ἢ φύλλων, ἢ ἀνθῶν, ἢ κισσοῦ κόκκοι ιε' μετὰ ὀξυκράτου, ἢ πολίου σπέρματος, ἢ ὁρμίνου σπέρματος μετὰ ὀξυμέλιτος, ἢ ἑρπύλλου ὀξύβαφον· ἢ ὕδωρ χαλκέως ἐν ᾧ τὸν σίδηρον βάπτουσιν, ἢ λιβάνου ὀβολοὺς δύο μετὰ μαράθου σπέρματος κοχλιάριον μετὰ οἴνου· ἢ ἀμμωνιακοῦ θυμιάματος ∠α' μετὰ ὀξυμέλιτος κυ. γ'. — Πότημα σπληνικόν.] Μυρίκης καρποῦ ∠δ', πεπέρεως ∠δ', ναρδοστάχυος ∠β', ἀμμωνιακοῦ θυμιάματος ∠β'. Ἡ δόσις ∠α'· ὀξυμέλιτι λειοῦται [ἢ] ὄξει σκιλλιτικῷ. — Ἄλλο.] Πάνακος ῥίζης, ἀμμωνιακοῦ θυμιάματος, καππάρεως ῥίζης φλοιοῦ, στρουθίου, σκίλλης ὀπτῆς τὸ ἐντός· δίδου ἴσα ὀβολοὺς δ' ἢ ε' ἢ δραχμὴν α'. Ποιεῖ δὲ καὶ ἀσθματικοῖς καὶ ὑδρωπικοῖς. — Ἄλλο.] Κυπέρου ∠ιβ', ἄγνου σπέρματος ∠η'· κόψας καὶ σήσας πότιζε διὰ ὕδατος ἐν ᾧ σίδηρος πολλάκις ἐσβέσθη. — Ἄλλο πότημα.] Στρουθίου καὶ καππάρεως ῥίζης, δικτάμνου, σταφυλίνου, πάνακος ῥίζης, σταφυλίνου σπέρματος ἴσα· δίδου μετὰ ὀξυμέλιτος ἢ ὕδατος. — Τροχίσκος σπληνικός.] Κυκλαμίνου ∠κ', βρυωνίας ∠η', δικτάμνου ∠β', σκίλλης ὀπτῆς ∠η', καππάρεως ῥίζης φλοιοῦ ∠ϛ', στρουθίου ῥίζης ∠ϛ'. Ποίει τροχίσκους τριωβολιαίους ἐν ὀξυμέλιτι κυάθους γ' καὶ δίδου καταπότια εἰς ἀπεφθον ἐμβάψας μέλι. — Ἐπίθεμα τὸ διὰ σπυράθων σπληνικοῖς, ὑδρωπικοῖς καὶ ἧπαρ ἐσκιῤῥωμένοις.] Κυπρίνου ἢ παλαιοτάτου ἐλαίου λ γ', κηροῦ λ β's'', σπυράθων αἰγός, δαφνίδων λελεπισμένων, ἴρεως ἰλλυρικῆς ἀνὰ ἡμίνα, τερεβινθίνης λ α', νάπυος, νίτρου, κυπέρου, πυρέθρου, ῥαφάνου σπέρματος, καππάρεως ῥίζης φλοιοῦ ἀνὰ Γο γ', κολοκυνθίδος ἐντεριώνης Γο α', τήλεως Γο α'. Ἔστιν ὅτε τὰ ξηρὰ ἀναλαμβάνεται τοῖς τηκτοῖς ὄξει φυραθέντα· ἐγὼ κολοκυνθίδος Γο β' ἔβαλον· εἰ δὲ ἡ κοιλία ῥέοι, μηδὲ ὅλως βάλλειν. Ἡ δὲ αἰγεία κόπρος ξηρὰ μὲν οὖσα κόπτεται καὶ σήθεται· ἁπαλὴ δὲ καὶ πρόσφατος ὄξει συλλεαίνεται. — Διὰ δαφνίδων.] Κηροῦ, πίσσης, πιτυΐνης, ταυρείου στέατος, ἀμμωνιακοῦ θυμιάματος, νίτρου, δαφνίδων ἀνὰ λ β', κάχρυος Γο γ'. Τὰ τηκτὰ ἐπίβαλε τοῖς ἄλλοις λείοις. Διαφορεῖ, ἐπισπᾶται, ποιεῖ τε καὶ πρὸς ἰσχιάδας καὶ ἡμικρανίαν. Κάχρυος μὴ παρόντος, βάλε πύρεθρον. — Ἄλλο ἡμέτερον.] Κηροῦ, πιτυΐνης, πίσσης ξηρᾶς, δαφνίδων λελεπισμένων λ ἀνὰ α', νίτρου, χαλβάνης ἀνὰ Γο ϛ', ἰοῦ ξυστοῦ Γο α', εὐφορβίου Γο α', δαφνίνου ἐλαίου Γο δ'. Ποιεῖ καὶ πρὸς κύστιν ἀλγοῦντας, ἧπαρ ἐσκιῤῥωμένον καὶ σπλῆνα, ἄρθρων ἐπὶ ἀλγήμασι, καὶ ἔμμηνα ἄγει ῥᾷον. — Τὸ διὰ μελιλώτου.] Τερεβινθίνης λ β', κηροῦ λ α's'', μελιλώτου Γο θ', ἀμμωνιακοῦ θυμιάματος Γο θ', βδελλίου Γο δ's'', μυροβαλάνου, οἰνάνθης ἀνὰ Γο γ', κρόκου, κυπέρου, καρδαμώμου, ἴρεως, ἀμώμου, κασίας, κελτικῆς ἀνὰ Γο α's'', νάρδου μύρου λ β'. Ἐνίοτε καὶ ὀποβαλσάμου βάλλω Γο β'.

να'. Περὶ ἰκτέρου.

Συνίσταται ἴκτερος τῆς διακριτικῆς τοῦ πνεύματος δυνάμεως ἡττονηκυίας καὶ χωρίζειν καὶ διαπέμπειν εἰς ἃ προσήκει οὐ δυναμένης, κατάρχειν δὲ τῆς τοιαύτης κατα-

9. [ἢ] ex em.; om. X. Conf. Paul. — 21. ῥεφάνου X, et sic passim. — 31. ἄρθρα X.

σκευῆς δύναται καὶ τῆς ἀπὸ ἄκρων διατεινούσης ἐπὶ τὰ ὅλα καὶ τῆς ἐν μέρει θέσεως. Πεπλανῆσθαι δὲ ὑποληπτέον τοὺς οἰομένους ἥπατος διάθεσιν εἶναι, ἐπεὶ πολλοὺς τῶν ἰκτερικῶν ἰδεῖν ἔστι μηδὲ ὅλως τὸ ἧπαρ ἐν αἰσθήσει τινὶ ἔχοντας, ἐνίους δὲ ὑπὸ σπληνὸς καί τινας ὑπὸ στόματος κοιλίας ἐνοχλουμένους. Εἰσὶ δὲ τοῦ πάθους διαφοραὶ δύο· οἱ μὲν γὰρ λεκιθώδεις εἰσὶ τὴν χροιὰν καὶ ἔκλευκοι· οἱ δὲ μελαντέραν καὶ χαλεπωτέραν ἔχουσιν. — Θεραπεία.] Αἷμα οὖν, ὅπως δὲ ἂν ἔχωσιν, ἀφαιρετέον ἀπὸ ἀγκῶνος σύμμετρον εἰ μὴ φθάσειεν ἰσχνωθῆναι καὶ ἐγγὺς καχεξίας γενέσθαι, τῆς ἡλικίας ἀπαιτούσης μετὰ ἐπαφαιρέσεως. Ἐπιτήδειος δὲ καὶ ὁ κλυστήρ· ἐπιτομὴ δὲ γένοιτο πάντων ἤδη τῆς ἱερᾶς κάθαρσις· εἰ δέ τι ὑποπίπτοι φλεγμαῖνον, καὶ σικύαι καὶ ἐμβροχαὶ καὶ καταπλάσματα καὶ μαλάγματα.—Ποτὰ ἁπλᾶ.] Σελίνου ἀπόζεμα πότιζε τοὺς ἰκτερικούς, ἢ ἀδιάντου· εἰς ἀποτρίτωσιν δὲ ἑψέσθω· ἢ ἀψινθίου ἀφέψημα· ἢ ἀψίνθιον ἔμπασσε τῷ ποτῷ· ἢ ἐρυθρόδανον ἔμπασσε ᾠοῖς ῥυτοῖς. Ἄκρως δὲ ποιεῖ ῥαφάνων χυλὸς ποτιζόμενος μετὰ οἴνου ἀκράτου· ἔστω δὲ τοῦ τε χυλοῦ καὶ τοῦ οἴνου ἴσον· ἡ δόσις κυάθου α′ ἢ β′ τὸ πλῆθος· ἢ ἀφρόνιτρον μετὰ οἰνομέλιτος. Κυνὸς δὲ αἷμα ἔδοσάν τινες ἰκτερικοῖς καὶ πάνυ ηὐδοκίμησαν, λαπάθου τε ἀπόζεμα εἰς ἀποτρίτωσιν ποθὲν καλῶς ποιεῖ. Φυλάσσεσθαι δὲ χρὴ τὴν συνέχειαν τῶν ποτῶν. Ποτίζεται δὲ καὶ χυλὸς κιχωρίου κύ. α′ ἢ δύο ἢ γ′ μετὰ οἴνου, ἢ ἑρπύλλου ἀφέψημα ἀποτριτωθέν. Τοὺς δὲ ἐπὶ ἥπατος φλεγμονῇ ἰκτερικοὺς ποτίζειν διὰ προσφάτου οἰνομέλιτος, ἀφεψήματος ἀριστολοχίας λεπτῆς, ἢ ὑπερικοῦ, ἢ ἀδιάντου, ἢ ἐρεβίνθων λευκῶν. Ἢ ἐρυθροδάνου τριώβολον, ἢ στρουθίου βραχὺ μετὰ σύκου ξηροῦ ἐσθιέτωσαν, ἢ φοίνικος. Ἢ θείου ἀπύρου ∠α′ ἐν ᾠοῖς ῥοφείτωσαν, ἢ σταφυλῖνον αὐτόν, τουτέστι τὴν ῥίζαν ἐν οἴνῳ ἕψειν εἰς ἀποτρίτωσιν καὶ κιρνῶντα τοῦ οἴνου κύαθον α′ πρὸς ε′ ὕδατος· ἢ κέρατος ἐλαφείου ῥινήματος ∠α′ μετὰ οἴνου κύ. α′ καὶ ὕδατος κυάθους β′, ἢ καλαμίνθης χυλόν, ἢ ὀρόβων ἄλευρον μετὰ ὕδατος. — Ἀντίδοτοι.] Ἥ τε πικρὰ καὶ ἡ διὰ ὀξυμέλιτος πικρὰ καὶ ὁ διὰ ἀμυγδάλων πικρῶν καὶ ἀσάρου καὶ ἀνίσου σπέρματος καὶ σελίνου καὶ ἀψινθίου ἴσων τροχίσκος. Πρὸς ἰκτερικοὺς χρῶ τοῖς ἡπατικοῖς· δίδου δὲ καὶ κιννάμωμον ὅσον τρισὶ δακτύλοις κατέχειν ἐν οἰνομέλιτος κύ. α′ ὕδατι κεκραμένου. — Ἄλλο.] Ἀγρώστεως ∠γ′ μετὰ ἀψινθίου ∠α′. — Ἄλλο.] Ὀροβίνου ἀλεύρου ∠α′, κρόκου, κελτικῆς ἀνὰ ἥμισυ ὀβολοῦ. — Ἄλλο.] Σμύρνης κυαμιαῖον μέγεθος, πεπέρεως κόκκους κε′, ἴσον τε κινναμώμου. — Ἄλλο.] Ἐρεβίνθων ὀξύβαφον, μαράθου δεσμίδιον ἑψήσας ὡς τακῆναι δίδου τὸν χυλὸν μετὰ οἰνομέλιτος. — Ἰκτερικὸν ποτόν.] Ὀρόβου, κελτικῆς νάρδου, κέρατος ἐλαφείου ῥινήματος ἀνὰ ∠ϛ′, πεπέρεως λευκοῦ ∠α′s″, λιβάνου ∠α′. Μέλιτι ἀναλαβὼν πότιζε οἰνομέλιτι ἢ ὑδρομέλιτι καρύου ποντικοῦ τὸ μέγεθος. — Πότημα.] Στρουθίου κόκκ. β′, ἐρυθροδάνου κόκκ. α′, ὕδατος κυ. γ′. Δίδου νήστει καὶ περιπατείτω ταχέως. — Ἄλλο.] Σκορόδου ἀγλῖθας γ′ λείας μετὰ οἴνου ἰταλικοῦ ἡμίνης πότιζε ἐν βαλανείῳ, ἀρξάμενον δὲ ἱδροῦν κάθιε εἰς τὴν ἔμβασιν· τοῦτο κάλλιστον. Ἐναπειλημμένης δὲ χολῆς περὶ τοὺς ὀφθαλμοὺς καὶ τὴν κεφαλὴν ἐλατήριον ἡλίκον ὀρόβου γάλακτι γυναικείῳ διεὶς, ὕπτιον δὲ κατακλίνας ἐν τῷ χείλει τῆς ἐμβάσεως τοῦ βαλανείου ἔνσταζε ταῖς ῥισὶ καὶ

4. τινος X. — 18. ἀφέψημα X. — 27. ὕδ. κεκραμένῳ X. — 29. ἴσον Paul.; ἴσου X.

εὐθέως κάθιε εἰς τὴν ἔμβασιν τὸν θεραπευόμενον, καὶ καταδύειν μὲν τὴν κεφαλὴν μὴ ἐπίτρεπε, καταχύσει δὲ χρῆσθαι. Μετὰ δὲ τὸ λουτρὸν ἀναληπτικῶς διαιτᾷν ἐγχεῖν τε ταῖς ῥισὶν ὡσαύτως τὸ ἐλατήριον, καὶ ἐν ἡλίῳ καθεζομένου, ἢ κυκλαμίνου χυλὸν, ἢ πρασίου χυλὸν, ἢ μελανθίου χυλὸν ὡσαύτως.

νβ'. Περὶ ὑδρωπικῶν.

Ἐπὶ τοῦ ὕδρωπος πρὸ πάντων πυρετοῦ ὄντος ἐπιμέλειαν ποιήσομαι καιροῦ τοῦ δέοντος τροφῆς καὶ τῶν ἄλλων βοηθημάτων ἐκλεγόμενος. Διουρητικὰ οὖν ποτήματα ἁρμόζει ὑδρωπικοῖς ἅ τινα μὴ συνεχῶς, μηδὲ ἐφεξῆς, ἀλλὰ ἐκ διαλειμμάτων δοτέον, ἀφέψημα σελίνου ῥιζῶν, ἢ νάρδου, ἢ ἀσάρου. Ἔστι δὲ καὶ πολυμίγματον τοῦτο· βαλσάμου, νάρδου, κασίας, κυμίνου, γλυκυῤῥίζης, ὑπερικοῦ, ἀμώμου, σμυρνίου, πετροσελίνου, καλάμου ἀρωματικοῦ, πεπέρεως, σεσέλεως, σπονδυλίου ἴσα. Ποιεῖ δὲ καὶ ἕκαστον κατὰ αὐτό. Δίχα δὲ βάρους τὴν οὔρησιν κινεῖ σκίλλα ὀπτή· ὀπτᾶται δὲ καὶ μετὰ μέλιτος λεαινομένη ὡς ἔκλειγμα δίδοται. Ἐναφεψηθείη δὲ ἂν καὶ τοῖς πινομένοις ὕδασιν. Ὑδραγωγὰ δὲ προσφέρειν μετὰ τῆς λοιπῆς ἀγωγῆς ἐκ διαλειμμάτων, ἀφέψημα στρουθίου, ἢ τιθυμάλλου, ἢ κόκκον κνίδιον λεπτὸν, ἢ πολυπόδιον, ἢ τὴν λεγομένην ἄποιον, ἥν τινες χαμαιρέφανον καλοῦσιν, ἢ μύουρον. Τὴν μέντοι συνεχῆ χρῆσιν τῶν τε ὑδραγωγῶν καὶ τῶν διουρητικῶν ὡς ἀναιρετικωτάτην παραιτητέον. — Πότημα ὑδραγωγόν.] Φοινίκων πατητῶν Γο δ', κόκκου κνιδίου ∠β', ἀλόης, νίτρου βερενικαρίου ἀνὰ ∠α'. Ἡ δόσις ∠α's'' σὺν οἰνομέλιτι. Εὐφορβίου, νίτρου ἀνὰ ∠δ', τηλίνου ἀλεύρου ∠η'. Ἡ τελεία δόσις ∠δ' σὺν οἰνομέλιτι. Ἡ διὰ ὀξυμέλιτος πικρὰ κατὰ βραχὺ κενοῖ μηδὲν τῶν δυνάμεων ἀποκόπτουσα· κεῖται ἐν τοῖς ἡπατικοῖς. — Πότημα ἁπλοῦν.] Σκίλλης τοῦ ἐντὸς λ β', οἴνου αὐστηροῦ ξεστία γ'. Ἑψήσας εἰς ἀποτρίτωσιν δίδου ἐκ τοῦ οἴνου κατὰ ἡμέραν ἀπὸ μύστρου ἀρξάμενος κατὰ πρόσθεσιν ἑκάστης ἡμέρας ἕως Γο α'. Πλέον δὲ μὴ προχωρείτω ὁ σταθμός. Τινὲς δὲ καὶ τῆς σκίλλης βραχὺ διδόασιν. — Καταπότια Διοκλέους.] Μαράθου σπέρματος, καππάρεως ῥίζης φλοιοῦ, σικύου σπέρματος, καρδαμώμου, ἠρυγγίου ῥίζης ἀνὰ ὀξύβαφον, περιστερᾶς κόπρου ὀξύβαφα δύο. Λειάνας πλάσσε καταπότια κυαμιαῖα καὶ δίδου τρία κατὰ ἡμέραν. — Πεσσὸς γυναιξὶν ὑδρωπικαῖς.] Ἀνίσου, κυμίνου, καρδαμώμου, νίτρου, ἀριστολοχίας, γλήχωνος, τήλεως, σύκων τοῦ ἐντὸς ἴσα σὺν οἴνῳ ἀναληφθέντα προστίθεται. — Καταπλάσματα.] Αἴρινον ἄλευρον μετὰ ἀψινθίου καὶ σύκων καὶ ὑσσώπου καὶ ὀριγάνου ἐν ὀξυμέλιτι, ἢ βόλβιτα ξηρὰ μετὰ ὀξυμέλιτος, ἢ βολβὸν μετὰ μέλιτος, ἢ βόλβιτα ξηρὰ μετὰ ὀξυκράτου ἢ ὀξυμέλιτος· ἐχέτω δὲ καὶ τέταρτον θείου ἀπύρου· ἢ σπυράθους αἰγὸς ἐν οὔρῳ παιδὸς ἀφθόρου· ἢ κυάμινον ἄλευρον καὶ ὀρόβινον μετὰ ὀξυμέλιτος, ἢ ἅλμης. Τὰς δὲ τῶν σκελῶν οἰδήσεις ἄρτον βρέξας καὶ λειώσας σὺν αὐτῷ ἁλὸς λειοτάτου καὶ ἐμπλάσας ἐπίχριε ἐῶν ἕως ὡρῶν δ', ἀποῤῥεύσαντος δὲ ὑδατώδους ἀποσπογγίσας καὶ ἀπομάξας ἐπάλειφε μηλίνῳ, ἢ μυρσινίνῳ, ἢ σχινίνῳ ἐλαίῳ. — Ἄλλο

Ch. 52, l. 17. ἀλωήν X, et sic semper. — 20. ὑποσκόπτουσα X. — 21. τὸ ἐντός X. — 23. ἕως Paul.; ὡς X. — 28. τοῦ Paul.; τό X. — Ib. σὺν οἴνῳ] σουσίνῳ X. — 32. σπυράθους (sc. κατάπλασσε) *Syn.*, *ad Eun.*, Aët., Paul.; σπυράθων X.

κατὰ τὰ μέσα καταπλασσόμενον· ποιεῖ καὶ σπληνικοῖς καὶ κοιλιακοῖς καὶ δυσεντερικοῖς.] Ῥοῦ βυρσοδεψικῆς, γύρεως σιτίνης ἢ αἰρίνης, ἢ κυαμίνου ἀλεύρου ℥ α', λιβάνου, σχισῆς ἀνὰ Γο γ'· σὺν ὀξυμέλιτι κατάπλασσε. — Τὸ πολυάρχειον.] Κηροῦ ποντικοῦ ℔ α', μύρου νάρδου ℔ α', τερεβινθίνης, ἀμώμου ἀνὰ Γο β', μασίχης χίας, φολιάτου ἀνὰ Γο δ', ναρδοστάχυος, πεπέρεως, κόστου, κασίας, λιβανωτοῦ, σμύρνης, βδελλίου, ἀλόης, φύλλου, κυπέρου, μελιλώτου, κινναμώμου, ξυλοκασίας ἀνὰ Γο δ', ὀποβαλσάμου Γο β'. Οἴνῳ φαλερίνῳ τὰ ξηρὰ φυραθέντα πάλιν ξηραίνεται καὶ τότε λειωθέντα ξηρὰ ἀναλαμβάνεται τοῖς τηκτοῖς καὶ ὁλμοκοπεῖται· ἐπὶ τέλει δὲ ἄβροχον ἐμπάσσεται τὸ φύλλον, εἶτα τὸ φολιάτον, καὶ ὕστατον τὸ ὀποβάλσαμον. Ἐπὶ μὲν οὖν ὑδρωπικῶν καὶ σπληνικῶν ἀκράτῳ χρηστέον, ἐπὶ δὲ στομαχικῶν καὶ κοιλιακῶν καὶ ἡπατικῶν καὶ δυσεντερικῶν μικτέον αὐτῷ διπλασίονα κηρωτήν. Τινὲς καὶ ἡδυχρόου μάγματος Γο α'ς'' βάλλουσιν. Τὸ διὰ σπυράθων κεῖται ἐν τοῖς σπληνικοῖς. — Ἰπωτήριον ὑδρωπικοῖς, σπληνικοῖς, ἰσχιαδικοῖς, ἀρθριτικοῖς.] Κολοφωνίας, κηροῦ, πίσσης βρυτίας, νίτρου, θείου ἀπύρου ἀνὰ ∠ιβ', στυπτηρίας φορίμης, λιβάνου, ἐλαίου παλαιοῦ ἀνὰ Γο ς'. Ἐμοὶ δοκεῖ ἐπὶ μὲν ὑδρωπικῶν ὑφαιρεῖν τοῦ νίτρου τὸ ς'' διὰ τὸ μὴ ταχέως φοινίσσειν· ἐπὶ δὲ τῶν ἄλλων παθῶν ὡς ἔχει. — Ὑδρωπικῶν ἐμπνευματουμένων.] Ἄρτου ℥ α', κυμίνου ℥ τὸ δ', σαμψύχου Γο γ', πυρέθρου Γο β', εὐφορβίου Γο α'. Σὺν οἰνομέλιτι κατάπλασσε τήν τε ῥάχιν πᾶσαν ἕως τῶν συνωμίδων καὶ ἰσχίων καὶ τὸ ἐπιγάστριον ἕως μασθῶν· ἐπίλυε δὲ παρὰ μίαν καὶ πάλιν κατάπλασσε. Ποίει ἐντὸς ε' ἢ ς' καταπλασμάτων· ἐγὼ στρούθιον ἀντὶ εὐφορβίου ἔβαλον. — Ἄλλο κάλλιστον.] Στέατος χοιρείου παλαιοῦ, δαφνίδων, ἀλῶν κοινῶν. Κατάπλασσε συχνῶς.

νγ'. Περὶ χολέρας.

Χολέρα ἐστὶν ὅταν ἐξ ἀπεψίας ἔμετος χολωδῶν καὶ ὀξωδῶν καὶ κνισωδῶν πλειόνων γένηται καὶ ἡ κάτω κοιλία ὅμοια διαχωρῇ, δίψος τε παρακολουθῇ καὶ ἐφίδρωσις καὶ τῶν σφυγμῶν ἐκκοπὴ καὶ μυῶν τῶν ἐν ἀγκῶσι καὶ μηροῖς καὶ γαστροκνήμαις συνολκή τε καὶ τάσις. Ἀπερατέον οὖν εὐθέως τὸ διεφθορὸς ὕδατος χλιαροῦ ποθέντος· τό τε γὰρ ὑδρόμελι πνευματοῦν ἐπιτείνει τοὺς στρόφους, τὸ δὲ ὑδρέλαιον ἐρεθίζει τοὺς ῥευματισμούς. Συνεργητέον δὲ καὶ τῇ διὰ κοιλίας ἐκκρίσει. Ὅταν δὲ ἡ μὲν ἔκκρισις παύσηται, συντήξεως δὲ ᾖ τὰ ἐκκρινόμενα, οἷον ξυσματώδη, γλοιώδη, μυξώδη, ἰσχνότης τε τῆς τοῦ σώματος περιοχῆς γίνηται, μάλιστα τῆς γαστρὸς συμπιπτούσης, τοῦ τε σφυγμοῦ μειουμένου καὶ πυκνουμένου ἀμετρότερον, σκέπειν τε καὶ θάλπειν τὴν κοιλίαν, λιπαίνειν τε τὰ κῶλα καὶ τοὺς μυώδεις τόπους, καταπλάσσειν τε τὸ διὰ φοινίκων μετὰ οἰνάνθης καὶ ἀκακίας καὶ ὑποκιστίδος καὶ ῥοῦ καὶ σιδίων, διδόναι τε καταῤῥοφεῖν ὕδατος ψυχροῦ κατὰ κύαθον· ἐπιεικῶς δὲ ἔστω ψυχρόν· τό τε γὰρ ἀθρόον ἀπεμεῖται, καὶ τὸ πάνυ ψυχρὸν ἐστιν ὅτε πλῆξαν ἀποστρέφει τὸ ἔμφυτον θερμὸν ἢ φλεγμονὴν ἀπεργάζεται. Ἐμπεπάσθω τε τῷ ῥοφουμένῳ ὕδατι οἰνάνθης, ἢ ἐμβρεχέσθω, ἢ ἕλικες ἀμπέλου, ἢ ῥόδα ἁπαλά. Ἢ χυλὸν δοτέον ῥοᾶς βραχὺ ἡδυόσμου ἐμπάσσοντα.

19. Ποίει..... καταπλασμάτων] *atque id quinquies aut sexies facito* Aët. lat. — Ch. 53, l. 31-32. φοινίκων Aët., Paul.; φοινίκων μήλων X. — 36. ἡδυόσμου Aët.; ἢ ἡδυόσμου X.

βέλτιον δὲ ὁ τῆς ὀξυγλύκεος ῥοιᾶς χυλός. Δριμυτέρων δὲ ὄντων τῶν ἐκκρινομένων σικύου σπέρμα βραχὺ καὶ λεπισθὲν καὶ τριφθὲν διδόσθω μετὰ ὕδατος κυ. γʹ, ἔστιν ὅτε καὶ μετὰ ἀμύλου. Ἀκατασχέτου δὲ τῆς φορᾶς οὔσης καὶ τοῦ σφυγμοῦ θρυπτομένου καὶ περιψύξεως καταλαμβανούσης καὶ περιιδρώσεως, ἐνίοτε καὶ λυγμῶν, ἐπὶ οἶνον ἐλθετέον στύφοντα μετρίως ἄνοσμον σὺν χόνδρῳ ἢ μετὰ ψιχῶν, καὶ ἐκ διαλειμμάτων καταῤῥοφεῖν διδόναι, ἢ ἄλφιτον τῷ κράματι ἐμπάσσοντα διδόναι ὁμοίως κατὰ ῥόφημα. Εἰ δὲ ἀποστρέφοιτο τὰ σιτώδη, τῶν ὡραίων τι ἀποχυλίζοντες τὸ σαρκῶδες ἀποπτυέτωσαν· ἁρμόζει δὲ ἀποχυλίζειν ὠμὸν μέσπιλον, κυδώνιον, ὀπτὸν κρουστούμινον, σταφυλὴν, μάλιστα μὲν τὴν ἀπὸ τῶν στεμφύλων, ἤδη δὲ καὶ κρεμαστὴν σὺν τοῖς γιγάρτοις· ὀσφραντὰ δὲ κυδώνιον μῆλον, ῥόδα, οἶνος, μήκων. Πρὸς δὲ τὰς συνολκὰς ῥάκη θερμὰ ἁπαλὰ ἐλαιοβραχῆ τοῖς μυσὶ περιτιθέναι, κηρωτάς τε ὑγρὰς ἐχούσας τι καὶ καστορίου καὶ σικυωνίου. Τοὺς δὲ σιαγονίτας μύας τὸ καλύπτειν ἐρίοις καὶ ἀσῶδες καὶ ἱδρωτοποιοῦν· ἐπαφαῖς οὖν αὐτοὺς μαλακτέον. Διδόναι τὰ ἐν τροφῇ ὑῶν πόδας, νεοττοὺς περιστερῶν καὶ ἀλεκτορίδων, πέρδικας, κίχλας, φάσσας.

νδʹ. Περὶ κοιλιακῶν.

Κοιλιακὴ διάθεσις ἰδίως ἐστὶν ὅτε λεῖα καὶ κάθυγρα ἐκδίδοται διαχωρήματα, ἀτονούσης τῆς γαστρὸς ἀναδιδόναι αὐτά. Κατάπλασμα οὖν λινόσπερμον μετὰ φοινίκων ἀκροχλίαρον ἐπιτιθέναι, μικτέον τε καὶ ἀκακίας καὶ ὑποκιστίδος. Ἄκρως δὲ ποιεῖ καὶ σχῖνος καὶ βάτος συνεψομένη τῷ ὀξυμέλιτι. Πάνυ δὲ ἐπιτήδειον ἐμπνευματώσεως οὔσης κυμίνου προσλαβὸν καὶ ἀνήθου καὶ πηγάνου· πάντα καταπαστέον. Κατάπλασμα ὠμήλυσις διὰ ὀξυμέλιτος. Εἰ δὲ ἐπισχεῖν θέλοιμεν τὰ φερόμενα, συνεμβαλοῦμεν μῆλα κυδώνια, στυπτηρίαν ὑγρὰν, ἀκακίαν, κηκῖδα, ὑποκιστίδα, ὁτὲ μέν τινα τούτων, ὁτὲ δὲ πάντα. Κηρωταὶ διὰ μυρσινίνου ἢ σχινίνου μετά τινος τῶν στυφόντων, οἷον κηκῖδος, σιδίων. Ἐπιθέματα ἄκρως ποιοῦντα τό τε διὰ δαφνίδων καὶ τὸ διὰ σπερμάτων, κείμενα τὸ μὲν ἐν τοῖς ὑδρωπικοῖς, τὸ δὲ ἐν τοῖς σπληνικοῖς· ἔστι δὲ τοιοῦτον. Κηροῦ, τερεβινθίνης ἀνὰ ℔ αʹ, ταυρείου στέατος, κυπρίνου, μέλιτος ἀνὰ Γο ϛʹ, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ Γο γʹ, μελιλώτου, βράθυος, κελτικῆς νάρδου, καρδαμώμου, δαφνίδων, σαμψύχου, σελίνου σπέρματος, ἀνίσου, νίτρου, ἴρεως, κυπέρου, κασίας, κρόκου, λιβάνου, σμύρνης, στύρακος, πάνακος ἀνὰ Γο αʹsʺ, ὄξους ἢ οἴνου κο. αʹ. Μὴ ὄντος πάνακος, ὀποπάνακα ἔβαλον. Ἐπὶ μὲν οὖν ὑδρωπικῶν καὶ σπληνικῶν ἀκράτῳ χρηστέον· ἐπὶ δὲ τῶν λοιπῶν ἀνετέον οὕτως. Τοῦ φαρμάκου ℔ αʹ, κηροῦ, κολοφωνίας ἀνὰ Γο ϛʹ, ναρδίνου Γο ηʹ, οἴνου βραχύ· οἱ δὲ ὄξους. Ὀποβαλσάμου δὲ προσλαβὸν ἔοικε πολυαρχείῳ· ἐχέτω δὲ Γο βʹ. Καὶ τὸ Κηφισοφῶντος, δρώπαξ δὲ ἔχων ἀσφάλτου καὶ θείου καὶ ἀδάρκης. Πότημα ἀρνογλώσσου σπέρμα μετὰ ὕδατος ἢ κράματος, ἢ σίδια ῥοιᾶς· ἐπὶ ὀλίγον δὲ στομάχου ἅπτεται· ἀλεκτορίδων δὲ κοιλία ξηρὰ ἐμπασσομένη τῷ

1. τῆς ὀξυγλύκου X. — 11. τοῖς μυσὶ Paul.; τοῖς συνελκομένοις μυσὶ Aët.; τοῖς μυκτῆρσι X. — 13. ἱδρωτοποιοῦν Aët.; ἱδρωτοποιοῦντες X. — Ch. 54, l. 23. δαφνίδων Aët., Paul.; δαφνῶν X. — 31. προσβαλῶν X.

ποτῷ, ὡσαύτως σΙρουθοκαμήλου, λαγωοῦ πυτία ἢ ἐρίφου. Ἁρμόσαι δὲ ἂν καὶ τὰ διουρητικὰ μεταῤῥευματισμὸν ποιούμενα, σέλινον, ἀδίαντον καὶ τὰ τούτοις ἐοικότα, αἵ τε ἀντίδοτοι, καὶ πάντων μᾶλλον ἡ Θηριακή. — Πότημα πρὸς κοιλιακούς.] Ῥοιῶν γ' συμμέτρων ἕψεται σίδια, ἐπὶ μὲν τῶν πυρεσσόντων ὕδατι ὀμβρίῳ, ἐπὶ δὲ ἀπυρέτων οἴνῳ κυ. ϛ', μέχρι τὸ τρίτον λειφθῇ, καὶ δίδου πρὸ τροφῆς κυ. β'.— Ἄλλο.] Ῥοιὰν περιγλύψας πλήρωσον οἴνου καὶ ἐλαίου καὶ βαλὼν ἁλὸς ὀλίγον λείου καὶ ἑψήσας εἰς τὸ τρίτον ἐπίβαλε ᾠὸν καὶ συγκινήσας ἕνωσον ἕψων ἕως συσΊάσεως, δίδου τε ἐσθίειν ἐπὶ τρεῖς ἡμέρας ἐπιδιδοὺς ἀκράτου βραχύ. — Ὁ διὰ ἠλέκτρου τροχίσκος δυσεντερικοῖς· ἔσΊι καὶ πρὸς αἱμοπΊοϊκοὺς ἔξοχον· ποιεῖ καὶ πρὸς σΊομαχικούς, φθισικούς, βήσσοντας, ἐμπυϊκούς, κύσΊιν ῥευματιζομένους, κοιλιακοὺς πινόμενος.] Ψυλλίου ∠με', μασΊίχης χίας ∠λ', ἠλέκτρου, ἴρεως, κρόκου ἀνὰ ∠λ', ὀπίου ∠ιε'. Ἑψήσας μέρος τοῦ ψυλλίου χύλιζε καὶ τῷ χυλῷ συλλέαινε τὸ ἤλεκτρον καὶ τὴν μασΊίχην, εἶτα τὸ ὑπόλοιπον ψύλλιον ὡσαύτως χυλίσας λείου ὁμοίως, τοῦ δὲ ὄντος τοῦ χυλοῦ ἐπίβαλλε τὴν ἰλλυρίδα καὶ λέαινε, εἶτα τὸ ὄπιον, ἐπὶ τέλει δὲ τὸν κρόκον ὡς μετὰ μίαν πλασθῆναι, πλάσσε δὲ τροχίσκους τριωβολιαίους καὶ ἄλλους δραχμιαίους καὶ χρῶ ἐπὶ πᾶσι τοῖς προειρημένοις. ΧρησΊέον δὲ καὶ τῷ κροκώδει, ἐπιῤῥιπΊέσθω δὲ τῇ κοιλίᾳ κηρωτὴ διὰ νάπυος ἢ τὸ διὰ τοῦ νάπυος μάλαγμα, ἢ αὐτὸ τὸ νᾶπυ ἐν ἀρχῇ, ἐμπάσσειν τε τῷ ποτῷ ὄμφακα ξηρὸν κοπέντα καὶ σησθέντα· ἔσΊω δὲ ἀμιναίας σΊαφυλῆς. — Πότημα κοιλιακοῖς.] Ἀκάνθης αἰγυπΊίας, ῥοιᾶς χυλοῦ ἀνὰ ∠η', ἀκακίας χυλοῦ ∠ϛ', πεπέρεως ∠γ', κηκῖδος ∠δ', σμύρνης ∠β', κυμίνου, πεπέρεως, ῥοὸς συριακῆς, βαλαυσΊίου ἀνὰ Γο α'S'', σιδίων Γο α', σιλφίου ∠δ'. Κόψας καὶ σήσας βρέξον ἐν ὄξει καὶ λειοτριβήσας δίδου ἐξ αὐτοῦ ἤτοι ξηροῦ ∠α', ἐμπάσσων τῷ ποτῷ, ἢ φυρῶν ὀξυμέλιτι, πρωῒ καὶ ἑσπέρας. — Τὸ κλειδίον πρὸς πᾶσαν κοιλιακὴν διάθεσιν.] Κηκῖδος ὀμφακίνης ∠η', ὀπίου ∠δ'. Ὕδατι πλάσας δίδου ὀροβιαῖα καταπότια γ' μετὰ χυλοῦ ῥοὸς ἢ μύρτου. — Ἄλλο κοιλιακοῖς.] Ὠόν, μέλι, οἶνος, σιδίων βραχὺ καὶ πεπέρεως· ἀπὸ τηγάνου δίδου. —Ἡ Πολυειδοῦς σφραγὶς κοιλιακοῖς, δυσεντερικοῖς, τεταρταΐζουσιν, ὀφθαλμοῖς ῥευματιζομένοις· ἔσΊι καὶ ἀνώδυνος.] Ὑοσκυάμου λευκοῦ σπέρματος ∠δ', ἀνίσου ∠β', σελίνου σπέρματος ∠δ', μήκωνος ∠α', ὀπίου ∠α'. Λεάνας μετὰ ὕδατος μὴ πάνυ ψυχροῦ πλάσσε τροχίσκους ὀβολιαίους, καὶ δίδου ἕνα μετὰ ὕδατος μὴ πάνυ ψυχροῦ. — Ὁ διὰ σπερμάτων.] Ἀνίσου, ἄμμεως, μαράθου σπέρματος ἀνὰ δραχμαὶ ι', σελίνου σπέρματος ∠ι', πετροσελίνου, ὀπίου ἀνὰ ∠β', ὑοσκυάμου σπέρματος ∠α'S''. Πλάσσε τροχίσκους.

νε'. Περὶ δυσεντερικῶν.

Δυσεντερία ἕλκωσις τῶν ἐντέρων ἐσΊὶ νομώδης ἐπὶ ἧς ἀποκρίσεις γίνονται χολώδεις ποικίλαι, εἶτα πρὸς ὀλίγον αἱματώδεις καὶ χολώδεις καὶ ἐπὶ τέλει ἰχωρώδεις, ὁποῖαι ἀπὸ τῶν νεκρωθέντων σωμάτων εἰώθασι ῥεῖν. ΚαταπλασΊέον οὖν τοῖς ἐπὶ τῶν κοιλια-

2. μετὰ ῥευματ. X. Conf. Aët. — 6. ὀλίγου X. — 8. ἐπιδιδῶν X. — Ib. βραχέος X. — 13. τοῦ δέοντος X. — Ch. 55, l. 34. εἶτα Paul.; ἤτοι X. — Ib. πρὸς λόγον X.

κῶν καταπλάσμασι, καὶ μάλισ7α εἰ Φλεγμαίνοιεν. Θρεπ7έον δὲ μετὰ ε' ἡμέραν αἰγείῳ γάλακτι κερασθέντι μέλιτι μόνῳ, ἀρκούμενον ἐπὶ δύο ἢ τρεῖς ἡμέρας, εἶτα μέλι μὲν μὴ μιγνύειν, αὐτὸ δὲ τὸ γάλα ἕψειν εἰς ἥμισυ καὶ διδόναι τροφήν· μετὰ δὲ ἡμέρας γ' πάλιν εἰς ἀποτρίτωσιν ἕψοντα διδόναι· προσεπιδοῦναι μέντοι καὶ ἄρτον διάβροχον, ἤτοι καὶ πόλτους μετὰ γάλακτος ἐσκευασμένους δοτέον. Λαχάνων δὲ οὐ πολλὴ μὲν αἵρεσις, ὅμως δοτέον αὐτοῖς ἀπογεύεσθαι σέρεως ἑφθῆς καὶ ἀρνογλώσσου καὶ κράμβης διέφθου δυσὶν ὕδασιν ἑψομένης· βέλτιον δὲ εἰ τὸ δεύτερον ὀξυκράτῳ κερασθείη. Σάρκες δὲ οὐ πάνυ ἁρμόζουσι τοῖς δυσεντερικοῖς, ἐν χρονισμῷ δὲ ἀναγκαῖον εἰς αὐτὰς συνδραμεῖν. Αἱρετέον οὖν τήν τε τῶν πτηνῶν καὶ τὴν τῶν ἀγριμαίων. Ὀπώρας δὲ Φειδὼ ἔσ7ω· εἰ δὲ ἄρα ἀποκάμοι ὁ σ7όμαχος ὑπὸ τῆς ξηρότητος, συγχωρητέον ἄπιον ἑφθὴν καὶ κυδώνιον ἑφθὸν, σ7αφυλήν τε τὴν ἐκ χύτρας καὶ τὴν ἐκ τῶν σ7εμφύλων· καρύων δὲ καὶ μεσπίλων καὶ κράνων ἀβλαβῶς ἂν δοθείη. Ποτὸν ἐν ἀρχαῖς ὕδωρ ὄμβριον ἢ πηγαῖον, ἐνδέχεται δὲ ἐναφέψειν τῷ ὕδατι ὀπώραν τινὰ σ7ύφουσαν εὐσ7ομαχίας ἕνεκα, μάλισ7α ῥοιὰν, γίγαρτα τεθλασμένα· ὕσ7ερον δὲ κεκμηκότος τοῦ σ7ομάχου οἶνον δοτέον σαβῖνον, ἀλβανὸν, σουῤῥεντῖνον, καίκουβον· ἐφεκτικώτεροι δὲ σουῤῥεντῖνος, σιγνῖνος, καὶ τούτων μᾶλλον μαρσικός. — Ἐνέματα δυσεντερικοῖς.] Ἁρμόζει τοῖς δυσεντερικοῖς διὰ τοὺς ἐνοχλοῦντας τεινεσμοὺς π7ισάνης χυλὸς μετὰ σ7έατος ὑείου· βέλτιον δὲ ποιεῖ αἰγείου ἢ τράγου προσλαβόν. Εὐθετώτερον δὲ χόνδρου ἢ ὀρύζης χυλοὶ, ἢ πυρίνης π7ισάνης. Ἔσ7ιν ὅτε δὲ ἀνενδότου οὔσης τῆς πρὸς τὴν ἔκδοσιν προθυμίας ἅλμη ἐνεθεῖσα ἀπήλλαξε τελέως πάσης ὀχλήσεως· ἀρκοῦσι δὲ ἁλῶν ∠ϛ' ἐν κοτύλῃ θερμοῦ ὕδατος. Εἰ δὲ αἷμα ἀποσ7άζοιεν, ἐνετέον χυλὸν πολυγόνου ἢ ἀρνογλώσσου μετὰ ἀκακίας, ἢ λυκίου, ἢ ὑποκισ7ίδος, ἢ βαλαυσ7ίου, ἢ σιδίων. Εἰ δὲ ἐπείγοι, καὶ ἴσχαιμόν τι ἐνετέον, οἷον τέφραν οἰσυπηρῶν ἐρίων ἢ σπόγγου καινοῦ βραχέντος πίσσῃ ὑγρᾷ, ἢ αἵματι βοείῳ καυθέντι, ἢ ὀθονίου τέφρᾳ προβραχέντος σ7υπ7ηρίᾳ διαλελυμένῃ καὶ ξηρανθέντος, ἢ ὀνίδος χυλῷ, μάλισ7α μὲν αὐτομάτως ὑγρᾶς ἐνιέναι, ἢ μετὰ χυλοῦ πολυγόνου, ἢ ἀρνογλώσσου βραχείσης καὶ ἀποχυλισθείσης. Νομῆς δὲ οὔσης ἰσχυρᾶς ἐπὶ τὰ ἐσχαροῦντα ἔρχεσθαι· ἔσ7ι δὲ ταῦτα ξηρά τε καὶ τροχίσκοι ἐνιέμενοι. — Τροχίσκος Μάγνου τοῦ ἐφεσίου.] Ἀρσενικοῦ ∠ζ', σανδαράκης ∠η', χάρτου κεκαυμένου ∠λ', ἀσβέσ7ου ∠β', λιβανωτοῦ ∠ε'. Λεαίνεται οἴνῳ μυρτίτῃ καὶ πλάσσονται τροχίσκοι ∠γ' ἢ δ' ἢ β'. Ἐνίεται δὲ πρὸς ἡλικίαν καὶ δύναμιν μετὰ ἀφεψήματος βάτου, ἢ σιδίων, ἢ μύρτων συγκαθηψημένων μετὰ Φακῆς ἀφεψήματος. — Τροχίσκοι Φαυσ7ίνειοι· ὧν ὁ μὲν λαμβάνει χάρτου κεκαυμένου ∠λ', ἀσβέσ7ου ∠κε', σανδαράκης ∠ι, ἀρσενικοῦ ∠ιβ'. Τὸ ἔνεμα Φακῆς καὶ μύρτων ἀφεψήματι ὡς ἐπὶ τοῦ Ἀνδρομάχου ∠β'· εἰ δὲ χρονία εἴη ἡ διάθεσις, καὶ ἁλῶν ∠β'. Ὁ δὲ ἕτερος ἀσβέσ7ου ∠ι', σανδαράκης ∠ϛ', ἀρσενικοῦ ∠η', χάρτου κεκαυμένου ∠λ'. Ἀνάπλασσε διὰ οἴνου ἀνὰ ∠δ'. Ἐνίεται καὶ οὗτος ἀφεψήματι Φακῆς καὶ μύρτων, τῆς μὲν Φακῆς διὰ ὕδατος κερασθείσης, τῶν δὲ μύρτων διὰ οἴνου· πλῆθος δὲ μέχρι κυάθων η' ἢ θ'. — Ὁ τοῦ

7. δισέφθου (om. δυσὶν ... ἑψομένης), Paul. Conf. Aët. — 12. μέσπιλον καὶ κράνην X. — 16. μαρσικός ex em.; μαρισινός X. — 25. χυλῷ Paul.; χυλοῦ X. — 26. βραχέντι καὶ ἀποχυλισθέντι X. — 28. ἐνιέμενα X.

Ἀνδρομάχου τροχίσκος δόκιμος.] Ἀρσενικοῦ ∠ιβ', χάρτου κεκαυμένου, ἀσβέστου ἀνὰ ∠ιε', σανδαράκης ∠ς', ὑποκιστίδος ∠ς', στυπτηρίας σχιστῆς ∠δ', λεπίδος χαλκοῦ ∠δ', λείου οἴνῳ μυρτίτῃ ὃν χρὴ οὕτως ἕψειν. Μύρτων μελάνων ℥ β'· ἕψει οἴνῳ αὐστηρῷ ἰταλικῷ, ἢ ἀμιναίῳ ℥ γ' ἕως ἥμισυ λειφθῇ. Λείου τὰ ξηρὰ οἴνῳ. Ἐπὶ πάντων δὲ τῶν τροχίσκων ὕστατον τὴν ἄσβεστον ἐπίβαλλε. Οἱ μέντοι τροχίσκοι ἔστωσαν ∠γ', οἱ δὲ δύο, οἱ δὲ ἑνός. Ἐνίεται δὲ διὰ ὕδατος ἀφεψήματος φακῆς καὶ ῥόδων καὶ μύρτων διὰ οἴνου, ἴσων κιρνωμένων τοῦ τε οἴνου καὶ τοῦ τῆς φακῆς ἀφεψήματος· ἔστω δὲ τὸ πᾶν ἰταλικὸς ℥. Δίδοται τελείοις μὲν ∠γ' ἢ δ', παιδίοις δὲ ∠β'. — Τροχίσκος ἁπάντων ἀμείνων, ὧν ἐπιστάμεθα, προσαγορευόμενος Νυμφοδότου· σύγκειται μὲν παρὰ τῶν Φαυστιανῶν, διαφωνεῖ δὲ ἡ τοῦ ἀρσενικοῦ σύσταθμία, πρακτικώτερος δὲ ἐπὶ τῶν ἔργων ἐφάνη· ἔστι δὲ οὗτος.] Χάρτου κεκαυμένου ∠λ', ἀρσενικοῦ ∠η', ἀσβέστου ∠ι', σανδαράκης ∠ς', οἴνου αὐστηροῦ ℥ γ'. Ἕψεται κατὰ αὐτὸν ὁ οἶνος ἕως λειφθῇ τὸ τρίτον καὶ οὕτω μίγνυται τοῖς ξηροῖς ἐν θυίᾳ, καὶ λειαίνεται μέχρι συστάσεως καὶ πλάσσονται τροχίσκοι ἀνὰ ∠δ'. Ἡ χρῆσις δὲ αὐτῶν πρὸς δύναμιν, ἡ δὲ ἔνεσις διὰ οἴνου τε καὶ ὕδατος, τῷ μὲν ὕδατι φακῆς καὶ ῥόδων ξηρῶν ἐναφηψημένων, τῷ δὲ οἴνῳ μύρτων, ὥστε τὸ πᾶν ἐξ ἀμφοτέρων πλῆθος κοτύλης γενέσθαι. Πρὸ μιᾶς δὲ ἐμβρεχέσθω ὁ στόμαχος μυρσινίνῳ τε καὶ οἴνῳ παλαιοτέρῳ· τὸ γὰρ φάρμακον εἴωθεν αὐτοῦ καθάπτεσθαι. Καὶ πρὸ τῆς ἐνέσεως δὲ ψωμοὺς ὅσον δύο ἢ τρεῖς [τῷ] πάσχοντι δοτέον, πυρετοῦ μὲν ὄντος σφοδροῦ ἐξ ὕδατος ψυχροῦ ἢ γαλακτώδους· μικροῦ δὲ ὄντος καὶ εὐκαταφρονήτου ἢ μηδὲ ὅλως παρόντος κράματι τὸν ἄρτον ἐμβρεκτέον. Εἰ δὲ μετὰ τὴν ἔνεσιν ἐκκαίοιτο ἢ καὶ ἀνατρέποιτο ὁ στόμαχος, δοτέον τεθαῤῥηκότως αὐτῷ ψυχρὸν καὶ παραθετέον θριδακίνης θυρσάριον διὰ ὄξους μετὰ ἄρτου καθαροῦ καὶ ἐλαίας λευκὰς διὰ ὄξους ὁμοίως. Ἐπὶ δὲ τῶν ἅμα τῷ ἐνίεσθαι τὸ φάρμακον ἐκβαλλόντων καὶ κρατεῖν τοῦ ἐνέματος οὐ δυναμένων προενιέναι ἅλμην· τινὲς δὲ ἁλὸς ἀμμωνιακοῦ κοχλιάριον α' ἢ μικρῷ πλεῖον συγκαταμιγνύουσι τῷ φαρμάκῳ· ἡμεῖς δὲ τοῦ ζωμοῦ τῶν ἁλμάδων ἐλαιῶν τῶν λευκῶν ὅσον κυάθ. ς' προενίεμεν καὶ διαστήσαντες ἡμιώριον ἢ μικρῷ πλεῖον ἐνίεμεν τὸν τροχίσκον, καὶ κατέχουσιν αὐτό, καὶ τὸ φάρμακον μᾶλλον ἐνεργεῖ γυμνοῖς τοῖς ἕλκεσι προσπίπτον. Καὶ κατὰ αὐτὴν δὲ ἡ τῶν κολυμβάδων ἐλαιῶν ἅλμη μιᾶς κοτύλης πλῆθος ἐνιεμένη θερμὴ πρακτικῶς βοηθεῖ. — Τροχίσκος κατωτερικὸς Πρισκιανοῦ.] Ἀρσενικοῦ, σανδαράκης, χάρτου κεκαυμένου ἀνὰ ∠ιβ', ἀσβέστου ∠η'. Τὸ τέλειον ἔνεμα ∠γ', τὸ μέσον β's''... β' πρὸς δύναμιν· ἐν δὲ τῇ ἐνέσει προθεραπεία ἡ αὐτὴ ἡ ἐπὶ τοῦ Νυμφοδότου προειρημένη. — Ἐπίθεμα δυσεντερικοῖς.] Στυπτηρίας ὑγρᾶς, ἀκακίας, κηκῖδος, σιδίων, πίτυος φλοιοῦ ἀνὰ ∠α's'', κηροῦ Γο β', μυρσινίνου ἢ σχινίνου ἢ μηλίνου χ α'. Πλὴν τῆς στυπτηρίας τὰ ξηρὰ κόψας καὶ σήσας ἕψε ἐν οἴνῳ καὶ λειοτριβήσας ἐπίβαλλε ἐν τῇ θυίᾳ τὴν στυπτηρίαν, ἐπὶ τέλει δὲ τὴν ἀκακίαν καὶ συλλειώσας ἀναλάμβανε τῇ κηρωτῇ. — Πότημα δυσεντερικοῖς, καὶ μάλιστα κοιλιακοῖς χρονίοις.] Ἄμμεως ∠η', βαλαυστίων, κηκῖδος ἀνὰ ∠δ', πεπέρεως ∠β'. Δίδου κοχλιάριον μετὰ ᾠοῦ ῥοφητοῦ ἢ μετὰ ὕδατος, ἀπυρέτοις δὲ μετὰ κράματος. — Τροχίσκος ποτιζόμενος πρός τε κοιλιακοὺς καὶ δυσεντερικοὺς

9. ὧν ex em.; ὡς X. — 18. [τῷ] ex em.; om. X.

διδόμενος μετὰ ὕδατος θερμοῦ κυ. γʹ δραχμῆς μιᾶς πλῆθος.] Ἀνίσου, σελίνου, ἄμμεως, ὑποκιστίδος χυλοῦ, βαλαυστίων, ὑοσκυάμου λευκοῦ σπέρματος ἀνὰ ∠ηʹ, ὀπίου ∠δʹ· ἐν ἄλλῳ τὸ ὄπιον ἴσον. — Τροχίσκος ὁ Ἄνδρωνος ἐνιέμενος δυσεντερικοῖς ∠αʹ ἢ βʹ πλῆθος.] Σιδίων, ἀριστολοχίας στρογγύλης, κηκῖδος ἀνὰ ∠ηʹ, στυπτηρίας σχιστῆς, λιβανωτοῦ, ἀλόης ἀνὰ ∠δʹ, σμύρνης, χαλκάνθου ἀνὰ ∠βʹ. Λέαινε μετὰ γλυκέος κρητικοῦ καὶ ἀποτίθεσο ἐν χαλκῷ ἀγγείῳ. Ποιεῖ δὲ πρὸς νομὰς, γαγγραίνας, ὦτα πυῤῥοοῦντα, ἄνθρακάς τε, ἔτι τε ἕλκη παλαιὰ καὶ νεμόμενα, ῥυπαρά τε καὶ ἕρπητας καὶ τὰ ὅμοια. — Κοιλιακοῖς, δυσεντερικοῖς ποτήματα.] Νάρδος πινομένη στεγνοῖ κοιλίαν, σμύρνης καλῆς κυαμιαῖον μέγεθος στερεὸν καταπινόμενον, σπέρμα ἀγρίου λαπάθου ὕδατι ἐπιπασθὲν, λαγωοῦ πυτίας τριώβολον σὺν ὕδατι, κέρατος ἐλαφείου κεκαυμένου καὶ πεπλυμένου κοχλιάρια βʹ σὺν τραγακάνθῃ, ἢ αὐτὴ ἡ τραγάκανθα, ἢ ῥοῦς, ἢ κηκὶς ὀμφακίνη, ἢ σίδια, ἢ βάτου ῥιζῶν ἀφέψημα ἀποτριτωθὲν, ἢ λάδανον σὺν οἴνῳ αὐστηρῷ, ἢ ἀκακίας χυλὸς, ἢ ὑποκιστίδος, ἢ λύκιον ἰνδικὸν, ἢ σάμιος ἀστὴρ, ἢ βαλαύστιον. Ἔστι δὲ ἔνια αὐτῶν κακοστόμαχα· διὸ μετὰ περισκέψεως διδόσθω, μήτε πυρέσσουσι, μήτε ὀδυνωμένοις· πρὸς δὲ καὶ εὐτονοῦσι τὸν στόμαχον. — Ἐνέματα ἐπὶ τῶν μηδέπω νεμομένων ἑλκώσεων.] Πυρῶν χυλοῦ, ἢ τράγου, ἢ χόνδρου, ἢ πτισάνης, ἢ ὀρύζης μετὰ στέατος τραγείου, ἢ αἰγείου, ἢ γάλακτι λίαν θερμῷ, ἢ μετὰ ἀμύλου. Συμπλεκέσθω δὲ ἑκάστῳ ἐνέματι ἀφέψημα μύρτων, ἢ ῥόδων, ἢ σιδίων, ἢ φακοῦ, ἢ βαλαυστίου· συνηψήσθω δὲ τοῖς χυλοῖς ἢ σχῖνος, ἢ μυρσίνη, ἢ ἀκακία. — Δυσεντερικοῖς τροχίσκος κατωτερικός.] Ἄρτου ἀλεξανδρίνου ∠λβʹ, ἀρσενικοῦ ∠ιαʹ, ἀσβέστου ∠ηʹ, σανδαράκης ∠ηʹ. Τὴν σανδαράκην σὺν τῷ ἀρσενικῷ λείου ἐπὶ ἱκανὰς ἡμέρας σὺν οἴνῳ, εἶτα τὴν ἄσβεστον, εἶτα τὴν τοῦ ἄρτου σποδιάν· πλάσας δὲ τροχίσκους ὡς ἐπὶ τοῦ Νυμφοδότου δίδου. — Ἄλλο δυσεντερικοῖς.] Ἀσβέστου, ἀρσενικοῦ, στυπτηρίας σχιστῆς ἀνὰ ∠ηʹ, ἀκακίας ∠γʹ, χαλκοῦ κεκαυμένου, ὀπίου, βαλαυστίου ἀνὰ ∠αʹ. Λείου ἐν οἴνῳ, ἐνίε δὲ ∠βʹ τελείοις μετὰ οἴνου καὶ ὀρύζης χυλοῦ. — Τροχίσκος ὁ Φιλάδελφος πρὸς δυσεντερίας καὶ αἱμοῤῥαγίας.] Σανδαράκης, ἀρσενικοῦ ἀνὰ Γο αʹSʺ, τιτάνου ∠γʹ. Λείου οἴνῳ αὐστηρῷ καὶ ποίει τροχίσκους ἀνὰ ∠δʹ καὶ γʹ [καὶ] δύο, καὶ ἐνίε πρὸς δύναμιν μετὰ οἴνου μυρτίτου. — Ὑποθετὸν δυσεντερικόν.] Κρόκου Γο βʹ, ὀπίου ∠δʹ, λιβάνου Γο αʹSʺ, σμύρνης Γο αʹ, καστορίου Γο δʹ. Ἀναλάμβανε οἴνῳ αὐστηρῷ καὶ ποιήσας κολλύρια λεπτὰ ὑποτίθει. — Ἄλλο.] Βάλσαμον μετὰ κροκύδος παράθες τῷ δακτυλίῳ. — Ἀνωτερικὸν ξηρὸν κοιλιακοῖς, δυσεντερικοῖς.] Στυπτηρίας καὶ μαστίχης χίας ἴσα· ἕκαστον λειώσας καὶ σήσας λείου ἅμα μίσγων ἐπιμελῶς· δίδου δὲ ἐν ᾠῷ ῥοφητῷ μετρίως ὑδαρεῖ κοχλιαρίου πλῆθος ἢ ∠αʹ, τελείοις δὲ ∠βʹ ἐπὶ ἡμέρας γʹ. Ὅτε δὲ μέλλοι ῥοφᾶν, ἅλος χόνδρον ὑπὸ τὴν γλῶσσαν τιθέτω.

νϛʹ. Περὶ λειεντερίας.

Λειεντερία, ὡς αὐτὸ τὸ ὄνομα ἐμφαίνει, ἐκλεασμός τις ἐντέρων ἐστὶν, ὁποῖος ἂν γένοιτο ἀπὸ οὐλῆς, ἀποτελεῖται δὲ τὰ μὲν πολλὰ δυσεντερίας προηγησαμένης καὶ

27. [καί] ante δύο Aët.; om. X. — 34. μέλλη X.

βαθείας ἑλκώσεως οὐλῆς ἐπιγινομένης· ἐνίοτε δὲ καὶ ἀπὸ ῥευματισμοῦ ἑτέρου τῶν ἐντέρων. Παρακολουθεῖ δὲ τοῖς ἑαλωκόσιν ἔκδοσις σκυβάλων ἀκατεργάστων καὶ αὐτὸ μόνον τὸ δοκεῖν περιεπτισμένων ὥστε δηλοῦσθαι τὴν ληφθεῖσαν τροφήν. Ἐκ ταύτης οὖν διορισθήσεται τῆς κοιλιακῆς διαθέσεως ἡ λειεντερία. Ἐκ παντὸς τοίνυν τρόπου ἀνακλητέον τήν τε πεπτικὴν ἐνέργειαν καὶ τὴν καθεκτικὴν δύναμιν τῶν πεπονθότων, διαγωγῇ τῇ τε ἐπὶ κοιλιακῶν καὶ δυσεντερικῶν εἰρημένῃ· συνεχέστεραι δὲ τούτοις ἁρμόζουσι δριμυφαγίαι καὶ ἔμετοι ἀπὸ δείπνου, δρωπακισμοί τε πρῶτον χειρῶν καὶ σκελῶν, εἶτα θώρακος καὶ κοιλίας, φοινιγμοί τε οἱ διὰ μαλαγμάτων καὶ διὰ νάπυος. — Καταπότια.] Σιδίων, σμύρνης ἀνὰ ∠η', στυπτηρίας σχιστῆς, ὑποκιστίδος χυλοῦ ἀνὰ ∠δ'. Δίδου ὀροβιαῖα μεγέθη πέντε ἢ ζ'.

νζ'. Περὶ τεινεσμοῦ.

Τεινεσμὸς προηγεῖται τῶν πλείστων δυσεντεριῶν, ἔστι δὲ οὗτος προθυμία πρὸς ἔκδοσιν ἀπαραίτητος οὐδὲν ἐξάγουσα εἰ μὴ ἄρα ὀλίγα οἰνωπὰ, καὶ μετὰ ταῦτα μυξώδη ἃ σχεδὸν τῆς ἐπιτεταμένης προθυμίας γίνεται παραίτια, οἰδηματώδης δὲ φλεγμονὴ ἐντόπιος γινομένη ἔμφασιν παρέχει κοπρίου ἐγκειμένου καὶ ἐπιζήτησιν ἐκδόσεως. Δῆλον δὲ ὡς περὶ τὸ ἀπολῆγον τοῦ ἀπευθυσμένου ἐντέρου γίνεται ἡ πεῖσις ἐν ᾧ ἡ ἐκκριτικὴ δύναμις ἐγκάθηται. Ἁρμόζει δὲ, εἰ ἐνδέχοιτο, φλεβοτομία· εἰ δὲ μή γε, ἀσιτία ἄχρι τῆς διατρίτου, ὠμαί τε λύσεις θερμαὶ ἐπιτιθέμεναι κατὰ ὀσφύος καὶ ἤτρου, ἢ λάδανον μετὰ νάρδου. Μετὰ δὲ τὰς ἀποκρίσεις ἐγκαθιζέτωσαν στυμμάτων ἀφεψήματι καὶ ἀγαθίδας διὰ στυμμάτων θερμῶν προστιθέσθωσαν τῇ ἕδρᾳ, ἢ πίτυρα ἐν ἀποδέσμῳ διὰ ὀξυκράτου θερμοῦ, ἢ ὠμὴν λύσιν, ἢ σίδια ἡψημένα καὶ λελειοτριβημένα κατὰ ἰδίαν, εἶτα καὶ μετὰ μαλάχης ῥίζης. Μάλιστα δὲ ποιεῖ ἡ τῆς ἀγρίας μαλάχης ῥίζα ἑψηθεῖσα καὶ λειοτριβηθεῖσα ἐπὶ ὀστράκῳ τε πεπυρωμένῳ θερμανθεῖσα. Εἰ δὲ ἐν βάθει τὰ τῶν ἐρεθισμῶν καὶ τῆς φλεγμονῆς τύχοι ὄντα, ἐνετέον σιτώδεις χυλοὺς μετὰ στυμμάτων ἡψημένους ὥσπερ τοὺς ἄνευ νομῆς δυσεντερικούς.

νη'. Περὶ ἑλμίνθων.

Ἕλμινθες ἐν πυρετοῖς περὶ μὲν τὰς ἀρχὰς γενόμεναι τὴν ὑπόστασιν ἐξ ὑποκειμένης διαφθορᾶς ἔχουσι, περὶ δὲ τὰς ἀκμὰς ἐκ πονηρίας νόσου, περὶ δὲ τὰς παρακμὰς ἐκ μεταβολῆς τῶν ὅλων ἐπὶ τὸ κρεῖττον, αἳ δὴ καὶ τάχιον ἀποκρίνονται. Παρέπεται δὲ δηγμὸς στομάχου καὶ κοιλίας καὶ βῆχες σμικραὶ διερεθίζουσαι ἄνευ φλέγματος, ὕπνοι τε μετὰ παλμῶν καὶ ἐξαναστάσεων ἀλόγων, σφυγμὸς ἀνώμαλος· τοῖς δὲ παιδίοις καὶ μάσησις μετὰ προβολῆς τῆς γλώττης· πρὸς βραχὺ δὲ ταῦτα καὶ ἐκ διαστημάτων. Ἔνια δὲ μετὰ κραυγῆς ἐξανίσταται καὶ ταχὺ πάλιν καταφέρεται· τὰ δὲ καὶ τρίζουσι τοὺς ὀδόντας· τισὶ δὲ προστρέχουσαι τῷ στομάχῳ ναυτιῶν καὶ δηγμῶν αἴτιαι γίνονται. Ἐν μὲν οὖν ἀρχῇ τῆς νόσου τοῖς ἐπιεικεστέροις χρηστέον βοηθήμασι, καὶ μάλιστα

Ch. 57, l. 12. αἱμωπὰ Aët., Paul. — 15. ᾧ ex em.; η X.

φλεγμονῶν περὶ τὰ μέσα ὑπαρχουσῶν. Καταπλαστέον οὖν θερμίνῳ μετὰ ἴσου λινοσπέρμου ἡψημένῳ μετὰ ὑδρομέλιτος· ἔστιν ὅτε καὶ βρυωνίας ῥίζαν συνεμβλητέον λείαν, ἢ ἀψίνθιον, πληρωτέον τε τὸν ὀμφαλὸν χολῇ ταυρείᾳ, ἢ μελανθίῳ διειμένῳ γάλακτι γυναικείῳ. Εἰ δὲ ἐπείγοι τὰ τῶν ἑλμίνθων, προποτιστέον ἀψινθίῳ, ἢ σερίφῳ, ἢ ἐμπαστέον εἰς κυάθους γ′ ὕδατος μύστρου πλῆθος ἀλεύρου θερμίνου, ἢ εὐζώμου σπέρματος, ἢ κράμβης, ἢ ἀρνογλώσσου, ἢ καρδάμου, ἢ ῥοᾶς ὀξείας ῥίζης λείας, ἢ ῥίνημα ἐλαφείου κέρατος, ἢ μίλτου σινωπικῆς κοχλιάριον ἕν, ἢ καυλῶν κράμβης χυλὸν, ἢ ἀρνογλώσσου, ἢ ῥαφάνου χυλὸν, παιδίοις κυ. α′ πλῆθος, τελείοις δὲ κυ. γ′. Τινὲς δὲ καὶ ἔλαιον τοὺς ἀνεχομένους ποτίζουσιν. Τοὺς δὲ παῖδας ποτιστέον μύρτων ἀφεψήματι μετὰ ἡδυόσμου· τοὺς δὲ τελείους ἀψινθίου. Τοὺς δὲ μετὰ κοιλίας ῥεύματος ἐνοχλουμένους ὑπὸ ἑλμίνθων προποτιστέον τῷ τοῦ ἀρνογλώσσου χυλῷ· ἐπὶ ἴσης γὰρ πρὸς ἑκάτερον σύμπτωμα ἐνεργεῖ. Καταπλαστέον δὲ τούτους μιγνύοντας ὠμαῖς λύσεσι καὶ ἀψίνθιον καὶ πτέριν καὶ θέρμινον καὶ ἀβρότονον καὶ σαντόνικον· ἤδη δὲ καὶ σίδια καὶ ἀκακίαν καὶ βαλαύστια καὶ κηκῖδα· παυσαμένου γὰρ τοῦ ῥεύματος, παύεται, ὡς εἰκὸς, καὶ ἡ τῶν ἑλμίνθων γένεσις. — Περὶ πλατείας ἕλμινθος.] Καὶ ἡ πλατεῖα ἕλμινς πλεονάζει μὲν ἐπὶ πυρετῶν, γίνεται δὲ καὶ ἐν μακραῖς νόσοις· ἔστι δὲ ἡ πλατεῖα ὡς εἰπεῖν τοῦ ὑπεζωκότος ὑμένος μεταβολὴ ἔνδοθεν τῶν ἐντέρων ἐπί τι σῶμα ζῳῶδες, ἐπιφέρων δηγμοὺς τοῦ στομάχου συνεχεῖς καὶ πρὸς τὰ σιτία ἀνεπίστατον ὁρμήν· τὰ δὲ λαμβανόμενα οὐ κατατάσσεται, ἀλλὰ ταχέως ἐκκοπροῦται. Παρέπεται δὲ αὐτοῖς ἰσχνότης τοῦ σώματος καὶ ἀδυναμία μετὰ νωχελείας, συναίσθησίς τε λιμώδης· τὸ δὲ ἀψευδέστερον σημεῖον· τοῖς διαχωρήμασι συναποκρίνεταί τινα ἐμφερῆ σπέρματι κολοκύνθης. Ἡ δὲ θεραπεία σύμφωνος· προποτισμοὶ γὰρ οἱ διὰ τῶν δριμέων καὶ σκοροδοφαγία καὶ τὸ διὰ τῆς πτέρεως φάρμακον καὶ τὸ διὰ χαλκάνθου καὶ τὸ διὰ τῆς ὀξείας ῥοιᾶς ῥίζης· ἢ γὰρ ἐκκρίνεται ὅλη δι᾽ ὅλου ἄπιστον ὄψιν μεγέθους χάριν παρέχουσα, ἢ κατὰ μέρη ἀποκρίνεται, ἀπολυθεῖσα μέντοι οὐκέτι συνίσταται. — Περὶ ἀσκαρίδων.] Αἱ δὲ ἀσκαρίδες εἶδός εἰσιν ἑλμίνθων συνιστάμεναι περὶ τὰ ἔσχατα τοῦ ἀπευθυσμένου ἐντέρου καὶ τὰ πρῶτα τοῦ σφιγκτῆρος ἐπιφέρουσαι τῷ τόπῳ τούτῳ κνησμὸν ἰσχυρόν· ποιητικαὶ δὲ τοῦ πάθους αἰτίαι φαῦλαι τροφαὶ καὶ ψύξεις καὶ διαφθοραὶ σιτίων. Κενωτέον οὖν ἅλμῃ δριμείᾳ, ἢ ἀφεψήματι κενταυρίου, ἢ ἀψινθίου, θερμοτέροις τε καὶ μετὰ τὸ κενωθῆναι ὑποχριστέον τοὺς πεπονθότας τόπους, ἁπλοῖς μὲν ἀκακίᾳ, ὑποκιστίδι, ἢ ῥοὸς χυλῷ μετὰ ὑγρᾶς στυπτηρίας, συνθέτοις δὲ τῷ τε ἀνδρωνείῳ τροχίσκῳ καὶ τῇ Πολυειδοῦς σφραγίδι καὶ τῷ οἰσυπηρῷ. Τοὺς δὲ τελειοτέρους ἐνετέον τοῖς δριμυτέροις καὶ ἐγχυματιστέον κεδρίαν. Ἔστω δὲ διὰ οὗ ἐνίεμεν κεράτινος κλυστὴρ, τουτέστιν αὐλίσκος πάντοθεν διατετρημένος καὶ πρὸς τῇ βάσει εὐθύτρητος· ὃν ἐνθέντες ὑπὲρ τὸν σφιγκτῆρα πληροῦμεν κεδρίᾳ ὡς τὴν παρένθεσιν τῆς κεδρίας καὶ κατὰ τὰ πλάγια γίνεσθαι, εἶτα ἠρεμεῖν κελεύομεν, πολλάκις δὲ τοῦτο ποιοῦμεν. Ἢ κρέας ἁλιστὸν ὑπολίπαρον ἁρμόσαι δυνάμενον ἐνθέντες ἐπιδέσει χρώμεθα ἐπὶ ὅσον ἂν ὑπομένωσι χρόνον, καὶ αὐτὸ δὲ πολλάκις ποιοῦμεν. — Σύνθετα βοηθήματα πρὸς ἕλμινθας

16. ἀπυρέκτων Aët.; ἀπυρέτων Paul. — 17. τι Aët., Paul.; τό X. — 22. σύμφ. τῇ προειρημένῃ Aët. — 29. Κλυστέον Aët. — 38. τοῦτο Paul.

σΊρογγύλους.] Ἑλενίου, ἀμμωνιακοῦ θυμιάματος, πεπέρεως, ἐν ἄλλῳ πτέρεως, ἀνὰ ∠ α' s". Μετὰ ὀξυμέλιτος θερμοῦ δίδου καὶ διασΊήσας πότιζε εὐφορβίου ∠ α' ἢ β' τοῖς τελείοις. — Ἄλλο.] Πεπέρεως ὀξύβαφον, νίτρου ∠ β'. Δίδου ἐν κοτύλῃ ὕδατος προκεκενωμένῳ· βέλτιον δὲ εἰ προσλάβοι σκαμμωνίαν ὀλίγην. — Ἁπλᾶ βοηθήματα.] Πρὸς ἕλμινθας σΊρογγύλας πότιζε ὑσσώπου ἀφέψημα, πρὸς δὲ πλατεῖαν· ἐπιχωρίως κηρίαν καλοῦσιν· νίτρου, καρδαμώμου, πεπέρεως ἴσα πότιζε. Παραχρῆμα ἄγει.

νθ'. Περὶ πνευματώσεως.

Πνευματώσεως ἀρχὴ τροφὴ κακῶς διῳκημένη· παρέπεται δὲ τοῖς ἐμπνευματωθεῖσι βάρος σΊομάχου καὶ διάτασις, ἐρυγαί τε διάκενοι πρὸς ὀλίγον κουφίζουσαι, ἐποχή τε πνευμάτων διὰ κοιλίας εἰς ἔντερα παραπεμπομένων· ὑποπίπΊει δὲ καὶ ὄγκος κατὰ τὴν κοιλίαν ὑπόχαυνος εἴκων πρὸς τὰς τῶν χειρῶν ἐπιθέσεις ἀλεας*τελέως ἐνδίδωσιν. Τισὶ δὲ αὐτῶν καὶ ἀλγήματα καὶ ναυτίαι παρέπονται καὶ κεφαλῆς αἴσθησις. Εἰ δὲ πρὸ τῆς παντελοῦς ἀποκαταστάσεως τραφεῖεν, προσεμφυσῶνται τὰ μέρη καὶ διατείνονται ἐπὶ πλεῖον, ὀδύνης φερομένης πολλάκις μέχρι κλειδὸς καὶ ὠμοπλάτης καὶ ῥάχεως καὶ παντὸς τοῦ νώτου σὺν τῷ καὶ τὰς ἐρυγὰς ἐπέχεσθαι ὥς τινας καὶ πνιγμῷ δοκεῖν παραπλήσιόν τι πάσχειν. Πρὸ δὲ τῶν καταπλασμάτων σικύας προσβάλλειν πολλάκις μετὰ πλείονος φλογὸς, ἥ τε τροφὴ σιτώδης ἔσΊω, καὶ μετὰ πολὺν τῆς προσφορᾶς χρόνον προσφερέσθωσαν ποτὸν, τρίψεις τε μετὰ τὰ σιτία τῶν ἄκρων ἐπιτελείσθωσαν, ὑπαγέσθω τε ἡ κοιλία, προσαγέσθωσάν [τε] αἵ τε προειρημέναι κηρωταὶ καὶ τὰ μαλάγματα. Εἰ δὲ ἐπιτρέποιεν οἱ καιροὶ, ἐμβιβασΊέον αὐτοὺς εἰς ἔλαιον. Προκοπῆς δὲ γενομένης προσφερέσθωσαν πΊηνὰ ἐξ ὕδατος καὶ ἰχθύας τοὺς ἁπαλοσάρκους. Οἱ δὲ ἐν ἀναλήψει ἀναληπΊικῶς ἀγέσθωσαν, σιναπιζέσθωσάν τε καὶ μετὰ πολλοῦ πυρὸς σικυαζέσθωσαν καὶ καταγυμνασίαν μετιέτωσαν. Εἰ διατενὲς εἴη τὸ σύμπΊωμα, καὶ ἐν παροξυσμῷ καταπλασΊέον τῷ διὰ τοῦ νάπυος, καὶ μετὰ ὀλίγον προποτισΊέον ἀλόης ∠ α' ἢ κασΊορίου ∠ α'. Καὶ τρίψιν τε ἐν τοῖς παροξυσμοῖς προσενεκτέον τῷ σΊομάχῳ καὶ τῇ κοιλίᾳ διὰ μύρου ναρδίνου ἢ μηλίνου· λυθέντων δὲ τῶν ἀλγημάτων, προσακτέον αὐτοὺς ἐπί τε αἰώραν καὶ ἀλείμματα. Ἁρμοζόντως δὲ δίδοται εἰς νύκτα τοῖς μὴ προπιοῦσιν ἄλλο τι φάρμακον τῆς διὰ δύο πεπέρεων ὀροβιαῖον μέγεθος· εἰ δὲ εὐτονοῖεν, κυάμου αἰγυπΊίου. Ὑδροποτείτωσαν· πολλάκις γὰρ ὑδροποσία τὰς εἰς τὸ πάθος διωρθώσατο εὐεμπΊωσίας. Ἀλείμμασί τε πλέον ἢ βαλανείοις χράσθωσαν. Ἐπεχομένης δὲ τῆς κοιλίας, ἀνυπερθέτως χρησΊέον κλυσμῷ· μετὰ δὲ τοὺς παροξυσμοὺς λουσΊέον καὶ οἶνου σύμμετρον δοτέον. Ἐν διαλείμμασί τε περιπατείτωσαν οἱ εὔτονοι μὴ ἔλατΊον σΊαδίων λ', οἱ δὲ ἀσθενέσΊεροι ἔλατΊον, καὶ σκίλλινον ὄξος ῥοφείτωσαν, πρό τε τῆς τροφῆς καὶ μετὰ τὸ τραφῆναι εἰς κοίτην. Οἱ δὲ ὑπὸ πλείονος τροφῆς ἐμπνευματούμενοι, οὐ δυνάμενοι δὲ ἔλατΊον λαβεῖν διαιρείτωσαν αὐτὴν, ἐπὶ ἀρίσΊῳ τὸ τρίτον λαμβάνοντες, τὸ δὲ δίμοιρον ἐν τῷ δείπνῳ, τήν τε τῶν ὀπωρῶν καὶ τῶν λαχάνων

3. ΠΊέρεως Paul. — Ch. 59, l. 17-18. ἐπιτελείσθω X. — 18. [τε] avant αἱ om. X. — 20. πΊηνά] ἄρτον X. — 21. ἀναλήψει ἀναληπΊικῶς Aët.; ἀλήψει ἀληπΊικῶς X.

προσφορὰν ἀεὶ διὰ ὑπονοίας ἐχέτωσαν, τήν τε πολυποσίαν, βλαβεροῦ ὄντος τοῦ πλήθους τῶν ὑγρῶν. — Ὄξους σκιλλιτικοῦ σκευασία.] Σκίλλης κεκαθαρμένης καὶ διαμεμερισμένης λ ε', ὄξους ξ μη'. Τίθει ἐν ἡλίῳ θερινῷ ἡμέρας μ' καὶ μετὰ ταῦτα χρῶ.

ξ'. Περὶ είλεοῦ.

Εἰλεὸς πάθος ὀξύτατον καὶ ἐπώδυνον ἐντέρων συνιστάμενον ἐπὶ βραδυπεψίαις ἢ ψύξεσιν, ἐπειδὰν τὰ φθαρέντα μείνῃ· συνίσταται δὲ καὶ ἐπὶ σπάσμασι καὶ ῥήγμασι καὶ θλάσμασι καὶ ταῖς τῶν ἐντέρων εἰς ὄσχεον κατολισθήσεσι, καὶ ἐπὶ δηλητηρίοις φαρμάκοις. Τὰ μὲν οὖν παιδία πυριατέον ἐλαιοβραχέσιν ἐρίοις συναφεψομένου τῷ ἐλαίῳ κυμίνου, ἢ πηγάνου, ἢ ἀνήθου· ὁτὲ δὲ καὶ ἐμπαστέον τὴν κοιλίαν κυμίνῳ λείῳ, εἶτα ἐπιθετέον τὸ ἔριον. Μὴ παρηγορούμενα δὲ καταπλαστέον ὠμῇ λύσει μετὰ κυμίνου, ἢ σελίνου καὶ ἀνίσου, ἢ πηγάνου σπέρματος, ξηροβαλανιστέον τε μέλιτι καὶ κυμίνῳ καὶ πηγάνου σπέρματι καὶ νίτρῳ. Ἐγκαθιστέον δὲ αὐτοὺς εἰς ὑδρέλαιον, μετὰ δὲ ἀσιτίαν πόλτοις τρεφέσθωσαν. Ἁρμόζουσι δὲ καὶ [αἱ] διὰ τῶν φακῶν καὶ κύστεων πυρίαι· ἔστι δὲ ὅτε καὶ διὰ σπόγγων ἐξ ὑδρελαίου προσοιστέον. Πυριατέον τε καὶ τὴν ἕδραν διά τε τῶν σπόγγων καὶ διὰ ἀγαθίδων. Χρηστέον τε καὶ τρίψεσι τῶν μερῶν μετὰ πολλοῦ λίπους διὰ εὐαφῶν χειρῶν. Κηρωταὶ δὲ ἐπιτήδειοι διά τε κυπρίνου καὶ πηγανίνου καὶ ἀνηθίνου. Ἐνέμασί τε χρηστέον διὰ ἐλαίου συναφεψηθέντων αὐτῷ κυμίνου καὶ πηγάνου. Περὶ δὲ μειράκια ἢ τοὺς ἀκμάζοντας συστάντος τοῦ πάθους φλεβοτομητέον ἀνυπερθέτως ἐπαφαιροῦντας ἤτοι ἑσπέρας, ἢ τῇ ἑξῆς, συστολῇ τε χρηστέον ἄχρι διατρίτου. Εἰ δὲ κωλυθείη μὲν φλεβοτομῆσαι, ταῖς μετὰ κατασχασμοῦ σικύαις ἐντὸς τῆς πρώτης διατρίτου χρηστέον. Διασφιγκτέον δὲ πάντας προανατετριμμένων τῶν ἄκρων τοῖς θερμαντικοῖς. Ἐνετέον δὲ τούτους τὸ διὰ κυμίνου καὶ πηγάνου ἔλαιον ἢ τὸ διὰ ἀψινθίου ἔχον καὶ ἀλῶν, ἢ ὀποπάνακος ∠α', ἢ μετὰ νίτρου ∠α' ἀσφάλτου ∠δ' καὶ ἐλαίου πηγανίνου Γο γ' ἢ ε' καὶ ὕδατος Γο α', ἢ χαλβάνης ∠δ'. Κλυσμοὶ δὲ ἁρμόζουσι διὰ ῥιζῶν σικύου ἀγρίου ἀφεψήματος μετὰ ∠α' σμύρνης καὶ μέλιτος καὶ ἐλαίου, ἢ σικύου ἀγρίου ῥιζῶν καὶ ἀψινθίου ὁμοῦ ἑψηθέντων, ἢ τήλεως ἀφέψημα μετὰ ἁλῶν καὶ μέλιτος καὶ ἐλαίου. Βάλανος ἀρίστη ἡ διὰ μέλιτος καὶ κυμίνου καὶ νίτρου καὶ πηγάνου σπέρματος ξηροῦ. Τὰ δὲ διὰ ἐλαίου ἐνέματα πρὸ τροφῆς ἐνετέον, καὶ μάλιστα τὸ διὰ ἀσφάλτου· εἰ δὲ ἐπείγοι, καὶ μετὰ τροφὴν πολὺ ὠφελεῖ, καὶ αἱ σικύαι δὲ κατὰ ὅλου τοῦ ἐπιγαστρίου κολλώμεναι πολλαί, πολλάκις μόναι, [πολλάκις] δὲ κατασχαζόμεναι ἐν τοῖς ἀλγοῦσι τόποις ἐπιτεθεῖσαι, κατὰ ὧν καὶ τῇ ἑξῆς κολλητέον σικύας μετὰ ἃς μαλάγμασι χρηστέον τῷ τε διὰ δαφνίδων καὶ τῷ διὰ σπερμάτων καὶ τῷ Κηφισοφῶντος. — Πότημα.] Ἀψινθίου καὶ κυμίνου ἴσον, ἢ πάνακος μετὰ ὕδατος, ἢ καστορίου, ἢ ἀνίσου καὶ πεπέρεως ἴσον. Δίδου ∠α'ς'' μετὰ ὀξυμέλιτος, καὶ ἀνήθου ἀφέψημα σύνηθες καὶ πρόσφορόν ἐστιν. Μετὰ δὲ τὸ πιεῖν ἄρτον εἰς θερμὸν ζέον ἐμβαλὼν εὐθέως δίδου φαγεῖν τοὺς ψωμούς· σωθήσεται γὰρ κἂν ἤδη πνίγηται. Ἐναφεψέσθω δὲ ἄνηθον ὕδατι

Ch. 60, l. 8. ἐμπαστέον Aët.; ἐμπλαστέον X. — 12. [αἱ] ex em.; om. X. — Ib. καί Aët.; om. X. — 17. μειρακίων X. — 29. [πολλάκις] conj.; om. X. Voy. Aët., Paul.

καὶ ἐλαίῳ· θαυμασΐως γὰρ ποιεῖ πρὸς αὐτοὺς τοῦτο πινόμενον κἂν ἐμῶσι κόπρον. Μὴ ἐνδιδούσης δὲ τῆς διαθέσεως ποτίζειν τῇ [θηρι]ακῇ, ἢ τῇ διὰ δ[υοῖν π]επέρεων, ἢ ταῖς [εἰρη]μέναις κολικαῖς, ἢ [τῇ] Φιλωνείῳ· ἢ ἐνετέον [τ]οῖς ἀνωδύνοις κολικοῖς ἐνέμασιν. Τοὺς [δ]ὲ ἀπὸ σπασμάτων ἢ ῥηγμάτων Φλεβοτομεῖν..........

....

[ξβ'. Περὶ κολικῶν.]

.... Τὸ διὰ μελιλώτου.] Μελιλώτου Γο θ', βδελλίου Γο θ', ἀμμωνιακοῦ θυμιάματος Γο θ', μυροβαλάνου, οἰνάνθης, καρδαμώμου ἀνὰ Γο γ', κρόκου, κυπέρου, ἴρεως, ἀμώμου, ἀλόης, νάρδου κελτικῆς, κασίας ἀνὰ Γο α's'', κηροῦ ☧ α's'', τερεβινθίνης ☧ β', μηλίνου, ἢ ῥοδίνου, ἢ ναρδίνου ☧ β'. Οἴνῳ ὀλίγῳ τὰ ξηρὰ σεσησμένα ὀλμοκοπεῖται. Ἐνίοτε ἐπιβάλλομεν καὶ ὀποβαλσάμου Γο β' καὶ λιβάνου Γο α'.—Πόμα. Κολικοῖς, ἐμπνευματουμένοις, δυσπεπΐουσιν ἐπιτετευγμένον πόμα.] Ἀψινθίου, γλήχωνος, πεπέρεως λευκοῦ, κυμίνου ἀγρίου, δαφνίδων λελεπισμένων ἴσα. Ξηρὸν πότιζε κοχλιάριον ἢ μύσΐρου πλῆθος ἐν ὕδατι θερμῷ κυ. γ' νήσΐει. — Ἔνεμα ἀνώδυνον κολικόν.] Πίσσης ὑγρᾶς ∠γ', κεδρίας ∠β', ὀπίου ∠α'. Ἑνώσας ἔνιε ὅσον τὸν λιχανὸν δάκτυλον μέχρι τῆς τοῦ πρώτου κονδύλου καμπῆς μολῦναι μετὰ ἐλαίου πηγανίνου κο. α' καὶ κατὰ ἔνεσιν μίγνυε βουτύρου Γο α' καὶ τερμινθίνης Γο α's''· ὑποκάθηται γὰρ καὶ διακρίνεται. — Κατωτερικὸν κάλλισΐον ᾧ ἐγὼ ἐχρησάμην καὶ εὐδοκίμησα.] ΚασΪορίου ∠δ', κρόκου ∠β', ναρδοσΐάχυος ∠β', νίτρου ∠β', ὀπίου ∠γ', πηγάνου ∠δ', σμύρνης ∠δ'. Ἀναλάμβανε μέλιτι ἑφθῷ, ἐπὶ δὲ τῆς χρήσεως λαβὼν καρύου ποντικοῦ τὸ μέγεθος ἄνιε οἴνου κράσει καὶ ἐπίβαλλε πηγανίνου ἐλαίου κρᾶσιν, ἵνα ὦσι κράσεις δύο, καὶ οὕτω χρῶ πρὸς κοίτην προλούων τὸν ἄνθρωπον κάμνοντα. — Κοκκία ὑποθετὰ ἀνώδυνα κολικοῖς.] ΚασΪορίου, ὀπίου, σμύρνης, λιβάνου ἴσα ὑποτίθεμεν. — Φύσας ἐπὶ τῶν κολικῶν προκαλέσασθαι.] Μίσυ ὀπΐὸν μετὰ μέλιτος τὴν ἕδραν ἐπίχριε καὶ θαυμάσεις.

ξγ'. Περὶ νεφριτικῶν.

Ὀξέως παθόντων τῶν νεφρῶν Φλεβοτομεῖν ἀπὸ ἀγκῶνος καὶ ἐπαφαιρεῖν, σικυάζειν τε καὶ καταπλάσσειν, ἥ τε κοιλία ὑπαγέσθω ἁπαλοῖς ἐνέμασι διά τε ἐλαίου καὶ ἀφεψήματος τήλεως, ἢ μαλάχης καὶ ἀρτεμισίας. Ποτίζειν δὲ ἀφεψήματι Φοῦ, ἢ ἀσάρου, ἢ μήου· πλεῖον δὲ ἔσΐω τὸ πόμα, τό τε ὕδωρ καθαρὸν καὶ πηγαῖον. Γάλα δὲ καὶ ὡς τροφὴν καὶ ὡς Φάρμακον προσφέρεσθαι· ἐγκαθίσματα δὲ καὶ ἐν ταῖς ἀκμαῖς ἐπιτήδεια καὶ λουτρὰ ἐν παρακμαῖς. Τὰ δὲ καταπλάσματα ῥητίνην ἐχέτω καὶ ἀφαιρεθέντων αὐτῶν κηρώματα ἐπιτιθέσθω. Ἐπεχομένων δὲ τῶν οὔρων διὰ τὸ ἄνω που λίθοις ἐμπεφράχθαι πυριατέον καταπλάσμασι καὶ ποτισΐέον τοῖς θρύπΐουσι λίθους, μήου ἀφεψήματι· ἢ ἡμιονῖτιν ἣν καὶ πριονῖτιν καλοῦσιν, ἢ σαξιφραγές· καὶ ἐσθιόμενον δὲ ὠφελεῖ τὸ σίον· ἢ ἀγρώσΐεως καὶ τριβόλου ἀφέψημα. — Νεφριτικὸν πόμα.] Ἀνίσου,

2-4. [θηρι]... [νοῖν π]... [εἰρη]... [τῇ]... [τ]... [δ] delet. apud X. Cf. Aët.

σελίνου, πετροσελίνου, ναρδοστάχυος, πεπέρεως λευκοῦ καὶ μέλανος καὶ μακροῦ ἀνὰ ∠ι', κινναμώμου, σμύρνης, ὀπίου ἀνὰ ∠δ', καστορίου, δαύκου, σίνωνος ἀνὰ ∠β', ὑοσκυάμου λευκοῦ σπέρματος ∠α', ῥέου, σαξιφράγου, βεττονικῆς, κασίας, κυμίνου σπανοῦ, σικύου σπέρματος λελεπισμένου ἀνὰ ∠α', μέλιτος ἀττικοῦ τὸ ἀρκοῦν. Πότιζε νῆστιν καρύου ποντικοῦ τὸ μέγεθος διὰ ὕδατος θερμοῦ. — Ὁ διὰ φυσαλίδων τροχίσκος πρὸς τὰς ἐν νεφροῖς καὶ κύστει διαθέσεις καὶ πύον οὐροῦντας, ἢ μυξώδη, ἢ αἷμα, πρός τε ψώρας κύστεως καὶ ἑλκώσεις.] Σικύου σπέρματος λελεπισμένου ∠ιβ', σελίνου σπέρματος, ὑοσκυάμου σπέρματος λευκοῦ ἀνὰ ∠ϛ', κασίας ∠δ', κωνείου σπέρματος ἐπτισμένου, ὀπίου, μαράθου σπέρματος, λαπάθου ἡμέρου σπέρματος, στροβιλίων πεφρυγμένων, κρόκου, ἀμυγδάλων πικρῶν λελεπισμένων, καρύων ποντικῶν λελεπισμένων ἀνὰ ∠γ'. Τινές φησι καὶ βοτάνης φυσαλίδος ῥωμαϊστὶ οὐισικαρίας καλουμένης εἴς τε στεφάνους πλεκομένης κόκκους κε'. Λειοτριβήσας ἅπαντα γλυκεῖ κρητικῷ πλάσσε τροχίσκους· πότιζε δὲ ἀπυρετοῦσι μὲν ἐν κυάθοις τρισὶ γλυκέος κρητικοῦ, πυρέσσοντας δὲ ὕδατι θερμῷ. Ἡ δόσις ∠α' ἢ β'· ἐνίεται καὶ διὰ καθετῆρος. — Πρὸς λιθιῶντας ἀντίδοτος διουρητική.] Κρόκου ∠η', σμύρνης ∠ε', σχοινάνθου ∠δ', κασίας, ναρδοστάχυος, κόστου ἀνὰ ∠β', πεπέρεως λευκοῦ, μακροῦ, πολίου, ἀσάρου ἀνὰ ∠α's'', ἀγαρικοῦ ∠α's'', γλυκυῤῥίζης χυλοῦ ∠α's'', νήσσης θηλείας αἵματος ∠β', ὀποβαλσάμου ∠α'. Ἀναλάμβανε μέλιτι ἀπέφθῳ διπλάσιον καὶ δίδου καρύου ποντικοῦ τὸ μέγεθος μετὰ οἰνομέλιτος. Ἐν ἀντιγράφῳ δὲ καὶ ταῦτα προσέκειτο· ῥόδων ξηρῶν, μήου, ἀκόρου ἀνὰ ∠α'. Τοῖς πύον οὐροῦσι νάρθηκας καύσας καὶ λειοτριβήσας πότιζε τὴν σποδιὰν μετὰ γλυκέος κρητικοῦ ὅσον τοῖς τρισὶ δακτύλοις λάβοις. Πρὸς δὲ τὰς δι' αἵμους οὐρήσεις πότιζε τὰ μαλακὰ κάρυα μετὰ γλυκέος κρητικοῦ· τὸ αὐτὸ καὶ πρὸς δηγμούς. — Σύγχρισμα νεφριτικόν.] Κυπρίνου λ γ', κηροῦ λ β', τερεβινθίνης λ α', κενταυρίου, σατυρίου, σμύρνης, πεπέρεως, εὐφορβίου ἀνὰ Γο γ', κυπέρου, πυρέθρου, γλήχωνος ἀνὰ Γο α'. Μετὰ τὸ ἀναλαβεῖν ἀλλήλοις μίγνυε ὀποβαλσάμου Γο δ'.—Ἁπλᾶ πινόμενα.] Ἐχίνου ἄνθος, φοῦ, μῆον, ἄσαρον, ἄκορον κατὰ αὐτὸ ἕκαστον καὶ μετὰ ἀλλήλων ἐμπασσόμενα ὕδατι, ἢ ἀφηψημένα· ἀγαθὸν καὶ τὸ πετροσέλινον. — Πρὸς ἕλκωσιν νεφρῶν καὶ κύστεως.] Κωναρίων ἡμίναν, φυσαλίδας ι', κάρυα βασιλικὰ ι', κρόκου, λαπάθου σπέρματος ἀνὰ ∠η', ὀπίου ∠γ', σικύου σπέρματος ∠γ', σελίνου σπέρματος ∠γ', μέλιτος ἀπέφθου τὸ ἀρκοῦν. Ἡ δόσις τριώβολον.—Κονδῖτον νεφριτικὸν πρὸς νεφρῶν χρονίους πόνους καὶ κύστεως καὶ δυσουρίας καὶ ἰσχουρίας καὶ στραγγουρίας καὶ ψύξεις τῶν μερῶν· ἐκκρίνει δὲ καὶ πώρους καὶ λίθους θρύπτει καὶ πρὸς τὰς ἄλλας διαθέσεις τῶν αὐτῶν τόπων ποιεῖ καλῶς.] Σαξιφράγου ∠β', βεττονικῆς ∠α', πετροσελίνου μακεδονικοῦ Γρ. ϛ', ναρδοστάχυος Γρ. γ', φύλλου, ῥέου ἀνὰ Γρ. γ', ἐρυσίμου Γρ. ϛ', πεπέρεως Γρ. ιβ', μέλιτος ℥ α', οἴνου καλοῦ ℥ δ'.— Ἄλλο κονδῖτον νεφριτικόν.] Οἴνου ℥ ιβ', μέλιτος ℥ β', πεπέρεως ∠ιβ', σαξιφράγου, ναρδοστάχυος, πετροσελίνου, κασίας ἀνὰ ∠β'.

ξδ'. Περὶ τῶν ἐν κύστει παθῶν.

Ἰσχουρίας ὑπαρχούσης ἐν κύστει, ἢ δυσουρίας διὰ φλεγμονὴν, ἢ αἱμοῤῥαγίαν,

4. ∠α' Aët.; Γο α' X. — 11. ἀνὰ ∠ Γο γ' X.

φλεβοτομία χρησίμη, καὶ καταπλάσσειν ὥσπερ τοὺς νεφριτικούς. Θρόμβων δὲ αἵματος ἐμφρασσόντων τὴν δίοδον, ὀξυμέλιτι ποτισΊέον, ἢ κονίᾳ ἐλαίῳ κεκραμένῃ, ἢ τῇ μιθριδατείῳ, ἢ τῇ διὰ ἐχιδνῶν Θηριακῇ, ἢ τῇ διὰ αἱμάτων. Λιτὰ δὲ ποτίζειν ἀφέψημα ἀδιάντου, ἢ σίου, ἢ πριονίτιδος, ἢ ἀρτεμισίας, ἢ σικύου ἀγρίου σπέρματος, πυριᾷν δὲ διὰ ὀξάλμης, ἢ διὰ σΊακτῆς κονίας. Αἱμοῤῥαγούσης δὲ κύσΊεως διαδεῖν τὰ ἄρθρα καὶ ποτίζειν ὡς τοὺς αἱμοπΊοϊκοὺς, ἐπιτιθέναι δὲ ἔξωθεν φοίνιξιν ἀνειλημμένον ῥοῦν, ἢ χυλὸν αὐτοῦ, ἢ λύκιον, ἢ ἀκακίαν. Φλεγμονῆς δὲ ὑπαρχούσης μὴ καθετηρίζειν, ὀλιγοποσίᾳ τε καὶ ὀλιγοσιτίᾳ Θεραπεύειν, κοιλίας τε κενώσει καὶ καταπλάσμασι, καὶ τοπικαῖς σικύαις, ἐνέμασί τε διὰ ἕδρας διὰ ἐλαίου πηγανίνου. Οἷς δὲ ἐπέσχηται ἡ τοῦ οὔρου ἔκκρισις ἄνευ φλεγμονῆς τῆς ἐκκριτικῆς ἐνεργείας ἀνατραπείσης, κεντρισΊέον ὥσπερ ἀναμιμνήσκοντας τὴν ἐνέργειαν ἐγκαθίσμασι, νίτρῳ τε παραπΊομένους τοῦ πόρου, ἢ ἀφρονίτρῳ, ἢ κόρεσι τεθλασμέναις. Εἰ δὲ μὴ ὑπακούοι, καθετηρισΊέον αὐτούς· διουρητικοῖς δὲ μὴ προποτίζειν ὡς μὴ τῷ ἀπωθισμῷ προσδιατείνοιτο ἡ κύσΊις. Ταῖς δὲ ἀπὸ ψύξεως σΊραγγουρίαις ἢ δυσουρίαις ἐπαμύνειν διὰ τῶν ἀρωματικῶν προποτισμάτων, καὶ μάλισΊα τῇ Θηριακῇ, καὶ τέτΊιξι ξηροῖς ἐμπασσομένοις ὕδατι Θερμῷ σὺν ὀλίγῃ νάρδῳ. Εἰ δὲ ὥρα παρείη αὐτῶν, ἐσθιόμενοι ὀπΊοὶ ὠφελοῦσιν. ΜάλισΊα καὶ τὸ σίον δὲ ἁρμόζει. Δίαιτα δὲ διὰ Θηραίου κρητικοῦ, διὰ οἰνομέλιτος, χόνδρου ῥοφημάτων, πΊισάνης, ἀσπαράγων, μαλάχης, καρίδων καὶ τῶν ἄλλων ἰχθύων, γάλακτος, ἢ ἐριφείου κρέως καὶ ὀρνιθείου γάλακτι πεποτισμένου. Λουτρῷ δὲ σπανίως χρησΊέον· ἐπὶ οὐδεμιᾶς γὰρ περισΊάσεως ἁρμόζει τὸ λουτρόν. — Πρὸς λιθιῶντας.] Τοὺς λιθιῶντας ποτίζειν σικυοῦ σπέρμα, ἢ σελίνου, ἢ σΊαφυλίνου, ἢ δαύκου, ἢ σίου τὸ παρὰ τὰ ὕδατα φυόμενον, ἢ ταύτῃ τῇ ἀντιδότῳ λαμβανούσῃ ἀσάρου, σχοίνου ἄνθους, κασίας καὶ κινναμώμου ἴσον. Αἱμοῤῥαγούσης κύσΊεως μετὰ τῶν ἄλλων βοηθημάτων ἱκανῶς βοηθοῦσι σικύαι κατὰ κενεώνων καὶ ἰσχίων κολλώμεναι, ἐπίθεμα πρὸς τὸ αὐτὸ διὰ φοινίκων καὶ ἀκακίας καὶ ὑποκισΊίδος καὶ σιδίων καὶ σΊυπΊηρίας. Ποιεῖ δὲ ἄκρως καὶ σπόγγος ὑγρᾷ πίσσῃ δευθεὶς καὶ καυθεὶς ἀναληφθείς τε τοῖς φοίνιξιν, ἢ διὰ χυλοῦ ἀρνογλώσσου διὰ ἕδρας ἐνεθείς. — Ἐγκάθισμα εἰς τὸ αὐτό.] Ὀξύκρατον, ἢ ἀφέψημα σχίνου, ἢ βάτου, ἢ σιδίου, ἢ ῥοὸς βυρσοδεψικῆς. Θρόμβους αἵματος ἐν κύσΊει διαλύει πινόμενα σιλφίου ὀπὸς, ἢ τὰ φύλλα αὐτοῦ λεαινόμενα καὶ πινόμενα. Αἱμοῤῥαγούσης κύσΊεως ποτίζειν τῷ ῥᾶ τῷ ποντικῷ, ἢ σαμίᾳ γῇ, ἢ σφραγῖδι λημνίᾳ, καὶ τὰ σύνθετα ὅσα τοῖς αἱμοπΊοϊκοῖς δίδοται προσενεκΊέον. Πρὸς ἑλκώσεις κύσΊεως κατάπλασμα διὰ φοινίκων ἢ σΊαφίδων μετὰ κηκῖδος καὶ σΊυπΊηρίας καὶ σιδίων καὶ ἀκακίας καὶ ὑποκισΊίδος· Θερμὰ δὲ ἐπικείσθω, ἔσΊιν ὅτε καὶ φακοῦ ἐπιτιθεμένου τῷ καταπλάσματι. Ταῦτα δὲ ἤτοι φοίνιξιν ἀναλαμβανέσθω, ἢ σὺν αἰρίνῳ ἀλεύρῳ ὀξυμέλιτι ἡψήσθω. Εἰ δὲ ἄνευ νομῆς φλεγμαίνοι, ὠμῇ λύσει καταπλάσσειν, ἐγκαθίζειν τε καὶ πυριᾷν. Νεμομένης δὲ τῆς ἑλκώσεως ἐνιέναι τῇ κύσΊει διὰ καθετῆρος τὸ διὰ χάρτου. Εἰ δὲ μένει δριμύξις ἐξ ἑλκώσεως, ἐνιέναι γάλα μετὰ ἀμύλου, ἢ πομφόλυγος, ἢ τοῦ ἀσΊέρος κολλυρίου, ἢ τοῦ διὰ φυσαλίδος τροχίσκου. — Πρὸς δηγμοὺς κύσΊεως.] Δηγμοὶ περὶ τὴν κύσΊιν

11-12. παραπΊομένους τοῦ πόρου *Aët.*; παραπΊομένω τοῦ τόρου X. — 17. χόνδρων X. — 18-19. ἢ ἐριφείου ἢ X. — 21. δαυκοῦ X, et sic sæpius.

εἰ μὴ ἐπὶ προηγουμένῃ ἑλκώσει γίνοιντο, διὰ τὸ χολῶδες ἄκρατον ὑπάρχειν τὸ συνειλεγμένον περίτ7ωμα ἀποτελοῦνται· χρονίζοντες δὲ δασύνουσι καὶ ἑλκοῦσι τὰ μέρη. Ἁρμόζει τοίνυν συνεχῶς μὲν ἀποπυριᾷν, πλέον δὲ προσφέρεσθαι ποτὸν καὶ ἀπουρεῖν ἀναγκάζειν αὐτοὺς πυκνά. Προποτίζειν δὲ αὐτοὺς σικύου σπέρματι λελεπισμένῳ ἢ ἀμυγδάλοις πικροῖς, ἢ ἀμύλῳ μετὰ γάλακτος ἑφθοῦ, ἢ μετὰ Φοινικοβαλάνων ἀφεψήματος, ἢ γλυκέσιν οἴνοις. Προσλαμβανέσθωσαν δὲ καὶ οἱ καρυωτοὶ Φοίνικες. — Πρὸς τοὺς ἐν πυρετοῖς δυσουριῶντας.] Οἱ δὲ ἐν πυρετοῖς δυσουριῶντες ἐμβρεχέσθωσαν τό τε ἦτρον καὶ τὸν περίνεον μέχρι τῶν ἰσχίων πηγανίνῳ ἐλαίῳ, ἢ σικυωνίῳ, ἢ παλαιῷ, ἐπεχομένης τε τῆς κοιλίας ἐνιέσθωσαν τήλεως, ἢ μαλάχης ἀφεψήματι. Ἐγκαθιζέσθωσαν δὲ εἰς ὑδρέλαιον, ἢ τήλεως ἀφεψήματι. Ἁρμόζουσι δὲ ἐπειγούσης τῆς διαθέσεως καὶ σικύαι μετὰ ἀμύξεως, κηρωτὴ δὲ πρὸς τὰ αὐτὰ ἐπιτηδειοτάτη. Ἀγρίας μαλάχης ῥίζαι ἕψονται σικυωνίῳ ἐλαίῳ μετὰ ὀλίγου ὕδατος ἕως ξηραὶ γένωνται, καὶ αὗται μὲν ῥίπ7ονται, τὸ δὲ ἔλαιον μίγνυται χυλῷ πηγάνου ὡς εἶναι τοῦτο τέταρτον, καὶ κηροῦ καὶ κασ7ορίου τὸ ἀρκοῦν. Πότιμα δὲ τοῖς οὕτω διακειμένοις ἁρμόζει διουρητικά, ἀφέψημα πετροσελίνου, ἢ μαράθου ῥίζης, ἢ σ7αφυλίνου, ἢ μήου, ἢ ἀκόρου, ἢ κρήθμου, ἢ ἀσάρου ῥίζης, ἢ δαύκου κρητικοῦ, ἤ τινος ὁμοίου. — Πρὸς ἕλκωσιν κύσ7εως.] Ἡλκωμένοις κύσ7ιν δοτέον σικυοὺς καὶ πέπονας χωρὶς ἐμβάμματος καὶ τὰ σπέρματα αὐτῶν, σῦκα ξηρὰ καὶ καρυωτοὺς Φοίνικας καὶ Θάσια πεφρυγμένα, οἴνους δὲ Θηραίους, σκυβελίτας, προτρόπους, μελαμψιθίους λευκούς, *Θεατὰς ἰταλικούς, ἢ γλυκεῖς ἀλβανούς, Φαλερίνους, καὶ πάντων μᾶλλων καίκουβον καὶ χρυσατ7ικὸν Θερινόν. — Πρὸς παράλυσιν κύσ7εως.] Οἱ παραλυθέντες τὴν κύσ7ιν οἱ μὲν ἀπροαιρέτως ἐκκρίνουσι τὸ οὖρον, καὶ ὅσον ἐπὶ τούτῳ ἔχουσιν ἀκινδυνότερον, οἱ δὲ οὐκ ἀποκρίνουσιν, ἀλλὰ κατέχοντες διατείνονται τὴν κύσ7ιν καὶ τὴν ὀσφὺν καὶ τὸ ἦτρον καὶ ἐν οἰδήματι τοὺς μηροὺς ἔχουσι καὶ μὴ ἐξουρήσαντες νεκροῦνται τὰ ὑποκείμενα καὶ οὐκ εἰς μακρὰν τελευτῶσιν· ὅθεν ἀνυπερθέτως αὐτοὺς καθετηρισ7έον καὶ συνεχῶς εἰς ὑδρέλαιον ἐγκαθισ7έον καὶ ἐξαντλητέον πολλάκις τῆς τε ἡμέρας καὶ τῆς νυκτὸς, καὶ μάλισ7α μετὰ τὸ καθετηρίσαι· ἀγανακτεῖ γὰρ τὰ μέρη· καὶ καταπλασ7έον ὠμῇ λύσει διά τε οἴνου γλυκέος καὶ μέλιτος. Προποτισ7έον δὲ κασ7ορίῳ· ἐνετέον δὲ τοῖς διὰ πηγάνου καὶ κενταυρίου καὶ κυμίνου καὶ παλαιοῦ ἐλαίου, ἢ σικυωνίῳ. Κλυσ7ῆρές τε ὠφελοῦσι καὶ ὀλιγοποσία καὶ ἄκοπα τὰ πρὸς παραλύσεις ποιοῦντα, προποτισμοί τε κασ7ορίου καὶ διουρητικῶν. Τοὺς δὲ ἀπροαιρέτως ἐκκρίνοντας σ7υπ7ικῶς ἀκτέον καὶ τονωτέον τὰ μέρη διὰ τῶν δακνόντων καταπλασμάτων καὶ μαλαγμάτων τροφῶν τε ξηραντικῶν καὶ ποτοῦ ψυχροῦ. Ἐν δὲ ταῖς ἀναλήψεσιν εὐτονωτέρως χρῶ καὶ δρωπακισμοῖς καὶ Φοινιγμοῖς καὶ τῷ διὰ νάπυος, ἄμμῳ τε διαπύρῳ καὶ αὐτοφυέσιν ὕδασι ψυχροῖς. Τὰς δὲ ἐπὶ ῥάχεως τρώματι, ἢ π7ώματι, ἢ ὀλισθήματι Θανατικαῖς συνδρομαῖς συνεδρευούσας ἀδύνατον ἰᾶσθαι. — Πρὸς κύσ7εως αἱμοῤῥαγίαν καὶ δηγμοὺς καὶ ἑλκώσεις.] Ἀμύλου ∠η', λινοσπέρμου πεφωγμένου, σικύου σπέρματος λελεπισμένου, μήκωνος λευκῆς σπέρματος, τραγακάνθης ἀνὰ ∠δ'. Ἡ τραγάκανθαν γλυκεῖ προβραχεῖσαν καὶ ἀναλαμβάνεσθαι σὺν αὐτῇ τὰ λοιπά.

4-5. σπέρματος..... ἀμυγδάλων πικρῶν..... ἀμύλου X. — 20. καίκουβον ex em.; κυβόν X.

Ἡ δόσις τριώβολον μετὰ κυάθου γλυκέος κεκραμένου. Ἀλγήματα κύσΊεως πινόμενα ἰᾶται λινοσπέρμου κύαθος α' μετὰ γλυκέος, σήσαμον, ὁρμίνου σπέρμα, ὀξυσχοίνου καρπὸς, λωτοῦ καρπὸς, σπέρμα μήκωνος λευκῆς ἢ μελαίνης ∠α' σὺν ὑδρομέλιτι, κυδωνίων ἄνθους ἀφέψημα, ἕλικων ἀμπέλου ἀφέψημα. Πρὸς ἑλκώσεις κύσΊεως ποιεῖ μὲν καὶ τὰ νεφριτικὰ, ἰδίως δὲ ποτιζόμενα ἀνδράχνης χυλὸς σὺν γλυκεῖ, ἀγρώσΊεως πάσης ἀφέψημα, καὶ μάλισΊα τῆς ἐκ τοῦ Παρνασοῦ, ἐλάτης μυρεψικῆς ἀφέψημα, γάλα, οἶνος γλυκὺς, κυπαρίσσου κόμης μετὰ σμύρνης ὀροβιαῖον μέγεθος. Λίθους τοὺς ἐν κύσΊει θρύπΊει πινόμενα ἀγρώσΊεως, ἀδιάντου ἀφέψημα σὺν οἴνῳ, σμυρνίου σπέρμα, ὀξυμυρσίνης ῥίζα ἢ ὁ καρπὸς, ἱππομαράθου ῥίζα καὶ τὸ σπέρμα, ἀλκυονίου μιλησίου ὀβολοὶ δύο, ἀμύγδαλα πικρὰ ἐν γλυκεῖ τριώβολον σὺν οἴνῳ, τριβόλου τοῦ καρποῦ ὁ χυλὸς χλωροῦ, γλυκυσίδης ῥῶγες οἱ πυῤῥοὶ, δάφνης ῥίζης φλοιοῦ τριώβολον μετὰ οἴνου εὐώδους, καρδαμώμου τριώβολον μετὰ φλοιοῦ ῥίζης δάφνης ἴσου, κονία ἀμπέλου, ἄμωμον. — Λίθων θρυπΊικόν.] Φλόμου ῥίζης φλοιοῦ ἀφέψημα πότιζε πλῆθος· σίδηρος δὲ μηδαμῶς θιγγανέτω τῆς βοτάνης· πότιζε δὲ ἑξῆς ἡμερῶν ε' καὶ διαλίμπανε δέκα. — Διουρητικόν.] Καρδαμώμου, ἀμώμου, σχοίνου ἄνθους ἀνὰ ∠ς', κόσΊου, σμύρνης ἀνὰ ∠γ', κασίας ∠α', μέλιτος τὸ ἀρκοῦν. Ἡ δόσις κυάμου αἰγυπΊίου τὸ μέγεθος. — Ἄλλο.] Πετροσελίνου, μύρτων μελάνων ἀνὰ ∠ις', σελίνου σπέρματος ∠λβ', ἄμμεως ∠η', ναρδοσΊάχυος κελτικῆς ∠δ', σμύρνης ∠β', μέλιτος τὸ ἀρκοῦν. Ἡ δόσις ∠α' μετὰ ὑδρομέλιτος ἢ μετὰ οἴνου κεκραμένου κυάθων γ'.

ξε'. Πρὸς γονόῤῥοιαν.

Γονόῤῥοιά ἐσΊιν ἔκκρισις ἀπροαίρετος σπέρματος, ἐπὶ οἷς ἁρμόζει ἡσυχία καὶ σκέπη τῆς ὀσφύος καὶ τῶν ἐν βάθει πιλήμασί τε ῥοδίνου ἢ μηλίνου ἢ οἰνανθίνου. Ἑξῆς δὲ καταπλάσσειν τοῖς διὰ φοινίκων, μήλων, οἰνάνθης, ῥοὸς καὶ τῶν ὁμοίων, ἀκακίας τε καὶ ὑποκισΊίδος, ἐγκαθίζειν τε σχίνου καὶ βάτου ἀφεψήμασι καὶ τῶν παραπλησίων ἐν οἴνῳ καὶ ὕδατι· τροφαῖς δὲ χρῆσθαι ἀναξηραντικαῖς, μετὰ δὲ τοὺς πρώτους χρόνους ἄγειν ἐπὶ γυμνασΊικὴν ἀγωγὴν διὰ ἧς τό τε ὅλον σῶμα καὶ τὰ πεπονθότα μέλη εἰς ῥῶσιν παραχθήσονται. — Πρὸς γονόῤῥοιαν.] Θρίδακος σπέρμα μύσΊρου πλῆθος μετὰ ψυχροῦ πότιζε.

ξς'. Περὶ σατυριάσεως.

Ἡ σατυρίασις περὶ τὰ σπερματικὰ μόρια συνίσΊαται μετὰ φλεγμονῆς· δεῖ δὲ φλεβοτομεῖν τοὺς ἁλόντας τῷ πάθει καὶ μέχρι διατρίτου ἐν ἀσιτίᾳ τηρεῖν, ἐμβρέχειν τε τὸ ἦτρον καὶ τὰ ἰσχία μετὰ τῶν αἰδοίων οἰσυπηροῖς ἐρίοις διὰ οἰνελαίου καὶ διασφίγγειν τὰ ὑπερκείμενα καὶ δίψει πιέζειν, ἐπεχομένην τε τὴν κοιλίαν κενοῦν μὴ δριμεῖ κλύσματι ὡς μὴ ἐπιτείνεσθαι τὴν διάτασιν, καὶ τροφὴν σιτώδη διδόναι ὀλίγην καὶ ἐπὶ ὑδροποσίᾳ τηρεῖν. Ἐπιμένοντος δὲ τοῦ πάθους, σικυασΊέον μετὰ κατασχασμοῦ. Εἰ δὲ πλῆθος παράκειται, καὶ βδέλλαις κενοῦντα καὶ ταῖς κοιναῖς ὠμαῖς λύσεσι καταπλάτΊειν.

Ch. 66, l. 34. τὰς κοιλίας ὠμῇ λύσει Paul.

ξζ'. Περὶ ἀπράκτων μορίων.

Οἱ ἄπρακτα μόρια ἔχοντες ϖρὸς ἀφροδίσια οὐκ ἰσχύουσιν ὁρμᾷν, ἄθυμοι δὲ διὰ τοῦτο γίνονται. Γυμναζέσθωσαν οὖν τὰ κάτω μέρη τριδόμενοι τοῖς διὰ ϖεπέρεως καὶ νίτρου καὶ εὐφορδίου ἀκόποις. Σιτία δὲ αὐτοῖς θερμὰ καὶ θερμαντικὰ καὶ φυσώδη ἁρμόζει, οἶνοί τε εὐώδεις καὶ ἀμύλια, καὶ χόνδροι καὶ κῶνοι καὶ ϖράσα καὶ εὔζωμα καὶ βολδοὶ, ϖροποτισμοί τε διὰ σατυρίου καὶ ϖεπέρεως καὶ εὐζώμου σπέρματος καὶ κνήκου. Καθευδέτωσαν δὲ ἐπὶ μαλακαῖς κοίταις καὶ ἀναγινωσκέτωσαν ἀκολάσΙων ἀναγνώσματα. — Ἐντατικὸν ϖοιοῦν καὶ ϖρὸς ϖάρεσιν τῶν αἰδοίων.] Νάπυος, ϖάνακος, εὐζώμου σπέρματος ἀνὰ ἑξάγια η', καρδαμώμου σπέρματος ∠δ', ϖεπέρεως κόκκους κ'. Ὕδατι ἀναλαβὼν ἢ εὐζώμου χυλῷ ϖλάσσε τροχίσκους καὶ δίδου ∠α' νήσΙει μετὰ οἴνου χίου κύαθον ἕνα κεκραμένου χλιαρῷ κο. α'. — Ἐντατικόν.] Λαγωοῦ ϖυτίαν, ἢ λέοντος σΙέαρ χρῖε, ἢ τὰ τρία ϖεπέρια μετὰ χυλοῦ εὐζώμου. — Ἄλλο.] Εὐζώμου σπέρματος, ϖάνακος, σινάπεως ἀνὰ ∠η', καρδαμώμου ∠δ', ϖεπέρεως κόκκοι κ'. Πάντα λειάνας σὺν ὕδατι ἢ χυλῷ εὐζώμου ϖλάσσε τροχίσκους καὶ δίδου ∠α' ϖίνειν μετὰ οἴνου. — Σατυριακή.] Ζιγγιδέρεως, σατυρίου τοῦ ἀνωτέρου μέρους ἀνὰ ∠η', σκίγκου τῆς οὐρᾶς, μήου, ἀσάρου, ϖετροσελίνου, καρδαμώμου, σεσέλεως ἀνὰ ∠δ', εὐζώμου σπέρματος, κινναμώμου ἀνὰ ∠γ', ὁρμίνου, ϖεπέρεως λευκοῦ, κνίδης σπέρματος ἀνὰ ∠β', σχοίνου ἄνθους, ναρδοσΙάχυος ἀνὰ ∠δ', αἵματος τραγείου μύσΙρον α'. Δίδου ∠α' μετὰ οἴνου· τοῖς δὲ ἀσθενεσΙέροις διὰ γάλακτος.

ξη'. Περὶ κόπων.

Κόποι οἱ μὲν ἐκ τοῦ ϖλείονα διαπονῆσαι γινόμενοι φλεγμονὴν ϖερὶ τοῖς διαπονήσασι νεύροις ἀποτελοῦσιν· ἁρμόζει δὲ ἡσυχία καὶ συσΙολὴ, ἐμδροχαί τε ἀεὶ διὰ ἐλαίου. Οἱ δὲ αὐτόματοι κόποι ἐκ ϖλήθους γινόμενοι ϖολὺ ϖρότερον φλεδοτομίαν ἀπαιτοῦσιν. Οἱ δὲ ἀπὸ συνήθων ϖόνων γινόμενοι κόποι θέρμην μετὰ ϖαραλλαγῆς σφυγμῶν ἐπιφέρουσι, καὶ οὗτοι ἀσιτίαν μὲν ὑπογράφουσι, λουτροῖς δὲ ἀποκαθίσΙανται καὶ ὑγραῖς τῇ ἑξῆς τροφαῖς καὶ ὑδροποσίαις. — Σύγχρισμα τοῖς ἐκ κινήσεως κοπωθεῖσιν.] Ἀφρόνιτρον ὕδατι λύσας καὶ διηθήσας μῖξον οἴνῳ βραχεῖ καὶ ἐλαίῳ τετραπλασίονι καὶ ἐρίοις οἰσυπηροῖς ἀναταράξας ἱκανῶς θέρμαινέ τε καὶ σύγχριε τοὺς λουομένους καὶ τοὺς ἀλουτοῦντας.

ξθ'. Περὶ ῥήγματος καὶ σπάσματος.

Ῥῆγμα καὶ σπάσμα τὸ μὲν ἐν σαρκώδει μορίῳ, τὸ δὲ ἐν νευρώδει συνίσΙαται· αἰτίαι δὲ τούτων αἰφνίδιός τις καὶ ἀνώμαλος ἢ σφοδρὰ κίνησις, καὶ μάλισΙα ὅταν ἄτριπΙα καὶ ἀθέρμαντα καὶ ἀμάλακτα ϖρὸς τὰς κινήσεις ἄγηται τὰ σώματα· διασπᾶται γὰρ ταῖς τοιαύταις διαθέσεσι ϖολλὰ τῶν ἐν αὐτοῖς μορίων.

ο'. Περὶ τρόμων.

Τρόμοι ἐν ϖυρετοῖς γινόμενοι, εἰ μὲν ἐξ ἁμαρτημάτων συμβαίνοιεν, ἀποχὴ ἔσΙω

τῶν βλαψάντων, καὶ πρῶτον μὲν ἐμβρεκτέον τὸ σῶμα πᾶν ἐλαίῳ σαβίνῳ, ἐν δὲ ταῖς ἐνδόσεσι τῶν ἐπισημασιῶν παλαιῷ, ἢ σικυωνίῳ. Σκεπέσθω δὲ τὰ ἄκρα ἐρίοις μαλακοῖς προαληλιμμένα, εἶτα προσβλητέον σικύας ἀπὸ τοῦ πρώτου σπονδύλου μέχρι ῥάχεως καὶ ὀσφύος, προκαταπλασσομένων τῶν μερῶν μετὰ τῶν ὑποχονδρίων ὠμῇ λύσει. Σκεπέσθω δὲ καὶ ταῦτα ἐρίοις ἐκ παλαιοῦ ἢ σικυωνίου ἐλαίου, τροφάς τε προσοισΊέον σιτώδεις καὶ ῥοφηματώδεις θερμὰς πάσας. Εἰ δὲ χρονίσειαν οἱ πυρετοί, ἐμβιβασΊέον παρὰ μίαν εἰς ἔλαιον, καὶ τρίψεσιν ἐπιμελέσΊερον ἁπαλαῖς χρησΊέον. Εἰ δὲ ἐπιχρονίσειεν ἡ διάθεσις, προποτισΊέον κασΊορίῳ μετὰ μελικράτου, καὶ ἐν θερμοῖς τόποις αἰωρητέον, ὅτε καὶ τὰ εὐδιοίκητα τῶν πΊηνῶν καὶ ἰχθύων τοὺς ἁπαλοσάρκους προσοίσομεν. Λυθέντων δὲ τῶν πυρετῶν λουσΊέον παραιτουμένους τήν τε εἰς τὸ ψυχρὸν ἔμβασιν καὶ οἴνου πόσιν. Εἰ δὲ πεπαυμένων τρομώδεις εἶεν, ἀλειφέσθωσάν τε καὶ εἰς ὑδρέλαιον ἐμβιβαζέσθωσαν, μυρακόποις τε κεχρήσθωσαν καὶ δρωπακιζέσθωσαν τόν τε νῶτον καὶ τὴν ῥάχιν. ἘπιῤῥιπΊέσθω δὲ αὐτοῖς καὶ μάλαγμα· πάντων δὲ ἄρισΊον τὸ πολυάρχειον ἐξανειμένον κυπρίνῃ κηρωτῇ· καθόλου δὲ προνοητέον εὐσαρκίας· ταύτῃ γὰρ συναποκαθίσΊαται καὶ ἡ τῶν νεύρων ἀτονία. Πάντων δὲ μᾶλλον εὐλαβητέον ἐπὶ αὐτῶν ψύξιν καὶ ἀπεψίαν. — Πρὸς τρόμους τοὺς ἄνευ πυρετοῦ.] Πηγάνου κλωνίων, σφονδυλίου ὅσον τοῖς τρισὶ δακτύλοις λαβεῖν, κασΊορίου καὶ νίτρου ὀβολοὺς β'. Δίδου κατὰ ἡμέραν κοχλιάριον α' μετὰ ὀξυμέλιτος ἐπὶ ἡμέρας γ' νήσΊει.—Ἄλλο.] Πάνακος καὶ πεπέρεως κόκκους ε'· λεῖα πότιζε ἐν κυάθῳ α' μελικράτου. Τρέμοντας πότιζε κασΊόριον, ἀλθαίας ῥίζης ἀφέψημα, δαμασωνίου φύλλων ∠δ' ἐν μελικράτῳ, εὐπατόριον μετὰ ὕδατος ποτιζόμενον, λαγωοῦ ἐγκέφαλος ἐσθιόμενος. — Σύγχρισμα Ζωσίμου περιβόητον.] Πιτυΐνης Γο ι', κηροῦ Γο δ', ἐλαίου παλαιοῦ ℔ α', ὀποπάνακος Γο β', ἀδάρκης Γο α', εὐφορβίου, νίτρου, ἀφρονίτρου ἀνὰ Γο α', ἁλῶν Γο δ'. Τὸ ἀφρόνιτρον, εὐφόρβιον καὶ τὴν ἀδάρκην λείου σὺν οἴνῳ, εἶτα ἐπίβαλλε ὀποπάνακα καὶ λειοτρίβει, χωρὶς δὲ τὰ τηκτὰ μετὰ ἀγχούσης τῆξον ἵνα χρωσθῇ, καὶ ψύξας ἀναξύσας ἀναλάμβανε. Ποιεῖ ἰσχιαδικοῖς, ἄρθρα ἀλγοῦσι χρονίως, πλευρὰς ἐψυγμένοις, ὠμαλγίαις. — ΜετασυγκριτικὸνΤὸ πεντάμυρον.] Νάρδου μύρου ℔ γ' ἢ ℥ β', κηροῦ, σΊύρακος, μασΊίχης χίας ἀνὰ Γο γ', ὀποβαλσάμου ℔ α'. Ὁ σΊύραξ βρέχεται ἐν τῇ νάρδῳ ἡμερῶν γ' καὶ διπλώματι τακεὶς ῥίπΊεται, καὶ τότε ὁ κηρὸς τήκεται μέρει τῆς νάρδου· ἡ δὲ μασΊίχη λεαίνεται σὺν ὀλίγῃ νάρδῳ, ἐπὶ τέλει ὀποβάλσαμος.

οα'. Πρὸς παντὸς ψύχους ἀπαλλαγήν.

Λαβὼν χαμαίδρυν βοτάνην μάσησαι καταπίνων, καὶ παραχρῆμα ἀπαλλάσσῃ. Τούτου μεῖζον ἀπαλλακτικώτερον οὐκ ἔσΊιν.

οβ'. Περὶ σπασμῶν.

Σπασμοὶ ἐπὶ τῶν πυρεσσόντων εἰ συμβαίνοιεν καὶ κατὰ ὅλον τὸ σῶμα, ἐμφερῶς τοῖς τετανικοῖς θεραπεύσομεν· εἰ δὲ κατὰ μέρος, τὸ μὲν πρῶτον διακρατοῦντες τὰ

19. κυάθῳ Paul.; κόκκῳ X.

συνελκόμενα τῶν μερῶν πειθηνίως ταῖς γινομέναις ὑπὸ αὐτῶν πληγαῖς ἀντιβαίνοντες, ἀνατριπτέον τε ἐλαίῳ πηγανίνῳ, ἢ σικυωνίῳ, ἢ παλαιῷ, ἢ διὰ καστορίου, σικύας τε προσβάλλειν μετὰ κατασχασμοῦ, σκελῶν μὲν συνελκομένων ἰσχίοις καὶ τῷ ὑστάτῳ σπονδύλῳ· χειρῶν δὲ σπωμένων, νώτῳ τε καὶ τῷ πρώτῳ αὐτοῦ σπονδύλῳ τῷ τε ὑπερκειμένῳ τοῦ ὤμου ἄρθρῳ. Εἰ μέντοι ὅλου τοῦ σώματος ἀπαθοῦς ὄντος συνέλκοιτο χεῖλος ἢ βλέφαρον ἢ γλῶττα, χαλεπὸν ἡγητέον τὸ σύμπτωμα καὶ μεγάλων φόβων οἰστικόν, εἰ καὶ μικρὰ τὰ πεπονθότα μέρη εἶναι δοκεῖ. Τὰς ἀφαιρέσεις οὖν ἀπὸ τοῦ ἰνίου ἐπὶ τούτων ποιητέον καὶ τῶν πρώτων σπονδύλων.

ογ'. Περὶ τετάνου.

Τετανικῶς σπωμένους ἐν ἀρχῇ φλεβοτομητέον, ἐρίοις τε σκεπαστέον τὰ μέρη ἐλαιοβραχέσι διά τε σικυωνίου ἐλαίου καὶ καστορίου· σικυαστέον δὲ μετὰ ἀμυχῶν· αἱ γὰρ κοῦφαι καὶ βλάπτουσιν. Σικυαζέσθω δὲ αὐχὴν καὶ ῥάχεως τὰ ἑκατέρωθεν καὶ στήθους τὰ μυωδέστερα καὶ ὑποχόνδρια, ὅ τε τῆς κύστεως τόπος καὶ ὁ τῶν νεφρῶν. Φειστέον δὲ τῆς ἀφαιρέσεως οὐκ ἀθρόως ἀφαιροῦντας, ἀλλὰ μεμερισμένως· τοὺς δὲ ἱδρῶτας ἐλαιοβραχέσιν ἐρίοις ἀναρπάζειν μὴ λάθωσι ψύξαντες. Εἰ δὲ χρονίσειεν ὁ τέτανος, εἰς ἔλαιον ἐμβιβάζειν δὶς τῆς ἡμέρας μὴ ἐμβραδύναντας εἰς αὐτό· ἐκλυτικωτάτη γὰρ τῶν δυνάμεων ἡ εἰς ἔλαιον ἔμβασις· ἐν ἀσκίοις τε ἢ κύστεσι διὰ ἐλαίου πυριᾷν. Ποτιστέον δὲ ὑδρομέλιτι λιπαρῷ εἰς ἥμισυ ἑψηθέντι, πάνακος δὲ ὀποῦ τοὺς εὐτόνους ποτιστέον τετρώβολον· εἰ δὲ μή γε, τὸ ἐλάχιστον ὀβολόν. Ὑπείδοιτο δὲ ἄν τις αὐτοῦ τὸ κακοστόμαχον. Δοτέον καὶ ἀμμωνιακὸν θυμίαμα, ἢ ὀποῦ κυρηναϊκοῦ ὀροβιαῖον μέγεθος, περιπλασθὲν δὲ ἀπέφθῳ μέλιτι καταπινέτω. Σιλφίου τε ῥίζης κοχλιάρια β' ἐμπασθέντα μελικράτῳ κυάθους τρεῖς δίδοται, ἢ ὑσσώπου ἀφέψημα· πάντων δὲ διαπληκτικώτατον καὶ ἀνυσιμώτατόν ἐστι καστόριον· διδόναι δὲ αὐτοῦ κοχλιάρια β' ἢ τρία μερίσαντα αὐτοῦ τὸ πλῆθος· οὐ λυπήσει γάρ, οὐδὲ εἰ μετὰ τροφὴν αὐτοῦ δοίης. Καὶ τὰ λοιπὰ δὲ καὶ αὐτὸ τὸ ποτὸν σχολῇ κατὰ ὀλίγον λαμβανέτωσαν· δυσκαταποτοῦντες γὰρ εἰς τὰς ῥῖνας ἀνακάμπτουσι τὸ ποτόν, ὅθεν ἰσχυρῶς σπαραττόμενοι ἐρεθίζονται σπᾶσθαι. Διαχριέσθωσαν δὲ τὴν ἕδραν πηγανίνῳ ἐλαίῳ μετὰ ὀποπάνακος, ἐνιέσθωσάν τε τῇ ἕδρᾳ τοῖς αὐτοῖς. — Σύγχρισμα ποιοῦν πρὸς τετανικούς.] Νάρδου ℥ α', κηροῦ Γο β', φύλλου, ἀμώμου, στύρακος, μαστίχης χίας ἀνὰ Γο α', καστορίου ∠δ', ἀδάρκης, εὐφορβίου, πεπέρεως ἀνὰ Γο δ', νάρδου στάχυος Γο α', ὀποβαλσάμου Γο α'· χρῶ. — Πόμα ὀπισθοτονικοῖς καὶ ψυαδικοῖς.] Πάνακος ῥίζης, πεπέρεως λευκοῦ, κόστου, σμύρνης, ὀπίου ἴσα δίδου ἀράκου τὸ μέγεθος εἰς κοίτην. Ποιεῖ καὶ ὀρθοπνοϊκοῖς.

οδ'. Περὶ παραλύσεως.

Τὴν παράλυσίν τινες τῶν ἀρχαίων ἀποπληξίαν ἐκάλουν· Ἱπποκράτης γάρ πού φησιν ἀπόπληκτον αὐτῷ τὸ σκέλος ἐγένετο ἀντὶ τοῦ πάρετον. Ἡ μὲν οὖν ἀπὸ διαιρέσεως

2. σικ. ἢ παλ. Paul.; σικ. παλ. X Aët. — Ch. 73, l. 21. ἀπληκτότατον Aët., Paul. — Ch. 74, l. 33. ἀπόπληκτον Aët., Paul.; ἀπὸ πληκτικόν X.

νεύρου γινομένη πάρεσις ἀνίατος ὑπάρχει, ἡ δὲ ἀπὸ δυσκρασίας ἐπιτελουμένη ἄριστα βοηθεῖται ὑπὸ φλεβοτομίας, εἴ γε ἐπιτρέποι ἡλικία, ἕξις, ὥρα, ἔθος καὶ τὰ λοιπά. Σύμμετρος δὲ ἔστω ἡ ἀφαίρεσις ὡς μὴ ἐπιταθῇ τὸ σύμπτωμα· ψύξις γὰρ μετὰ ξηρότητος τὴν πάρεσιν ἀπεργάζεται. Καὶ ἐκ τῶν ἀντικειμένων ἀφαιρείσθω, ἐμβροχαί τε εὐθέως διά τε πηγανίνου ἐλαίου, ἢ σικυωνίου, ἢ παλαιοῦ, τροφαὶ σιτώδεις ῥοφηματώδεις, κλυστῆρες, σικύαι τε κολλάσθωσαν ἐν τοῖς παρεθεῖσι μέρεσιν, εἰ μὲν πολλὰ εἴη, μεμερισμένως· εἰ δὲ ὀλίγα, ὑπὸ ἕν. Καταπλάσσειν τε μετὰ τὰς σικύας καταπλάσμασιν ἔχουσι πίσσαν, ῥητίνην, μάννην· κάλλιστα δὲ ποιεῖ ἀρτεμισία συνεψομένη καὶ καλαμίνθη καὶ πήγανον καὶ κόνυζα, ὕστερον δὲ καὶ νίτρον. Ὕδωρ δὲ ὀλίγον μεμίχθω ὃ καὶ αὐτὸ ἐν τῇ ἑψήσει ἀναλισκέσθω. Λαγαρὰ δὲ ἔστω τὰ καταπλάσματα ὡς μὴ ἐρεθίσαι ἱδρῶτας· μετὰ δὲ ταῦτα βέλτιον ἀντὶ ὠμῆς λύσεως τὸ ἔριον. Ταχέως δὲ μεταβαίνειν ἐπί τε κηρώματα καὶ μαλάγματα, ἥ τε κοιλία ὑπαγέσθω διά τε ἀλόης καὶ πολυποδίου, ἢ σκαμμωνίας, ἢ τῷ διὰ κολοκυνθίδος πόλτῳ. Σύγχριστα δὲ λιπάσματα τοιαῦτα. Ἐλαίῳ παλαιῷ σκίλλαν ἐνταρίχευε ἐπὶ ἡμέρας μ' ἐν ἡλίῳ· εἰ δὲ μὴ παρείη τοιοῦτον ἔλαιον, ἕψειν ἐνὶ ξέστῃ ἐλαίου δύο Γο τῆς σκίλλης. Κάχρυ ὁμοίως σκευάσαντα μικτέον καὶ κηροῦ Γο α' ὑπὲρ τοῦ μὴ διαῤῥεῖν. Εἰ δὲ καὶ χαλβάνης προσλάβοι Γο α', βέλτιον ἀποτελεῖται. Φαρμακωδέστερον δὲ ἄκοπον ἔσται εἰ προσβληθείη καστορίου Γο α' καὶ εὐφορβίου ∠δ' καὶ ἀδάρκης ∠δ' καὶ νίτρου ἴσον. Φαίνεται δὲ ὡς ἀπὸ πρᾳοτέρων ἀρχόμενοι πρὸς ὀλίγον ἐπιτείνομεν τὰ συγχρίσματα. Εὐθετεῖ δὲ ἄκρως καὶ ἡ βατράχιος βοτάνη ἐνεψομένη τῷ ἐλαίῳ ἢ ἐν ἡλίῳ ταριχευομένη· ἤδη δὲ καὶ πέπερι καὶ πύρεθρον καὶ δαφνίδες καὶ νίτρον καὶ νᾶπυ εἰ κατὰ ὀλίγον συμμιγνύοιντο ταῖς διὰ τῶν προειρημένων σκευαζομέναις κηρωταῖς. Μαλάγματά τε ἁρμόζει τό τε διὰ δαφνίδων καὶ τὸ χλωρόν· πολλάκις δὲ κηρωτὴ κυπρίνη ἀναλαβοῦσα νᾶπυ δαψιλὲς ἤρκεσε τὴν τοῦ μαλάγματος ἐκπληρῶσαι χρείαν. Σμήγματα διὰ νίτρου καὶ τρυγὸς κεκαυμένης, ἀγρίου τε σικύου ῥίζης καὶ εὐφορβίου, ἀδάρκης καὶ ἀσβέστου καὶ λιβανωτοῦ εὔθετα· πολυωφελέστατοι δὲ οἱ δρώπακες ἐπὶ τῶν παραλυτικῶν ἐσκευασμένοι διὰ πίσσης, μάννης, τερεβινθίνης, ἀδάρκης, θαψίας, εὐφορβίου. Πότημα καστορίου ∠α', ὀποπάνακος κυάμου μέγεθος καταπινόμενον. Θαυμαστῶς δὲ ποιεῖ καὶ τὸ σαγαπηνόν· ἔστω δὲ αὐτοῦ ὀροβιαῖον τὸ μέγεθος, ἤτοι καταπινόμενον, ἢ μελικράτῳ ἀνιέμενον καὶ πινόμενον. Καὶ ὀποῦ δὲ κυρηναϊκοῦ μέγεθος κέγχρου καλῶς ἐνεργεῖ, ἥ τε διὰ δύο πεπέρεων ἀντίδοτος. — Περὶ κυνικοῦ σπασμοῦ.] Ἐπὶ τῶν κυνικῶς σπωμένων κοινῶς μὲν εὐθετεῖ βοηθήματα τὰ προγεγραμμένα ἅπαντα· καὶ γὰρ φλεβοτομία, εἰ μηδὲν κωλύοι, καὶ κλυστὴρ καὶ καταπλάσματα καὶ κηρωταὶ καὶ μαλάγματα καὶ δρώπακες καὶ σιναπισμοὶ καὶ κατάχρισις θαψίας· ἰδίως δὲ ἐπίδεσις ἡ εἰς τὰ ἀντικείμενα παράγουσα καὶ ἀφαίρεσις αἵματος ἀπὸ ἀγγείων τῶν ὑπὸ τὴν γλῶσσαν τεταγμένων καὶ σικύαι κατὰ τοῦ πρώτου σπονδύλου τιθέμεναι καὶ ἀποφλεγματισμοὶ καὶ διὰ ῥινεγχύτου κάθαρσις καὶ κατὰ τοὺς ὀφθαλμοὺς ἐπιχριστὰ δριμέα· ὕστερον δὲ καὶ ἐγχρίσματα. — Περὶ καταπόσεως παρεθείσης.] Εἰ δὲ ἡ κατάποσις παρεθείη, τουτέστιν ἡ ἐνθετικὴ τῶν σιτίων προθυμία· στόμαχος γὰρ παρε-

10. ἀναλισκέσθω Aët., Paul.; ἀναλυέσθω X. — 11-12. ἐπί τε κηρώματα ex em.; ἔπιται θρώματα X. Conf. Aët. — 13. Σύγχριστα δὲ λιπάσματα ex em.; Συγχρίσματα λιπ. X. Voy. Paul. — 30. δύο] τριῶν Paul. — 36. καθάρσεις Paul.

θεὶς ὄλεθρον ἐπιφέρει· παραληπτέον τὰ καθόλου ἐπὶ πάσης παρέσεως δοκιμασθέντα· ἰδίως δὲ σικύαι ὑπὸ τὸν ἀνθερεῶνα τιθέμεναι καὶ διάχριστοι δριμεῖαι διά τε καστορίου καὶ σαγαπηνοῦ καὶ ὀποῦ παρθικοῦ. Ὠφελεῖ δὲ μάλιστα ἀνακογχυλισμὸς διὰ νάπυος καὶ διαμάσησις φλέγμα ἀνάγουσα, οἷον πεπέρεως σὺν σταφίδι ἀγρίᾳ μετὰ μαστίχης. — Πρὸς γλῶσσαν παρεθεῖσαν.] Εἰ δὲ γλῶσσα παρεθείη, τὰς ὑπὸ αὐτῆς φλέβας τέμνειν καὶ προκενωθέντων κλυστῆρι ἢ φλεβοτομίᾳ σικυάζειν τὸν ὑπὸ τὸν ἀνθερεῶνα τόπον, καὶ ἀποφλεγματισμοῖς τοῖς προειρημένοις χρῆσθαι καὶ διακλύσμασι τοῖς διὰ νάπυος καὶ γυμνασίοις τῆς γλώσσης. — Περὶ παρέσεως τῶν φωνητικῶν ὀργάνων.] Εἰ δὲ τὰ φωνητικὰ παρεθείη μέρη, τῷ θώρακι προσφέρειν τὰ βοηθήματα· ἰδίως δὲ πνεύματος κατοχὴν καὶ ἀναφώνησιν ἐμμελῆ. Ὀφρύος δὲ ἢ βλεφάρου παρεθέντος, θεράπευε συγχρίσμασιν ὁμοίως· ἐπὶ τέλει δὲ καὶ ἀναῤῥαφῇ. — Πρὸς κύστιν παρεθεῖσαν.] Ἡ δὲ τῆς κύστεως πάρεσις, εἴτε κατέχοι τὰ οὖρα, εἴτε καὶ ἀπροαιρέτως ἐκκρίνοιτο, μεθοδευέσθω ὁμοιοτρόπως τῶν τε ἐμβροχῶν καὶ καταπλασμάτων, ἔτι δὲ καὶ δρωπάκων καὶ σιναπισμῶν κατά τε τοῦ ἤτρου καὶ τοῦ περινέου ἐπιτιθεμένων· ἰδίως δὲ ἐνέματα τῷ δακτυλίῳ ἐνιέσθω ἀνακαλέσαντα τὴν τῆς κύστεως ἐνέργειαν, κατὰ ἀρχὰς μὲν ἔλαιον πηγάνινον ἢ σικυώνιον μετὰ βουτύρου συνηψημένου καὶ κυμίνου, ἢ ἀνήθου, μεμιγμένου τε καστορίου. Εὐτονώτερον δὲ καθάπτεται ἐνιέμενα κενταυρίου ἀφέψημα ἢ κολοκυνθίδος, νῦν μὲν ὕδατι, νῦν δὲ χυλῷ πτισάνης συνεψομένων τούτων· ἄριστα δὲ ποιεῖ καὶ ὀριγάνου ἀφέψημα, ἢ θύμου, ἢ χυλὸς ἀναγαλλίδος. Πᾶσι δὲ τούτοις τό τε σικυώνιον, ἢ παλαιότατον ἔλαιον παραμικτέον καὶ καστόριον· ἐνίοτε δὲ καὶ ὀποπάνακος, ἢ χαλβάνης ∠δ'· ἔστιν ὅτε δὲ καὶ σίλφιον ἀφεψηθὲν ὕδατι. Ἐπὶ μέντοι τῶν κατεχόντων καθετηρισμῷ χρησόμεθα καὶ μετὰ τὴν τοῦ οὔρου ἀποκένωσιν ἔτι ἐγκειμένῳ τῷ καθετῆρι προσδεῖται κύστις, ἢ ἀσκίον μεστὸν ἐλαίου τινὸς τῶν προειρημένων ἐνεμάτων· ἐνίοτε δὲ καὶ πλείστη ἀπαντᾷ ὠφέλεια. Τὰ δὲ διουρητικὰ συμμέτρως προσακτέον· ἔστι δὲ νάρδος, σχοῖνος, σίον, μάραθον, σκίλλινον ὄξος ἢ οἶνος. — Πρὸς καυλοῦ πάρεσιν.] Εἰ δὲ καυλὸς παρεθείη, τὰ μὲν οὖρα οὐκ ἐμποδίζεται, ἡ συνουσία δὲ καὶ ἡ τοῦ σπέρματος πρόεσις. Χρηστέον δὲ οἷς καὶ ἐπὶ κύστεως καὶ κατὰ τῶν αὐτῶν τόπων· νῦν δὲ καὶ κατὰ τῶν ἰσχίων· διδόναι δὲ ἐσθίειν τὰ τὴν ἔντασιν ἐρεθίζοντα· ἔστι δὲ βρώματα πολύπους, ἐχῖνος, καὶ ἐν πτηνοῖς ψάρος, ἐλάφου κρέα. Φασὶ δὲ περιαπτόμενον τὸ αἰδοῖον τὸ ἐλάφειον τὸ αὐτὸ δρᾷν· ἤδη δὲ εὔζωμα, βολβοὶ, κοχλίαι, καστόριον ποτιζόμενον. Ἄθετα δὲ ὑποληπτέον γάλα, τυρὸν, τά τε λοιπὰ πέμματα, θριδακίνας τε καὶ τὰ λοιπὰ λάχανα τὰ ψύχοντα. — Πρὸς ἀπευθυσμένου πάρεσιν.] Ἀπευθυσμένου δὲ παρεθέντος, ἢ ἐπέχεται ἡ ἔκκρισις, ἢ ἀλόγως ἀποκρίνεται τὸ σκύβαλον καὶ ἀπροαιρέτως· ἐμφερῶς δὲ τῇ κύστει θεραπεύεται τῶν αὐτῶν βοηθημάτων προσφερομένων τοῖς ἰσχίοις, οἷον σικυῶν, καταπλασμάτων, δρωπάκων, μαλαγμάτων, σιναπισμῶν· πλεῖστον δὲ ἰσχύει τὰ διὰ κλυστῆρος προσαγόμενα· ποικίλως μέντοι ἐνίεται, ποτὲ μὲν τὰ στύφοντα, ποτὲ δὲ τὰ χαλῶντα, καὶ ἄλλοτε τὰ δάκνοντα καὶ ἀμύσσοντα· οὐδὲν γὰρ οὕτω συλλαμβάνει ταῖς τῶν κινήσεων ἀναλήψεσιν ὡς ἡ ποικίλη καὶ οὐ μονοειδὴς μόχλευσις. Στυφέσθω οὖν ἀφεψήματι κυπαρίσσου, σχίνου, βάτου· λιπαινέσθω δὲ καὶ χαλάσθω

31. τὰ δὲ λοιπά X.

ὑείῳ στέατι καὶ χηνείῳ καὶ μαλαχίνῳ ἐλαίῳ· ἀμυσσέσθω δὲ ἅλμης ἐνιεμένης ἢ κολοκυνθίδος ἀφεψήματος, ἢ κενταυρίου, ἢ κονύζης, ἢ σιλφίου, ἢ τριφύλλου τῆς ἀσφαλτιζούσης, ἢ γεντιανῆς ἐμπασσομένης τῷ ἐνέματι. Εἰ δὲ ἀντίληψις εἴη ψύξεως, καὶ τοῦ διὰ εὐφορβίου ἀκόπου ἐλαίῳ ἀνεθέντος ἐνιέσθω. — Περὶ κώλων παρεθέντων.] Τὰ δὲ κῶλα παρεθέντα μετὰ τῆς κοινῆς ἐπιμελείας καμπτέσθω καὶ ἐκτεινέσθω καὶ τριβέσθω· τὸ γὰρ πλεῖστον τῆς ἐλπίδος ἡ τρίψις διορθοῖ· γεγενήσθω δὲ ἄλλη ἐπὶ ἄλλων· οὐ γὰρ λανθάνει ὅτι ἡ μὲν ἀνειμένη λύει τάσιν, ἡ δὲ ἐπιτεταμένη συστρέφει καὶ συνάγει τὰ πλαδαρὰ καὶ ἔκλυτα, ἡ σύμμετρος σαρκοῖ, ἡ πολλὴ ἐλαττοῖ καὶ ἄτροφα ἐργάζεται. Ἄλλην οὖν ἐπὶ ἄλλης δοκιμαστέον περιστάσεως· ὡς ἐπίπαν μέντοι ἡ εἰς εὐτροφίαν ἄγουσα τὰ μέρη ἀνακαλεῖται τὰς ἐνεργείας· ἐπὶ μέντοι τῆς κατὰ ἐπέκτασιν προσακτέον καταπλάσματα καὶ μαλάγματα στύφοντα.—Δίαιτα κοινὴ πάσης παρέσεως.] Ἡ δὲ δίαιτα τοιαύτη ἔστω· μετὰ τοὺς ὕπνους ἀποθέμενοι τὴν ἐκ τοῦ κοιμᾶσθαι νωχέλειαν ἀποδιδόντες τὰ κατὰ κοιλίαν ἠρέμα διακινείτωσαν, ἤτοι διὰ ἑαυτῶν, ἤτοι διὰ ἑτέρων ἐπαιρόντων αὐτοῖς παράλληλα τὰ σκέλη, εἶτα ἀναφωνείτωσαν, ἡνίκα τὰ φωνητικὰ εἴη παρειμένα. Μετὰ δὲ τὴν ἀναφώνησιν μικρὸν ἀπηρεμείτωσαν, εἰ κοπωθεῖεν, μὴ καθεύδοντες· δίχα γὰρ τούτου ἐπιβλαβεῖς εἰσι πάντες οἱ ἐν ἡμέρᾳ ὕπνοι, καὶ μάλιστα οἱ μετὰ τροφήν. Ἀπηρεμήσαντες δὲ γυμναζέσθωσαν, καὶ ἀποθεραπευθέντες, ἤ ποτε καὶ λουσάμενοι, ἀριστάτωσαν κοῦφόν τι, οἷον πτισάνην ἐκ μελικράτου, ἢ χόνδρον, ἐνίοτε δὲ σῦκον ἢ σταφυλὴν σὺν ἄρτῳ. Πειρατέον μέντοι ξηροφαγεῖν τὸ πλέον τοῦ ἐπὶ ἀρίστῳ ἄρτου, ἔνθεν οὐδὲ προπόματι χρηστέον, ἢ παντελῶς ὀλίγῳ δίψους ἐγκειμένου ὕδατι. Μετὰ δὲ τὸ ἄριστον εἰς θυμηδίαν παραδιδόσθωσαν, ἢ καὶ βιωτικαῖς χρείαις προσερχέσθωσαν· μέλλοντας δὲ δειπνεῖν προσυγχρίειν, διακινεῖν τε τὰ παρειμένα πρᾴως. Ἔστω δὲ τὸ δεῖπνον τοσοῦτον ὅσον [ἂν] ῥᾳδίως πέψωσιν. Διδόσθω οὖν πτισάνη κατὰ αὐτὴν, ἢ σὺν κυάμῳ, ἢ φακῇ· λαχάνων κράμβη καὶ ὁ ἐξ αὐτῆς ἀσπάραγος, κρεῶν τὰ θαλάσσια, καὶ τούτων τὰ ἄβρωμα καὶ συνεστραμμένην ἔχοντα τὴν σάρκα, συῶν τὰ ἄκρα, πέρδικάς τε καὶ φάσσας καὶ περιστεράς, λαγωούς τε καὶ λεβηρίδας. Ποτὸν δὲ μὴ ἐμπλεκέσθω τῇ τροφῇ, ἀλλὰ ἢ πρότερον ἀποθεραπευέσθω τὸ δίψος, ἢ ἐπὶ τροφῇ ληπτέον. Ἀφεκτέον δὲ οἰνομέλιτος καὶ ὀπώρας· διὰ γὰρ τὴν κουφότητα ἐπιπολάζουσα τρέπεται καὶ ὀξίζει. Τραγημάτων δὲ συγχωρητέον φοίνικας καὶ ἀμύγδαλα. Οἶνος ἁρμόζει μήτε νέος ὢν, διὰ τὸ φυσῶδες, μήτε ἄγαν παλαιός· ἔστω δὲ σαβῖνος, ἢ ἀλβανὸς, ἢ τιβουρτῖνος, ἢ χῖος, ἢ λέσβιος. Μετὰ μέντοι δεῖπνον μήτε αὐτόθεν καθευδέτωσαν διὰ τὸ τὸν ἐπὶ ποσῷ ὑποβιβασμὸν ἀναγκαῖον εἶναι εἰς πέψιν, μήτε πολὺν χρόνον γρηγορήσαντες ἀγρυπνίας ἐπακολουθούσης διὰ τὸ τοὺς παχυμερεστέρους ἀπὸ τῆς τροφῆς ἀτμοὺς ἤδη διαπεπνευκέναι. Καθόλου δὲ φυλακτέον διαφθορὰν τροφῆς,

3. ἀντίληψις Paul.; ἀντιλήψεσιν X. — 4. ἀνεθέντος Paul.; ἀνεθέντι X. — 6. διορθοῖ· γεγενήσθω δέ conj.; διορθοῦται γένηταί τε X; ἔστιν Paul. — 12. νωχέλειαν conj.; ὠφέλειαν X, Littré. — 13. ἀποδιδόντες Littré; ἀποδίδοντας X.—Ib. ἑτέρων Littré; εταίρων X. — 14. τὰ φωνητικά ex em.; τὰ ἀνάφωνητικᾶ X; ἀναφωνητικά Littré. — 15. εἰ κοποθεῖεν X; εἰ μὴ ποθεῖεν Littré.; μή est entre les deux colonnes et semble appartenir à la ligne 25. — 20. ὀλίγον X. — 23. [ἂν] om. X. — 25. συνεστραμμένην] entre les deux colonnes. μή; conf. l. 15.

ψύξιν, ἔγκαυσιν, ἀργίαν, κόπον, συνουσίαν, πολυοινίαν. — Σύγχρισμα παραλυτικοῖς ἁρμόζον ἐν ἀρχαῖς.] Γλευκίνου, ἰρίνου, κυπρίνου, δαφνίνου ἀνὰ ℔ α', κηροῦ Γο δ', τερεβινθίνης, ὑσσώπου ἀνὰ Γο β', καστορίου Γο α', εὐφορβίου ∠δ'. Χριέσθω διὰ τούτου μετὰ τῶν πεπονθότων καὶ τὰ ἀπαθῆ μέρη. — Ἄκοπον τὸ δυσῶδες.] Ἐλαίου παλαιοῦ ξ α', τερεβινθίνης ∠ν', κηροῦ ∠λ', ἀμμωνιακοῦ θυμιάματος ∠ις', ὀποπάνακος Γο α', μέλιτος Γο ς'. — Χλωρὸν ἄκοπον ᾧ οἱ περὶ τὸν Ἀρχιγένην καὶ Ἡρόδοτον ἐχρῶντο.] Κηροῦ ℔ α's'', ἐλαίου παλαιοῦ ℔ α's'', χαλβάνης, ὀποπάνακος, λιβανωτοῦ ἀνὰ Γο α' ἢ ἀνὰ Γο δ', ἀμμωνιακοῦ θυμιάματος, ἰοῦ ξυστοῦ ἀνὰ Γο γ', κυπρίνου καὶ μηλίνου ἀνὰ Γο γ', ὄξους τὸ ἀρκοῦν. Ὁ ὀποπάναξ ὄξει λειαίνεται σὺν τῷ ἰῷ καὶ λιβανωτῷ καὶ ἀφρονίτρῳ, ὁ δὲ κηρὸς μετὰ τῆς τερεβινθίνης καὶ χαλβάνης καὶ τοῦ ἐλαίου τήκεται· τὸ δὲ ἀμμωνιακὸν οἱ μὲν σὺν τῷ ὄξει λεαίνουσιν, οἱ δὲ σὺν τῷ κηρῷ τήκουσιν. Μετὰ δὲ τὸ πάντα τετηκέναι προσεμβάλλεται τὸ μήλινον καὶ τὸ κύπρινον καὶ διηθούμενα καταχεῖται ἐν τῇ θυίᾳ καὶ ἐκλεαίνεται ἐπιμελῶς ἄχρις ἑνωθῇ. Ἐπὶ δὲ σκληροτέρων, εἰ κατὰ ἀκόπου σύστασιν γίνεται, βέλτιόν φησι τοῦ μὲν κηροῦ ὑφαιρεῖν ἡμίλιτρον, τοῦ δὲ ἐλαίου προσθεῖναι ἡμίλιτρον, ἢ καὶ τῆς ἐπάνω συστάσεως μενούσης προσβάλλειν γλευκίνου ℔ α'. Σπουδαιῶν δέ ἐστι φάρμακον οὐ μόνον τοῖς παραλελυμένοις, ἀλλὰ καὶ ἰσχιαδικοῖς καὶ τοῖς τὴν ψυχρὰν λεγομένην ποδάγραν ἔχουσι, κάλλιστον καὶ ἑτεροκρανίαις ταῖς χωρὶς πυρετοῦ· ἐπεὶ μέντοι ἡμάρτηται ἡ γραφὴ μὴ ἔχουσα τερεβινθίνης, ἐστοχασάμην βάλλειν Γο ι'. Ἐν δὲ τῷ Ἡρᾶ τόμῳ τερεβινθίνης ℔ α's'' λαμβάνει ᾧ γίνεται μετασυγκριτικὸν καὶ λέγεται. Τούτῳ οὖν τῷ ἀκόπῳ οὐ δεῖ περὶ τὰς πρώτας ἡμέρας χρῆσθαι, ἀλλὰ ἤδη τῆς παρέσεως πρὸς χρονιότητα ῥεπούσης καὶ τὴν μετασύγκρισιν καλουμένην. — Περὶ φοινιγμῶν.] Οἱ δὲ φοινιγμοὶ παραλαμβανέσθωσαν καὶ αὐτοὶ ἤδη χρονιζούσης τῆς διαθέσεως, καὶ μάλιστα εἰ τὰ τῆς ἁπτικῆς αἰσθήσεως ἐπιλείποι, μήτε δὲ εὐθὺς ἀπότομοι, μήτε λίαν ἔκλυτοι. Πρῶτον μὲν οὖν ψιλώθρῳ χριστέον τὰ ἐπίσημα μέρη καὶ μετὰ ὥραν μίαν ἀποσπογγιστέον καὶ πυριατέον, εἰ μὲν εἴη πρόχειρα τὰ μέρη, καθάπερ χεῖρες, σκέλη, διὰ καταντλήσεως, εἶτα οὕτω διὰ τῆς τῶν ἐκτεθλιμμένων σπόγγων ἀτμίδος. Μετὰ δέ τινας ἡμέρας κνίδαις τὰ αὐτὰ διαῤῥαπιστέον ἢ νάρθηξιν ἐσχισμένοις τύπτοντας κατὰ τοῦ πλάτους, ἔπειτα μετὰ ἄλλο διάστημα θαψίᾳ χρηστέον ὡς ἐπὶ τῶν ἰσχιαδικῶν ὑπεδείχθη. Παραπλήσιον δὲ δύναται καὶ σκίλλα, διχῇ δὲ κατατμηθείσης αὐτῆς ἐπὶ ἱκανὸν παρατρίβεται τοῖς πεπονθόσι τόποις ἄχρι τοῦ κνησμὸν πολὺν καὶ δυσανάσχετον ἐγεῖραι, ὃν ἀποθεραπεύει προσεπιτείνασα ποσῶς πυρία τε ἡ διὰ σπόγγων καὶ κατάντλησις καὶ ἀπολίτρωσις, ἐπάλειψίς τε ἐλαίου θερμοῦ. Καλῶς δὲ φοινίσσει τὰ πεπονθότα μέρη καὶ ῥίζα κρίνου λελειοτριβημένη χριομένη τε καὶ εὐτόνως ψηχομένη. * Κνησμὸν μὲν οὐκ εἴωθε παρέχειν, θερμαίνειν τε τοὺς τόπους ἐπαλγῶς καὶ τὴν αἴσθησιν ἑλκώδη ποιεῖν, καταστολῇ δὲ τῆς ὀδύνης αὐτῆς οἷον πυρία τε καὶ καταιόνησις διὰ ἐλαίου θερμοῦ ἐπίχυσις. Παραληπτέον δὲ καὶ σικύας εἰς φοινιγμοῦ λόγον δίχα κατασχασμοῦ· στενόστομοι δὲ ἔστωσαν καὶ σὺν φλογὶ

3. διά conj.; δέ X. — 14. τοῦ post ἡμίλ. ex em.; τό X. — 15. μενούσης ex em.; μιᾶς μὲν οὔσης X. — 20. Τουτο X; marg. αρχ lis. s. d. Ἀρχιγένους. — 24-25. χριστέον ex em. Littré; χρηστέον X. — 26. εἶτα] εἰ μή, Littré.

πολλῇ προσβαλλόμεναι. Μεθελκέσθωσαν δὲ βιαίως ἄνω τε καὶ κάτω μέχρι τοῦ τὴν αἴσθησιν ἐκ βάθους ἀνακαλέσασθαι καί τινα ὕλην ἐπάγεσθαι. Κατάπλασμά τε θερμὸν εὐθὺς ἐπιῤῥίπτειν ἐξ ἀλεύρου ἰρίνου καὶ κριθίνου διὰ μέλιτος, ῥητίνης τε πιτυΐνης καὶ νίτρου, ἢ ἀντὶ τοῦ καταπλάσματος μαρσίποις χρηστέον πεφρυγμένων ἁλῶν. Δρωπακισμοί τε οἱ διὰ ἀσφάλτου, θείου καὶ νίτρου, διαδεχέσθω δὲ αὐτοὺς ἐκνίτρωσις καὶ λουτρόν. Ὁ δὲ σιναπισμὸς ὅτι μὲν ἔστι μέγα καὶ πολυωφελὲς βοήθημα καὶ ταῖς τοιαύταις διαθέσεσι κατάλληλον εἴρηται πολλάκις· δεῖται δὲ προσοχῆς ἐπὶ τῶν παρειμένων, καὶ μάλιστα ἐπὶ ὧν τὰ τῆς αἰσθήσεως ἐλλείπει· οὔτε γὰρ τῶν δηγμῶν, οὔτε τῆς πυρώσεως ἀντιλαμβάνονται, καὶ δέος μήποτε ἀναισθητούντων αὐτῶν ἡ μακρὰ τοῦ καταπλάσματος ἐπίθεσις ἕλκωσιν καὶ φλεγμονὴν ἐργαζομένη κωλύσῃ τὸ λουτρὸν, ὅπερ οὐ μόνον ἀποθεραπεύει τὸν ἐκ τοῦ βοηθήματος σκυλμὸν, ἀλλὰ καὶ τὰ μέγιστα συνεργεῖ τῇ τῶν σωμάτων μεταβολῇ καὶ τὴν αἴσθησιν ἐπὶ τὴν φυσικὴν ἀντίληψιν ἀνακαλεῖται. Δεῖ τοιγαροῦν ἐκ μέρους, ἵνα μηδὲν λάθῃ τοιοῦτο, ἀποκαλύπτειν τὸ κατάπλασμα καὶ καταθεωρεῖν εἰ γέγονεν αὐτάρκης ὁ φοινιγμὸς, εἰ πρὸς τὴν ἐπίθλιψιν τοῦ δακτύλου ἐπιπολαιότερον ἢ βαθύτερον ἔρευθος ὑποπίπτει σκορπιζόμενον πρὸς τὴν ἐπίθλιψιν θᾶττον ἢ βραδύτερον, εἰ θερμὰ καλῶς τὰ σώματα πρὸς τὴν ἁφὴν φαίνεται, κἂν ἔχῃ τὸ βοήθημα τὴν αὐτάρκη συμμετρίαν, ἐπὶ τὸ βαλανεῖον ἄγειν· εἰ δὲ μηδέπω τῶν εἰρημένων τι παρείη, ἐπικαλύψαντας ἐᾷν καὶ δεύτερον ἐπισκοπεῖν· ἐὰν δὲ οὕτω τύχῃ, καὶ τρίτον. — Τοπικαὶ ἐπιμέλειαι τῶν παρειμένων μερῶν.] Τοπικῶς δὲ ἁρμόζει λαλιᾷ μὲν καὶ καταπόσει ἀναφώνησις, ἐπὶ ὧν ἥ τε γλῶσσα καὶ ἡ κατάποσις ἐμποδίζεται· κινεῖται δὲ ἱκανῶς τὰ μέρη ταῦτα καὶ ὑπὸ τῶν πταρμῶν καὶ ὑπὸ τῶν φλέγμα ἀγόντων διαμασημάτων καὶ ὑπὸ τῆς τῶν δακτύλων καθέσεως θλιβόντων εὐτόνως καὶ σπαρασσόντων τήν τε βάσιν τῆς γλώττης καὶ τὴν ἀρχὴν τοῦ στομάχου. Πλεονάκις δὲ ἐπικαθιέσθωσαν ἄχρι τοῦ φοινίξαι τὸ πρόσωπον καί τινας περὶ τὸν τράχηλον καὶ τὸ πρόσωπον ὀλίγους ἱδρῶτας προσκαλέσασθαι. Τῶν δὲ κώλων τινὸς παθόντος κάμψεις τε καὶ ἐκτάσεις τὸ μὲν πρῶτον διὰ ἑτέρων, ἔπειτα δὲ καὶ διὰ ἑαυτῶν. Ἐπὶ δὲ τοῦ κυνικοῦ σπασμοῦ ἰδιαίτερον βοηθοῦνται ὑπό τε πταρμικῶν καὶ ἀποφλεγματισμῶν τῶν διὰ νάπυος, σταφίδος ἀγρίας, πεπέρεως, ἀναγαργαρισμάτων τε διὰ ὑσσώπου, θύμου, ἀψινθίου, καστορίου. Χρησιμώτατος δέ ἐστιν ἐπὶ αὐτῶν καὶ ἐπίδεσμος ὁ διὰ τῆς γένυος πλεκόμενος μετάγων τὴν διαστροφὴν τῆς γένυος ἐπὶ θάτερα, προσαγορεύεται δὲ φορβειά. — Ἄκοπα διάφορα. Χλωρὸν ἄκοπον πρὸς παρέσεις.] Κηροῦ, τερεβινθίνης, ἐλαίου παλαιοῦ ἀνὰ ℔ α'ς'', κυπρίνου, ἰρίνου, μηλίνου ἀνὰ ℔ α', ἰοῦ ξυστοῦ Γο ς', μάννης, χαλβάνης, ἀφρονίτρου, ἀμμωνιακοῦ θυμιάματος, ὀποπάνακος ἀνὰ Γο δ', στέατος αἰγείου Γο γ', πεπέρεως λευκοῦ Γο γ', πεπέρεως μέλανος Γο α'ς'', ἀδάρκης Γο α'. Τὸν ἰὸν, ὀποπάνακα, ἀφρόνιτρον λείου ὄξει. — Ἄκοπον.] Ἐλαίου παλαιοῦ ℔ β', κηροῦ Γο α', ἰρίνου, δαφνίνου, στυρακίνου, κυπρίνου ἀνὰ Γο ς', μυελοῦ ἐλαφείου Γο δ', ἀμμωνιακοῦ θυμιάματος, χαλβάνης, εὐφορβίου, καστορίου, ὀποπάνακος, πεπέρεως ἀνὰ Γο β'. Ὁ ὀποπάναξ, εὐφόρβιον, καστόριον, πέπερι ὄξει λειοῦται. Ποιεῖ δὲ πρὸς τὰ παραλελυμένα καὶ ἠγκυλωμένα καὶ ἰσχιάδα. — Ἀνετικὸν σύγχρισμα.] Δαφνίδων τεθλασμένων, τήλεως βεβρεγμένης, μαλάχης ἀγρίας ῥιζῶν, σαμψύχου. Φυρᾶται τὸ σάμψυχον μετὰ τῆς τήλεως καὶ τῶν δαφνίδων ὕδατι καὶ μετὰ ὥρας ε' μίγνυται ἡ ῥίζα καὶ ἐπιβάλλεται

ἔλαιον καὶ ἕψεται διπλῷ σκεύει ὥρας ε′ ἢ ϛ′ ἕως ἀναλωθῇ ἡ τῶν βοτανῶν ὑγρότης καὶ αὐταὶ καπυρωθῶσιν, καὶ ἐξαιρεθὲν τὸ ἔλαιον λαμβάνει πρὸς ξέστην α′ κηροῦ Γο γ′, τερεβινθίνης Γο α′. Ἐχέτω δὲ ἡ τῆλις ὕδατος ὡς πρὸς ἐλαίου ξέστην Γο γ′. — Ἄκοπον κάλλιστον.] Πηγανίνου ἐλαίου παλαιοῦ λ δ′, κηροῦ, πιτυΐνης ἀνὰ Γο η′, χαλβάνης Γο α′. Ἐνίοτε τῷ ἐλαίῳ προαφέψεται ἕως φρυγῇ σκίλλης Γο δ′. — Μυράκοπον.] Νάρδου μύρου λ α′, κηροῦ, μαστίχης χίας, στύρακος, ὀποβαλσάμου ἀνὰ Γο δ′. Διπλώματι τηκέσθω. Διηθήσας ἐπίβαλλε τὸ ὀποβάλσαμον. — Πρὸς τὰς ἐξ ὁδοιπορίας ψύξεις ἄκοπον.] Γλευκίνου, ἀμαρακίνου ἀνὰ λ α′, κηροῦ τυῤῥηνικοῦ Γο γ′, εὐφορβίου ∠ δ′. Εὐτονώτερον δὲ γίνεται εἰ προσλάβοι ἰρίνου ἢ δαφνίνου λ α′, κηροῦ ἄλλην Γο α′S″, τερεβινθίνης ∠ ε′ καὶ καστορίου ∠ γ′. — Φολιάτου σκευή.] Φύλλου Γο γ′, ἀμώμου Γο α′, κασίας Γο ϛ′, λαδάνου Γο α′, πεπέρεως λευκοῦ κόκκους μ′, σμύρνης τρωγλοδύτιδος ∠ α′. Λειώσας ἐπιμελῶς ἐπίβαλλε ναρδίνου ἐλαίου λ α′, καὶ πάλιν τρῖβε ἐπιμελῶς· πρὸς δὲ τὸ μελάντερον γενέσθαι τὸ φάρμακον καρύων λέπη καύσας καὶ τρίψας ἐν θυίᾳ ἐπίβαλλε· πρόσβαλλε δὲ καὶ ὀποβαλσάμου κοχλιάρια γ′ καὶ κηροῦ Γο α′, καὶ ἑνώσας καλῶς χρῶ πολυτελεστάτῳ μύρῳ. — Λυσιπόνιον μυράκοπον Τιμοκλιανοῦ ἰατροῦ εὕρεμα ᾧ δεῖ χρῆσθαι κατὰ παντὸς μέρους τοῦ σώματος ἀλγοῦντος ἠρεμαίᾳ τρίψει καὶ πολλῇ.] Στύρακος, νάρδου στάχυος, χίας μαστίχης, φύλλου ἀνὰ Γο β′, ἀδάρκης, εὐφορβίου, πεπέρεως ἀνὰ Γο α′, κηροῦ Γο η′, νάρδου μύρου ℥ β′, ὀποβαλσάμου Γο ι′. Τὰ ξηρὰ κόψας σήσας λείωσον καὶ κηρωτὴν ποίησον, ἀναξύων μίγνυε καὶ τελείως ἑνώσας τὸ ὀποβάλσαμον ἐπίβαλλε κατὰ ὀλίγον. — Τὸ κοπτόν.] Βδελλίου, λιβανωτοῦ, ἴρεως ἰλλυρικῆς, ταυρείου στέατος ἀνὰ Γο β′, ἀμμωνιακοῦ θυμιάματος Γο α′S″, ὀποπάνακος, χαλβάνης, στύρακος ἀνὰ Γο α′, κηροῦ Γο η′, τερεβινθίνης Γο η′, πεπέρεως λευκοῦ κόκκους ρξ′. Τὸ ὕπερον ἀλείφων γλευκίνῳ κόπτε.

οε′. Περὶ ἰσχιαδικῶν.

Ἰσχιαδικοὺς ἐν ἀρχῇ μετὰ δύο ἀσιτίας τῇ τρίτῃ φλεβοτομητέον, ἐμβρεκτέον τε τὰ μέρη τούτοις. Κυπρίνου κυ. η′, ὄξους κυάθους δ′, νίτρου κυ. β′, κάχρυος κύ. α′. Συνεψηθέντα ἀναλαμβάνεται οἰσυπηροῖς ἐρίοις καὶ ἐπιτίθεται· ποιεῖ δὲ πηγανίνη ἐμβροχή. Μετὰ δὲ τὴν ἀπὸ ἀγκῶνος ἀφαίρεσιν τῇ ἑξῆς φλεβοτομητέον ἐπαφαιρέσει χρώμενον τῇ ἀπὸ σφυροῦ τοῦ ἐνδοτέρου. Εἶτα μετὰ μίαν ἢ δύο μέσας κλυστέον συνήθει κλύσματι ἕνεκα κομιδῆς ἐμφραγμάτων, εἶτα τῇ ἐπιούσῃ, ἢ μετὰ μίαν μέσην, ἐνιέναι δριμὺ ἔνεμα. Ἔστι δὲ μέλιτος καὶ ἐλαίου τὸ αὐτὸ, ὕδατος κυ. β′, νίτρου ∠ η′, τερεβινθίνης ∠ δ′. Θερμανθέντα ταῦτα καὶ ἑνωθέντα ἔνιε λεῖα, καὶ ἐπιπυρία τὸν δακτύλιον ὑπὲρ τοῦ πλείονι χρόνῳ κατασχεθῆναι τὸ φάρμακον. Ἐκ τοῦ πλείστου δὲ ὑγρασίαν μυξώδη εἴθισται ἕλκειν, ἐνίοτε καὶ αἷμα, ὅτε μείζων ὠφέλεια ἀνακύπτει. Εἰ δέ τι ἐνυπολείποιτο τῆς διαθέσεως, καὶ τῇ ἐπιούσῃ ἐνετέον· σπανίως γὰρ τῇ τοιαύτῃ ἐπιμελείᾳ διαμένει μὴ ἐκκοπεῖσα ἡ ἰσχιάς. Εἰ δὲ ἐπιμείνειεν ἡ διάθεσις, διαλιπόντα ἡμέρας ὀλίγας, μὴ μέντοι ὥστε προαφανισθῆναι τὴν ἐκ τοῦ πρώτου βοηθήματος ὠφέλειαν, πάλιν

Ch. 75, l. 31. ἐπιπυρία Aët.; ἐπιπυριᾶν X. — 35. ἐπιμένοιεν X.

χρῆσθαι τῷ αὐτῷ ἀντὶ ἁπλοῦ ὕδατος κενταυρίου ἀφέψημα μιγνύντα. Τὰ μὲν οὖν πλεῖστα ἰσχιαδικὰ ταύτῃ τῇ ἐπιμελείᾳ ἐξεκόπη, καὶ σικυαστέον δὲ μετὰ φλογὸς πλείονος ταῖς ἀμυχαῖς βαθυτέραις χρώμενον· ῥητέον δὲ καὶ τὴν λοιπὴν ἐπιμέλειαν τῷ διὰ ἀνάγκης ἐστὶν ὅτε τῆς χρήσεως γίνεσθαι. Ἀπὸ ἄλλης τοίνυν ἀρχῆς ἐμέτους παραληπτέον τοὺς ἀπὸ ῥαφανίδων, ἢ τοὺς ἀπὸ δείπνου, καὶ μετὰ αὐτοὺς τῇ ἐπιούσῃ δρωπακιστέον τοὺς πεπονθότας τόπους καὶ ὅλον τὸ σύγκριμα, νίτρῳ τε ἀποσμηκτέον λούοντα μετὰ ταῦτα, τῇ δὲ ἑξῆς ἀλείμματα προσοιστέον τά τε διὰ εὐφορβίου καὶ τὰ διὰ ἀδάρκης, εἶτα διαλιπόντα ἡμέρας δέκα ἀπὸ ἄλλης ἀρχῆς καθάραντα τῇ ἐπιούσῃ σιναπιστέον μέχρι ῥύσεως αἵματος· διαδέξεται δὲ τὸν σιναπισμὸν βαλανεῖον, ὅτε καὶ μείζονος παραστήματος χρεία τῷ κάμνοντι εἰς ὑπομονήν. — Ὁ διὰ τῆς κολοκυνθίδος πόλτος.] Τὸ δὲ καθαρτικὸν ᾧ πρὸ τοῦ σιναπισμοῦ δεῖ κεχρῆσθαί ἐστι τοῦτο. Λαβὼν κολοκυνθίδας δύο καὶ περιγλύψας κένωσον τῆς ἐντεριώνης καὶ τοῦ σπέρματος· περιωδυνίας γὰρ ἰσχυρὰς εἴωθεν ἐπιφέρειν· γεμίσας τε τὰς κολοκυνθίδας ἐλαίου γλυκέος καὶ πωμάσας τοῖς ἐξ αὐτῶν περιγλυφεῖσιν ἔασον μίαν νύκτα, τῇ δὲ ἑξῆς τὸ ἔλαιον ἐκχέας εἰς χύτραν καὶ ὕδατος ἓν καὶ ἥμισυ, καὶ αὐτὰς τὰς κολοκυνθίδας ὁμοίως ἕψε ἔστε ἂν τακερωθῶσιν, [εἶτα] αὐτὰς μὲν ῥίπτειν, τῷ δὲ ὑδρελαίῳ πάλιν ἐπὶ ἱκανὸν ἑψηθέντι ἐμπάσσειν ἄρτον καθαρὸν κεκομμένον καὶ σεσησμένον, καὶ πολτοποιήσαντα διδόναι λουσαμένῳ ἐξ αὐτοῦ σφαίρας μέγεθος ἐχούσας καρύου ποντικοῦ ὀκτωκαίδεκα καὶ ὕδωρ ἐπιπιεῖν αὔταρκες. Εἰ δέ τις βούλοιτο εὐτονώτερον αὐτὸ ποιῆσαι, παραμιγνύειν ἐλλεβόρου μέλανος τριώβολον. Τοῦτο ἐξαρκεῖ καὶ τὴν ἐν πολλῷ χρόνῳ σκιῤῥωθεῖσαν ἰσχιάδα ἐξαλεῖψαι. Ἕψονται δὲ αἱ κολοκυνθίδες ἕως τακερώσεως, ἀλλαχῇ μετακενωθέντος τοῦ ἐννυκτερεύσαντος αὐταῖς ἐλαίου, εἶτα ἐπειδὰν ἀποθλιβεῖσαι ῥιφῶσι, τότε μίγνυται τῷ ὕδατι τὸ ἔλαιον καὶ πάλιν συνέψεται, εἶτα οὕτω μίγνυται ἡ ἐκ τοῦ ἄρτου σεμίδαλις. Ἔστι δὲ τούτῳ τῷ καθαρτικῷ καὶ πλεονάκις χρῆσθαι ὑφαιροῦντα τοῦ πλήθους· ἔτι δὲ ἴχνους τῆς διαθέσεως ὑπολειπομένου παραληπτέον τὴν ἰβηρίδα καλουμένην, ὑπὸ δέ τινων καρδαμίνην ῥίζαν, κοπεῖσαν μετὰ ὀξυγγίου καὶ ἔξωθεν ἐπιτιθεμένην, κηρωτῇ τε σκεπάζειν τὰ μέρη ἐν τοῖς ἀπὸ τῶν βοηθημάτων διαλείμμασι ταύτῃ. Ὀποπάνακος Γο α' διαλύεται ὄξους κυ. β', εἶτα κηρωτὴ ἐκ κυπρίνου γενομένη συναναμαλάσσεται. Οἱ δὲ ἀρχαῖοι ἐχρήσαντο καὶ καύσει διά τε καυτήρων πεπυρακτωμένων καὶ διὰ ἐλαίου. Ἐν μὲν τοῖς παροξυσμοῖς διαδεῖν τὰ ἄκρα προσήκει, ἐμβρέχειν τε συνεχῶς καὶ καταπλάσσειν ὠμηλύσει, καὶ μᾶλλον αἰρίνῳ μετὰ ῥητίνης καὶ σικύου ἀγρίου ῥίζης καὶ νίτρου καὶ καλαμίνθης καὶ κάχρυος καὶ δαφνίδων, πυριᾶν τε διὰ κέγχρου φρυκτῆς ἢ ἁλῶν καὶ ἐλαίου, διαιτᾶν τε λεπτῇ διαίτῃ μετὰ ὑδροποσίας, καὶ ποτὰ δὲ ἐν παροξυσμοῖς προσφέρειν ὀπὸν κυρηναϊκὸν ὀρόβου μέγεθος. Ἄκρως δὲ ποιεῖ καὶ καστορίου ∠α' σὺν ὀποπάνακος ὀβολοῖς γ'. Ἔχει δὲ χώραν ἐπιμενόντων τῶν ἀλγημάτων καὶ τὰ ἀνώδυνα ὡς ἡ διὰ δύο πεπέρεων. Ἐν δὲ τοῖς διαλείμμασι τὰ γυμνάσια ἐπιτελείσθω διά τε περιπάτων καὶ συνεχῶν διακάμψεων καὶ ἀφάλσεων καὶ δρόμων συμμέτρων· αἰώρα δὲ ἡγήσεται ἡ διὰ ἵππου ἁρμόζουσά πως τῷ πάθει τούτῳ καὶ ἀνα-

16. [εἶτα] Or. XLV, 29, p. 66, l. 3; om. X; καὶ ἀποθλίψας Aët. — 26. καρδαμίνην Aët.; καρδαμήτην X. — 29. καύσει Aët.; διὰ καύσει X. — 35. ὀβολοῖς Aët. lat.; om. X. — 37. ἀφάλσεων ex em.; ἀσφάλσεων Paul.; ἐφάλσεων X.

φώνησις. — Ἰσχιαδικὸν ἐπίθεμα.] Πίσσης ξηρᾶς Γο δ', θείου ἀπύρου Γο β'. Κόψας καὶ σήσας ὁμοῦ ἐπίπασσε ϖρολούσας ἔτι ἔνθερμον ἔχοντι τὸν χρῶτα καὶ σκέπαζε χάρτῃ. Ποιεῖ ἐπὶ ἰσχιαδικῶν τό τε χλωρὸν ἄκοπον καὶ τὸ μετασυγκριτικὸν καὶ τὰ σὺν αὐτοῖς ἐπὶ ϖαραλύσεως ϖροειρημένα. — Ἰσχιαδικὸν ϖότημα.] Ὀροβίνου ἀλεύρου, ἀνίσου, μαράθου ἴσα μέτρῳ δίδου ὀβολοὺς ἐννέα οἴνου ἡμικοτυλίῳ· ἄγει διὰ οὔρων ϖάχος, ἱκανῶς δὲ καθάρας εὕροις [ἂν]. Δίδου μηκέτι. — Ἡ λέαινα ἀνασκευαστική.] Ἐλαίου ϖαλαιοῦ λ β', μολιβδαίνης, ἁλῶν κοινῶν, τερεβινθίνης ∠ρ', λεπίδος ἐρυθρᾶς Γο ι', ἰοῦ ξυστοῦ, στρουθίου, χαμαιλέοντος μέλανος ῥίζης, ἀριστολοχίας, νάπυος ἀνὰ Γο β', ἐνίοτε καὶ κάχρυος ἢ ϖυρέθρου ἀνὰ Γο α'. Ποιεῖ καὶ τῇ κεφαλῇ ἐπιτιθεμένη ϖρὸς ἡμικρανίαν.— Ἄκοπον ϖαρὰ τοῦ φιλοσόφου ἰσχυρόν.] Κυπρίνου λ β', ἰρίνου λ α'S'', δαφνίνου λ α', κηροῦ λ α', ϖεπέρεως Γο γ', ὀποπάνακος Γο γ', εὐφορβίου Γο β', καστορίου Γο β', στρουθίου Γο β', σαμψύχου Γο α', ὑσσώπου καὶ τερεβινθίνης ἀνὰ Γο α'. — Ἄλλο ἐπαινούμενον ϖαρὰ Μαρκιανοῦ.] Κηροῦ Γο ιη', ϖίσσης ξηρᾶς Γο ς', ϖιτυΐνης Γο γ', χαλβάνης Γο θ', σάπωνος Γο γ', θείου ἀπύρου Γο γ', ἁλῶν φρυκτῶν Γο δ', ϖυρέθρου Γο θ', καρδαμώμου Γο ς', φέκλης Γο ς', εὐφορβίου Γο β', ϖεπέρεως Γο α', ἀδάρκης Γο α'.

ος'. Περὶ ϖοδάγρας καὶ ἀρθρίτιδος.

Τὸ ϖοδαγρικὸν καὶ ἀρθριτικὸν ϖάθος ὁμοιοειδῆ καθέστηκεν ἀλλήλοις· μόνῳ γὰρ διαφέρει τῷ ϖλήθει τῶν ἀλγούντων τόπων, ἐπειδὴ ϖερὶ μόνους μὲν τοὺς ϖόδας τῆς ὀδύνης συμβαινούσης ϖοδάγρα ϖροσαγορεύεται, διαβιβαζομένης τε ἐπὶ τὰ γόνατα, χεῖρας, ἀγκῶνας, γλουτοὺς, ὠμοπλάτας ἀρθρῖτις καλεῖται, τοῖς τε τέλεον ἐχομένοις καὶ σφόνδυλοι καὶ σπάθαι καὶ γένυες, καὶ οὐκ ἔστι τις ὀστέου συνάρθρωσις ἢ οὐκ ἐπωδύνως διατίθεται. Ἐν ἀρχῇ τοίνυν τῆς συναισθήσεως, εἴτε τὸ ϖάθος ἄρχοιτο, εἴτε ὁ ϖαροξυσμὸς, ἐμβρέχειν οἰνελαίῳ διὰ ῥοδίνου ψυχρῷ, ἢ καὶ χλιαρῷ, καὶ τηρεῖν ἐπὶ ἀσιτίας μίαν ἡμέραν, τῇ δὲ δευτέρᾳ ἢ τῇ τρίτῃ φλεβοτομεῖν, εἰ ϖρώτη κατάπειρα τοῦ ϖάθους εἴη· οἱ γὰρ δεύτερον ἢ τρίτον ϖεπονθότες καὶ βλάπτονται ὑπὸ τῆς φλεβοτομίας· διὸ μᾶλλον κλυστέον αὐτοὺς, εἶτα καταπλάσμασι χρηστέον στύφουσί τε καὶ ψύχουσιν, ἐπειδή ϖερ ὡς ἐπὶ τὸ ϖλεῖστον τὰ θερμαίνοντα ϖαροξύνει τοὺς τόπους, οἷόν ἐστι ϖολύγονον, ψύλλιον, κορίανδρος, μήκωνες, κώνειον, ἀρνόγλωσσον, στρύχνον, ἀνδράχνη, ἀείζωον, φακὸς ὁ ἐπὶ τῶν τελμάτων, ῥόδων φύλλα, σέρις καὶ τὰ ἐοικότα. Λεῖα δὲ μετὰ ψιχῶν ἐπιτιθέσθωσαν ἢ κατὰ αὐτὰ, συνεχῶς δὲ ἀλλασσέσθωσαν· θερμαινόμενα γὰρ ῥᾳδίως ἀποβάλλει τὴν ἰδίαν ϖοιότητα. Μηκυνομένου δὲ τοῦ ϖάθους ἀμυχαῖς χρηστέον αὐτῶν τε τῶν ἐν ὀδύνῃ μερῶν, καὶ τῶν ἐν κύκλῳ χαρασσομένων. — Ἔμπλαστρος μετὰ τὰς ἐπιδόσεις ἁρμόζουσα ϖαρηγορικὴ τῶν ἀλγημάτων.] Κηροῦ, ῥητίνης, κολοφωνίας, ἀειζώου τῶν κορυφῶν ἀνὰ Γο ς', καστορίου Γο α', τερεβινθίνης Γο β', νίτρου ἀφροῦ Γο ς'. Τὸ ἀείζωον λειοτριβήσας ϖρόσβαλε τὸν ἀφρὸν τοῦ νίτρου καὶ ϖάλιν συλλέαινε· τὰ δὲ τηκτὰ τήξας κατάχεε ἐν τῇ θυίᾳ μὴ ὑπὸ ἓν, ἀλλὰ κατὰ μέρος συνεκλεαίνων ἐπιμελῶς καὶ ϖαραπάσσων τὸ καστόριον. — Ἄλλη ϖρὸς τὰς ἐπὶ

5. οἴνῳ X. — 6. [ἂν] ex em.; om. X.

πολὺ παρατεινούσας ἀκμὰς ἐκμαλάσσουσα καὶ ἀνασκευάζουσα τὰς διαθέσεις.] Πίσσης ὑγρᾶς ℔ γ', κηροῦ Γο ις', μάννης Γο η', τερεβινθίνης Γο ε', νίτρου πυῤῥοῦ ἡμικοτύλιον, ἐλαίου παλαιοῦ καθαροῦ ἡμικοτύλιον κο. α'. Ἕψεται ἡ πίσσα ἕως ἀποσ7αζομένη μὴ μολύνει, εἶτα ἐπιβληθέντος τοῦ ἐλαίου ἕψεται πλείοσιν ὥραις, εἶτα ἐπιβάλλεται ὁ κηρὸς σὺν τῇ μάννῃ καὶ ποσὸν ἑψηθέντων ἐπιβάλλεται ἡ ῥητίνη· ὅταν δὲ καλῶς ἑψηθῇ, ἐπιβάλλεται τὸ νίτρον καὶ ἅπαξ ἀναζέσαν ἐπαίρεται καὶ καταχεῖται τῇ θυίᾳ ὀλίγῳ ἐλαίῳ κεχρισμένῃ.— Ξηρὸν μετασυγκριτικόν. Τούτῳ χρησ7έον ἐν βαλανείῳ· εἰ δὲ ἀλουτοῖεν, μετὰ γυμνάσιον ψηχέσθωσαν καὶ σπόγγοις περιμασσέσθωσαν τὸ προσκαθήμενον τοῦ ξηροῦ.] Νίτρου ἐρυθροῦ ℔ α', νάπυος ξηροῦ, κάχρυος ἀνὰ ℔ β', ἐλλεβόρου λευκοῦ, θείου ἀπύρου ἀνὰ ℔ α'. Ἐγὼ μὴ εὑρὼν κάχρυ πύρεθρον ἔβαλον. — Δίαιτα ποδαγρικῶν καὶ ἀρθριτικῶν.] Δεῖ δὲ ἀπέχεσθαι μὲν μάλισ7α κρεηφαγίας πάσης καὶ οἰνοποσίας, ἔτι τε ἀφροδισίων καὶ τῶν συνεχῶν λουτρῶν, ἤδη δὲ καὶ τῶν ἄλλων βρωμάτων ὅσα ψύχει, ἀλλὰ δὴ καὶ τῶν πνευματωτικῶν καὶ πυρωτικῶν καὶ εἰ δυσκόλως διοικεῖται· διὸ καὶ μελιτ7ώματα καὶ τραγήματα καὶ τὴν γλυκίζουσαν ὀπώραν καὶ ῥᾳδίως ἀποξυνομένην φευκτέον, κρόμμυά τε καὶ σκόροδα καὶ πράσα καὶ ῥαφανῖδας, καὶ γογγυλίδας, ἀλλὰ καὶ ὀσπρίων φακὴν, κύαμον, πίσον, ἢ τό γε πλεονάζειν ἐν αὐτοῖς παραιτητέον. Δίαιτα δὲ ἐν τοῖς διαλείμμασι συνδιατιθέσθω διά τε περιπάτων καὶ καταπλασμάτων καὶ τρίψεων, πρὸς δύναμίν τε πάλης, σπανίου τε λουτροῦ καὶ διὰ ἑπ7ὰ ἡμερῶν δρωπακισμῶν ὅλου τοῦ σώματος, καὶ μετὰ αὐτοὺς ἀνατρίψεως διὰ νίτρου ὀπ7οῦ, σιναπισμοῦ τε δὶς τοῦ μηνός. Ἐπὶ δὲ τῶν τοῖς σ7ύφουσι παρηγορουμένων χρησ7έον μήκωνι καὶ τοῖς φύλλοις οἴνῳ ἑψηθεῖσιν, ἢ κηκιδίοις ῥοὸς μετὰ ἀλφίτου πάλης, ἢ κιτρίου σαρκὶ μετὰ ἄρτου. Ἐπὶ δὲ τῶν τοῖς θερμαίνουσι χαιρόντων σῦκα πίονα ἕψεται ὕδατι καὶ ἐκθλιβέντα καὶ σὺν οἴνῳ λεανθέντα ἕψεται πάλιν μέχρι συσ7άσεως καὶ ἐπιτίθεται. Ἄκρως δὲ ποιεῖ καὶ τὰ τῆς ἐλαίας φύλλα συνεψόμενα τῷ κριθίνῳ ἀλεύρῳ, καταπλασθεῖσα αἰγεία δὲ κόπρος ἐκ τῆς γασ7ρὸς ἄρτι τυθέντος τοῦ ζῴου ἀφαιρεθεῖσα καὶ ἐπιτεθεῖσα. — Ὕλη ἐπιθεμάτων ποδαγρικῶν.] Ἐπεὶ δὲ καὶ ὑπὸ τῶν ἐναντίων εἶναι δοκούντων τινὲς ὠφελήθησαν, ῥητέον ἀναμὶξ τὴν ὕλην αὐτῶν. Ὠφελεῖ τοίνυν ἥ τε ἀγρία ἀτράφαξυς καὶ ἡ ἥμερος σὺν ἄρτῳ καταπλασσομένη, ἢ φλόμου φύλλα μετὰ βολβῶν καὶ ἄρτου λειαινόμενα, ἢ μετὰ ἀλφίτου. Ταῦτα δὲ κωλύει τὴν τῶν πώρων σύσ7ασιν· θέρμινον ἄλευρον σὺν ὀξυμέλιτι ἢ ὀξυκράτῳ, σιλφίου ῥίζα σὺν ἄρτῳ, ἢ βρυωνίας ῥίζα ὁμοίως. Βολβοὶ ἐκπυροῦντες τὴν ἐπιφάνειαν διαχέουσι τὸν παροξυσμὸν, λεαινόμενοι δὲ ἐπιμελῶς μετὰ παιπάλης ἀλφίτου ἢ μετὰ ἄρτου ἐπιτίθενται. Καὶ κράμβη δὲ σὺν ταῖς ῥίζαις καίεται ἧς ἡ σποδὸς σ7έατι ὑείῳ παλαιῷ ἀναληφθεῖσα ἐπιτίθεται. Ἐπὶ δὲ τῶν ἐρυσιπελατώδη συναίσθησιν ἐχόντων ἐπιφανῆ φέρει παραμυθίαν ἤτοι παρηγορίαν κολοκύντης τὸ λέπος ἐπιτιθέμενον, πέπονός τε καὶ σικύου ἡ σὰρξ κατὰ αὐτά τε καὶ μετὰ ἄρτου, περδικίου τε φύλλα καὶ κισσοῦ σὺν ἄρτῳ ἢ πάλῃ ἀλφίτου. Ποιεῖ δὲ καὶ σμύρνιον καὶ σελίνου σπέρμα, τισὶ δὲ τετήρηται καὶ τὸ πήγανον ἄκρως ποιοῦν ἐπὶ ποδαγρικῶν. — Καταπλάσματα ἕτερα.] Ἔσ7ι δὲ καὶ κατάπλασμα

9. κάχρυος] βράθυος Aët. — 13. τὰ πνευματοτικα καὶ πυροτικᾶ X. — 17. ἐν τοῖς conj.; σὺν τοῖς X. — 19. μετὰ αὐτοῦ ἀνάτριψις X. — 20. σιναπισμός X. — 27. ἀναμὶξ τὴν ὕλην Paul.; ἀνάμιξ ᾿θῆναι (sic) τὴν ὕλην X.

τοιοῦτο. Ἄρτος συγκομισΊὸς ὀξυκράτῳ βραχεῖ λεαίνεται καὶ προσλαμβάνει ὡς τὸ τρίτον αὐτοῦ ἀκτῆς φύλλα καὶ σΊέατος ὑείου ταριχηροῦ ὡς η' ἢ θ'. Καταπλάσμασι χρησΊέον καὶ τούτοις· ὠμῇ λύσει διὰ τήλεως καὶ κριθίνου ἀλεύρου, ἢ τήλεως καὶ λινοσπέρμου, ἢ τρυγίου οἴνου μετὰ κριθίνου, ἢ κυαμίνου, ἢ ὀροβίνου, ἢ ῥίζης μαλάχης ἀγρίας ἀφεψήματι μετὰ κριθίνου, ἢ ῥίζης σικύου ἀγρίου ἑφθῆς ἐν ὕδατι προκαταιονήσαντα τῷ ὕδατι, ἢ φύλλοις ἀμπέλου μετὰ πάλης ἀλφίτου, ἢ ῥαφάνῳ ἑφθῷ μετὰ μαλάχης, ἢ σεύτλου φύλλοις, ἢ ῥοὸς φύλλοις χλωροῖς, κυτίνοις ἡψημένοις, ἢ κυδωνίοις μήλοις ὁμοίως σὺν ἀλφίτοις, ἢ ὀπίῳ καὶ σΊύρακι καὶ ἀμυγδάλοις πικροῖς μετὰ κυπρίνου καὶ ὄξους, ἠριγέροντι σὺν ἄρτῳ καὶ ὀξυγγίῳ. — Ἄκοπον πρὸς τὰ οἰδοῦντα ἄρθρα καὶ ἐπαλγῆ.] Κυπρίνου ἢ σικυωνίου λ̸ β's", κηροῦ Γο γ', νίτρου ἀφροῦ Γο γ', μυελοῦ ἐλαφείου Γο β', δαφνίδων λελεπισμένων, ἴρεως ξηρᾶς ἀνὰ Γο α's", πεπέρεως ∠β'. Λειοτριβεῖται τὰ ξηρὰ ὄξει. Διαχεῖ καὶ τὰ ἐν βάθει ἐπισπώμενον, ἔσΊιν ὅτε καὶ ἀποσΊάσεις εἰς ἐπιφάνειαν ἤγαγεν. — Πρὸς πώρους.] Νίτρου ἀφρὸν λεάνας ἐν ἐλαίῳ παλαιῷ μετὰ ὀλίγου κρόκου καὶ ὄξους κατάχριε· βέλτιον δὲ εἰ ὄξει λειώσας τὸν ἀφρὸν τοῦ νίτρου καὶ τὸν κρόκον κηρωτῇ δὲ ὑγρᾷ ἀναλάβοις. — Τὸ διὰ κεδρίας.] Κηροῦ, πίσσης, κεδρίας ἀνὰ ∠ν', κολοφωνίας ∠κε', προπόλεως ∠ιζ' ἢ ιβ'. Ἐν ἄλλῳ ἔχει οὕτως· κηροῦ, πίσσης ἀνὰ ∠ν', κολοφωνίας, προπόλεως, κεδρίας ἀνὰ ∠κ'. — Πρὸς τοὺς ἄνευ οἰδημάτων ποδαγριῶντας.] Κηροῦ Γο γ', δαφνίδων Γο γ', σικυωνίου ἢ παλαιοῦ ἐλαίου Γο θ'. — Ἢ τὸ Νειλέως·] ἔσΊι δὲ κηροῦ Γο ς', ἀμμωνιακοῦ θυμιάματος Γο ς', κρόκου ∠β', ῥοδίνου ∠ε'. Ὄξει τὸ ἀμμωνιακὸν λεῖον. Ἢ τὴν τετραφάρμακον προσλαμβάνουσαν καὶ λιβανωτοῦ ὡς εἶναι τῶν ε' Γο δ'. — Κηρωτὴ ποδαγρική.] Στέατος ὑείου παλαιοῦ Γο ς', σικύου ἀγρίου ῥίζης ἑφθῆς ἐν μελικράτῳ Γο β' ἢ γ'· ἐπίχριε. — Ποδαγρικὴ ἐμψυκτικὴ διὰ ὀπίου, κρόκου καὶ ἄρτου καὶ τῆς διὰ χυλῶν· κεῖται ἐν τοῖς ἑδρικοῖς. — Κηρωτὴ ποδαγρική.] Χυλοῦ ἀλθαίας, τήλεως, λινοσπέρμου λ̸ β', ἐλαίου παλαιοῦ λ̸ β', κηροῦ, κολοφωνίας ἀνὰ λ̸ α', χαλβάνης Γο β'. Συνέψονται τῷ ἐλαίῳ οἱ χυλοὶ καὶ τότε ἐπιβάλλεται κολοφωνία, ὕσΊατος δὲ ὁ κηρὸς συνολμοκοπηθεὶς τῇ χαλβάνῃ. — Ἀρθριτικὸν κατάπλασμα.] Ἄρτου τὸ ἐντὸς Γο ς', ᾠῶν ὀπτῶν λεκίθους δ', μελιλώτου Γο β', μέλιτος τὸ ἀρκοῦν. Ὁ ἄρτος καὶ τὸ μελίλωτον οἴνῳ γλυκεῖ ἀποβρέχονται. — Πρὸς τοὺς ἀπὸ σΊρέμματος τὰ ἄρθρα ἀλγοῦντας, οἷον γόνατα, ὤμους, σφυρὰ, ἀγκῶνας, καὶ μάλισΊα εἰ χρονίσειαν.] Κηροῦ, πιτυΐνης, κολοφωνίας ἀνὰ Γο ς', τερεβινθίνης Γο α', κυπρίνου Γο δ', ἢ τὸ ἀρκοῦν, τήλεως ξηρᾶς λεπΊῶς σεσησμένης ἡμίναν. Ἀνάλαβε τὸ ἄλευρον ἀναλυθείσῃ τῇ κηρωτῇ. — Κηρωτὴ ἀρθριτικοῖς Ἀφθονίου τοῦ ῥωμαϊκοῦ δικολόγου.] Κηροῦ, σΊέατος χοιρείου, κολοφωνίας, πιτυΐνης ἀνὰ λ̸ β', βουτύρου, τερεβινθίνης ἀνὰ λ̸ α', χαλβάνης Γο α', ταυρείου σΊέατος λ̸ β', οἰσύπου λ̸ α'. Τακὲν πήγνυται· ἐπὶ δὲ τῆς χρήσεως συντήκεται ναρδίνῳ μύρῳ. Χρῶ καὶ θαυμάσεις. — Ἔμπλαστρος λαυρεντιανὴ μετὰ τὰς ἐπιδόσεις.] Λιθαργύρου λ̸ α', μολιβδαίνης λ̸ α', χαλκοῦ κεκαυμένου, χαλβάνης, χαλκάνθου ἀνὰ Γο β', κολοφωνίας, κηροῦ ἀνὰ λ̸ α', ἐλαίου παλαιοῦ λ̸ β'. Ἕψε λιθάργυρον, μολίβδαιναν ἕως ἀμολύντου, εἶτα ἐπίβαλλε χαλκὸν, χάλκανθον λεῖα, ὕσΊατην δὲ τὴν κηρωτὴν μετὰ τῆς χαλβάνης, ἐπὶ δὲ τῆς χρήσεως ἀνεὶς τοῦ μὲν φαρ-

27. λεκύθους Γο δ' X.

μάκου μέρος ἕν, κηροῦ δὲ μέρη δύο, καὶ ἐλαίου τὸ ἀρκοῦν ϖλερῷ κατάχριε. — Ἄλλη ἔμπλασλρος ϖαρηγορική.] Κηροῦ Γο ε', κολοφωνίας Γο α', σλέατος ταυρείου Γο α', ἐλαίου κο. α', χυλοῦ λινοσπέρμου Γο η', γύρεως Γο β', λιβάνου Γο α', λιθαργύρου Γο α'. — Ἀντίδοτος ἰδία Λεπιδιανοῦ.] Χαμαίδρυος, ἀρισλολοχίας σλρογγύλης, γεντιανῆς ἀνὰ ℔ α', ϖηγάνου ἀγρίου σπέρματος ℥ α'. Δίδου ξηρὸν κοχλιάριον α' διὰ ὕδατος θερμοῦ ἢ ψυχροῦ· ἢ ϖλάσσε. Ἡ δὲ ϖόσις ἡμέρας τξε'.

οζ'. Περὶ ἐλεφαντιάσεως. Vid. XLV, 29, t. IV, p. 65-82.

οη'. Περὶ κνησμῶν, ἀλφῶν, λειχήνων, λέπρας, λεύκης.

Ἐπὶ τοῦ κνησμοῦ Φλεβοτομίᾳ χρησλέον καὶ λουτρῷ. Πάντως μὲν νήσλεις ὡς λούειν ἔθος, καὶ μικρὸν βεβρωκότα τὸ δεύτερον λούειν· δύσικμον γὰρ τὸ ϖάθος· ξυρᾷν δὲ τὰ τετριχωμένα καὶ σμᾷν τήλεως ἀφεψήματι, ἢ σεύτλου, ἢ ϖιτύρων, ἢ σησάμου, ἢ μαλάχης ἀγρίας ἢ ἡμέρου· συμπάσσειν δὲ καὶ ἀλεύρῳ κυαμίνῳ, ἢ μυροβαλάνῳ· εἰ δὲ χρονίζοι, ϖυριᾷν καὶ λούειν ἀφεψήματι ἐλελισφάκου, μυρίκης, λινοζώσλεως, ὀριγάνου, γλήχωνος, δαφνίδων, σικύου ἀγρίου ῥίζης, κονίᾳ σλακτῇ, ὀξάλμῃ, θαλάσσῃ, συμπάσσειν δὲ τούτοις· νίτρῳ μετὰ ὄξους τρυγὸς, ἢ τούτῳ ὃ λαμβάνει νίτρου ἀφροῦ ℥ α', λιβανωτοῦ, θείου ἀπύρου ἀνὰ ℔ α', κιμωλίας Γο ις'· ἢ τούτῳ· ἀφρονίτρου, θείου ἀπύρου, ἀλκυονίου κεκαυμένου ἴσον· εἰ δὲ ἐπιτεῖναι θέλεις, καὶ ἐλλεβόρου λευκοῦ. Συγχρίειν δὲ ὀξελαίῳ, συντετριμμένης σλαφίδος ἀγρίας. Καταχρίειν δὲ θείῳ μετὰ ὄξους, ἢ καρδαμώμῳ, ἢ σηπίας ὀσλράκῳ μετὰ ὄξους, ἢ σανδαράκῃ, ἢ κισσοῦ καρπῷ, ἢ θείῳ ἀπύρῳ, ἢ λαπάθου ῥίζῃ, ἢ νίτρου μὲν ὀβολοῖς δύο, σλαφίδος δὲ ἀγρίας καὶ σανδαράκης ἀνὰ Γο β' μετὰ ὀξελαίου. — Πρὸς ἀλφοὺς καὶ λέπρας καὶ λειχῆνας.] Ἀλκυονίου, νίτρου ἀνὰ Γο β', ἐλλεβόρου λευκοῦ, θείου ἀπύρου ἀνὰ Γο α', ἐνίοτε καὶ σπεκλαρίου κεκαυμένου Γο α'. Ποιεῖ ϖρὸς μέλανας. — Ἄλλο ϖρὸς μέλανας ἀλφούς.] Συκῆς ἀκρεμόνων χλωρῶν ℔ α', ϖηγάνου Γο ϛ', ὑοσκυάμου Γο ϛ' τοῦ χυλοῦ, ἀσβέσλου, μίσυος ἀνὰ Γο α'. Σὺν ὄξει ἐν ἡλίῳ κατάχριε, καὶ ταχέως ἀπόψα ϖρὶν ἑλκώσει. — Λειχηνικόν.] Κηροῦ, τερεβινθίνης, ϖροπόλεως, θείου ἀπύρου, σλυπληρίας σχισλῆς ἴσα. Τερεβινθίνης Γο β', θείου ἀπύρου Γο α', λιβάνου Γο δ'. Ἐὰν δοκῇ σκληρὸν εἶναι, δίδου ϖλείω τερεβινθίνης καὶ ἐπιτιθεὶς λύε διὰ τρίτης, καὶ ϖάλιν ἐπιτίθει ἕως ψυδρακώσει, εἶτα ἐπὶ τὴν διὰ χυλῶν διάβαινε· δύναται δὲ καὶ αὐτὸ ἐπουλοῦν. — Πρὸς λειχῆνας καὶ λέπρας.] Ἄγνου σπέρματος μετὰ ἀφρονίτρου σὺν ὄξει ἐπίχριε, ἢ αἴρινον ἄλευρον σὺν ὄξει, ἢ ἀγχούσης ῥίζαν μετὰ ὄξους.

οθ'. Περὶ λέπρας καὶ ψώρας.

Ἡ λέπρα καὶ ἡ ψώρα ἑκάτερον τραχυσμός ἐσλι τῆς ἐπιφανείας μετὰ κνησμοῦ καὶ

Ch. 78, l. 10. συμπάσσειν conj.; συμπᾶσι X 1re m.; συμπᾶσσι 2e m.; σὺν τούτοις Paul.; συμπάτλειν Aët. — Ib. μυροβαλανίνῳ Aët., Paul. — 13. συμπάσσειν conj.; σὺν ϖᾶσι X 1re m.; σὺν ϖάσσι 2e m.; ϖροπάσσειν Paul.; συμάσιν (sic) δὲ τὸ σῶμα Aët. — 21. σφέκλης κεκαυμένης Paul.

ἀποψήξεως σωμάτων, ἐπὶ μὲν τῆς ψώρας λεπῖῶν καὶ πιτυροειδῶν, ἐπὶ δὲ τῆς λέπρας φολιδοειδῶν. Τρέπεται δὲ τὸ χρῶμα ποτὲ μὲν ἐπὶ τὸ μελάντερον, ποτὲ δὲ ἐπὶ τὸ λευκὸν, ποτὲ δὲ ἐπὶ τὸ ἐρυθρόν. Διακρίνεται δὲ ὁ ἄγριος λειχὴν τῷ αὐτὸν μὲν κυκλοτερῶς ἐπινέμεσθαι, τὴν δὲ λέπραν οὐχ ὁμοίως, οὐδὲ τὴν ψώραν. — Πρὸς λέπραν.] Αἰρίνου ἀλεύρου ∠α′, νίτρου ἀφροῦ ∠δ′, χαλκάνθου ∠η′, σεύτλου ῥίζης λεάνας τὸ ἀρκοῦν ἕψε ὄξει δριμυτάτῳ, ἐπὶ δὲ τῆς χρείας λαβὼν τὸ ἀρκοῦν καὶ μίξας κατάχριε παχεῖ προεκνιτρώσας τὸν τόπον καὶ ἐπιδήσας ὀθονίῳ· ἐπίλυε δὲ διὰ τρίτης καὶ ἀπόκλυζε ὕδατι ψυχρῷ, καὶ πάλιν ἐπίχριε. Ἀλφοὺς, λέπρας καὶ λειχῆνας ἀποκαθαίρει σῖαφὶς ἀγρία σὺν θείῳ ἀπύρῳ καὶ ἀρσενικῷ, σχισῖὴ μετὰ ὄξους καταχριομένη.—Πρὸς λέπρας, ψώρας.] Μίσυ καὶ χαλκῖτιν ἴσα μετὰ οἴνου ἐπίχριε πολλάκις. — Λεπρικόν.] Ἀσφοδέλου ἢ σεύτλου ῥίζης χυλοῦ Γο ϛ′, θείου ἀπύρου, μάννης ἀνὰ ∠ι′, νίτρου ∠η′. Ξηρανθὲν ἐπίχριε διεὶς ὄξει. — Περὶ λεύκης.] Ἡ λεύκη σπῖλός ἐσῖι περὶ πᾶν μέρος τοῦ σώματος γινόμενος, ἐπὶ δὲ τῶν τετριχωμένων πολιοῖ μὲν, οὐ ψιλοῖ δέ. Τοῦτο θεραπεύει ῥοὸς ἄνθη ∠η′, νίτρου ἀφροῦ ∠ε′, ἀλκυονίου ∠γ′, θείου ἀπύρου ∠β′.— Πρὸς ἀλφοὺς μέλανας καὶ λειχῆνας.] Θείου ἀπύρου, νίτρου ὀπῖοῦ, ἀλκυονίου ἀνὰ Γο β′, κόμμεως Γο α′. Ὄξει λείου. — Ἐφήλεις, σπίλους, ἰόνθους, ἀλφοὺς θεραπεῦον.] Ὀρόβων ἀλεύρου ƛ β′, εὐζώμου σπέρματος ƛ α′, ἀμυγδάλων πικρῶν, σικύου ἀγρίου ῥίζης ἀνὰ ƛ α′. Οἰνομέλιτι συλλέαινε, ἐπίχριε δὲ διὰ μέλιτος, μετὰ δὲ ὡριαῖον διάσῖημα ἀποσπόγγιζε. — Φακοὺς αἶρον.] Θέρμους πικροὺς ἐν κονίᾳ βρέχε ἕως οἰδήσωσιν· λειώσας δὲ ἐπίχριε ἕως ἀφέλῃ. — Ἄλλο.] Σάπωνα γαλλικὸν ὕδατι λειώσας καὶ μέλιτι ἐπίχριε· ἔασον ὥρας γ′, μετὰ δὲ τὸ ἀποσπογγίσαι χρῶ τῷ διὰ χυλοῦ. — Πρὸς λειχῆνας.] Νίτρον καὶ λάδανον σὺν ὄξει κατάχριε. — Σμῆγμα ὁ Ἀσκληπιός.] Νίτρου, ἀφρονίτρου, ἁλῶν κοινῶν, καππαδοκικῶν, ἀμμωνιακῶν καὶ πικρῶν, κισήρεως, δαφνίδων ἀνὰ Γο ϛ′, ἐλλεϐόρου, σῖρουθίου, θείου ἀπύρου, νάπυος, κόμμεως, σῖαφίδος ἀγρίας, φέκλης, ἴρεως ἀνὰ Γο γ′, κηκῖδος, κυπέρου, σαμψύχου, πυρέθρου, λιϐάνου, σχοίνου ἄνθους, σικύου ἀγρίου ῥίζης, πρασίου ξηροῦ κόμης, χαμαιλέοντος μέλανος ἀνὰ Γο α′s″. — Πρὸς ἀλφοὺς μέλανας.] Λιθαργύρου Γο β′s″, θείου ἀπύρου Γο α′s″, νίτρου Γο α′, κισήρεως Γο α′· ἑνώσας [χρῶ].

π′. Περὶ καθαρτικῶν ἁπλῶν.

Χολαγωγοῖς χρησῖέον ὥρᾳ πάσῃ καθαρτικῇ πλὴν χειμῶνος. Ἀλόης ∠α′ μετὰ μελικράτου διδόσθω ὄρθρου· φθάνει γὰρ πρὸ τοῦ ἀρίσῖου κατεργάσασθαι· οἱ δὲ ἑσπέρας ἢ μετὰ τροφὴν διδόντες βλάπῖουσιν· διαφθείρει γὰρ τὴν τροφὴν, ὅ τε ὕπνος διαχεόμενος ἐπὶ τῷ φαρμάκῳ μάλισῖα ἀδικεῖ. Κενοῖ δὲ χολὴν ξανθήν. Δίδοται δὲ κεφαλὴν βαρουμένοις, ὀφθαλμιῶσι, διψώδεσι, τοῖς τε ἐν τοῖς ὕπνοις φαντασιώδεσιν ἄνευ πυρετοῦ, τοῖς τε διαδρομῆς φρικώδους ἢ ναρκώδους αἴσθησιν ἔχουσι καὶ τοῖς φύσας δριμείας ἀποκρίνουσιν ἢ δακνομένοις τὰ ἔντερα καὶ τοῖς περὶ σῖόμαχον πυρώσεως ἢ ἄσης, ἢ ναυσιώδεις ἀνατρεπῖικῆς ἀντιλαμϐανομένοις, καὶ τοῖς ἐπὶ πλήθει περιτῖωμά-

28. [χρῶ] om. X. — Ch. 80, l. 31. ἢ Paul.; οἱ X. — 35-36. ἢ ἄσης Aët., Paul.; πάσης X. — 36. ἀνατρεπῖικῆς Aët., Paul.; ἀνατροπῖικῆς X. Conf. p. 596, l. 25.

των κλυσθῆναι μὴ δυναμένοις. Δίδοται δὲ τοῖς ἀνεχομένοις τῆς πικρίας αὐτῆς τετρώβολον λειοτριβηθεῖσα μετὰ κυάθου μελικράτου· τοῖς δὲ μὴ ἀνεχομένοις τὴν πικρίαν αὐτῆς εἰς καταπότια ἀναλαμβάνεται μετὰ χυλοῦ κράμβης, ἢ θριδακίνης, ἢ μαλάχης, ἢ κιτρίου. Μέλας ἐλλέβορος χολὴν ἄγει ἐκ παντὸς τοῦ σώματος ἄνευ περισκελασίας· διὸ καὶ πυρέσσουσι δίδοται πλὴν τῶν σΊραγγῶς καὶ συνεχῶς πυρεσσόντων· δίδοται δὲ καὶ τοῖς ἄνευ πυρετοῦ ὀξέως νοσοῦσι καὶ τοῖς ἐν χρονίοις νοσήμασι δεομένοις χολαγωγοῦ φαρμάκου, οἷον μαινομένοις, ἑτεροκρανικοῖς, ὑπὸ κεφαλαίας ὀχλουμένοις, ῥευματιζομένοις ὄμματα, περὶ θώρακα διαθέσεις ἔχουσιν. Ἐπιτηδειότατος δέ ἐσΊι σπλάγχνοις τε καὶ ὑσΊέρᾳ καὶ κύσΊει φαρμακείας δεομένοις· ἀγαθὸς δὲ καὶ ἐπὶ τῆς τραχείας ἀρτηρίας χρονίως πεπονθυίας, ἰκτεριῶσί τε καὶ τοῖς ἐξανθήματα ἔχουσι καὶ λειχῆνας ἢ ἕρπητας, ἢ ἐρυσιπέλατα, ἢ λέπρας. Ἡ δόσις δὲ τοῦ πλήθους ∠α΄ τῶν ῥιζῶν βρεχομένων ὀλίγῳ ὕδατι, ἔπειτα ἀναπΊυχθέντων αὐτῶν καὶ ἀφαιρεθείσης τῆς δηλητηριώδους αὐτῶν ἐντεριώνης, εἶτα ξηραινομένου τοῦ φλοιοῦ καὶ κοπΊομένου καὶ σηθομένου. Διδόσθω δὲ μελικράτῳ ἢ ὕδατι προησιτηκόσι πάντως, καὶ μέχρι τῆς παντελοῦς καθάρσεως οὐδὲν θρεπΊέον. Δίδοται δὲ καὶ φυραθεὶς μέλιτι ὡς καταπότια, τινὲς δε μιγνύουσιν αὐτῷ γλήχωνα ἢ θύμβραν· οἱ δὲ ὀξυπόρῳ τινὶ ἔμιξαν. Καθόλου δὲ ἐπὶ πάντων τῶν δρασΊικῶς καθαιρόντων ἀπαγορεύομεν τοῖς φαρμακευομένοις ὑπνοῦν μέχρι παντελοῦς καθάρσεως. Σκαμμωνία παραπλησίως ἐλλεβόρῳ καθαίρει, καὶ ἔτι μᾶλλον χρησΊέον οὖν ἐπὶ παθῶν ἐπὶ ὧν καὶ τῷ ἐλλεβόρῳ. Τῶν δὲ καθαρτικῶν πάντων ὑπαρχόντων κακοσΊομάχων πλὴν τῆς ἀλόης κακοσΊομαχωτέρα ἡ σκαμμωνία. Οὐ δοτέον οὖν αὐτὴν οὔτε τοῖς πεπονθόσι σΊόμαχον, οὔτε πυρέσσουσιν. Ἀπυρέτοις οὖν αὐτὴν καὶ εὐσΊομάχοις καὶ δυσήμεσι καὶ τοῖς μὴ ῥᾳδίως λιποθυμοῦσι δοτέον πλῆθος ὀβολῶν δ΄· μικτέον δὲ αὐτὴν ἁλσὶν εὐαρτύτοις, ἢ ὀξυπόρῳ τινὶ τῶν εὐσΊομάχων ἢ ζιγγιβέρει ἢ πεπέρει ἢ γλήχωνι, ἢ αὐτοῖς ψιλοῖς τοῖς ἁλσίν· τὸ γὰρ ἀνατρεπΊικὸν αὐτῆς καὶ κακοσΊόμαχον ἐπανορθοῦσιν οἱ ἅλες. Δίδοται καὶ μετὰ μέλιτος ἑφθοῦ, καὶ καταπότια ἐξ αὐτῆς γίνεται μετὰ κόμμεως ἀραβικοῦ φυρομένης. Κολοκυνθὶς μάλισΊα μὲν χολὴν καθαίρει, καθαίρει δὲ καὶ μύξας, δύναμιν δὲ ἔχει παρηλλαχυῖαν ἐλλεβόρῳ καὶ σκαμμωνίᾳ· ἐκεῖνα μὲν γὰρ αἵματος καὶ τῶν περιεχόντων τὸ αἷμα ἀγγείων καὶ τῶν ἐκ τούτων πεπλεγμένων ἐσΊὶ καθαρτικά· κολοκυνθὶς δὲ νεύρων καὶ τῶν νευρωδῶν σωμάτων· διόπερ ὑποληπΊέον τὸ μυξῶδες τὸ ἀγόμενον ὑπὸ αὐτῆς ἐν ταῖς καθάρσεσιν ἀπὸ τῶν νεύρων ἥκειν. Δοτέον οὖν αὐτὴν τοῖς κεφαλὴν πεπονθόσιν ἐπειδὰν μῆνιγξ ἢ ὁ περικράνιος κεκακῶσθαι τύχῃ ἐν σκοτωματικοῖς, ἑτεροκρανικοῖς, ὑπὸ κεφαλαίας ὀχλουμένοις, ἀποπληκτικοῖς, κυνικῶς σπωμένοις, χρονίως ὄμματα ῥευματιζομένοις, ὀρθοπνοϊκοῖς τε καὶ ἀσθματικοῖς καὶ βήσσουσι χρονίως, ἔτι τε ἰσχιαδικοῖς, ἀρθριτικοῖς, τοῖς τε περὶ νεφρὸν ἢ κύσΊιν χρονίαν ἐσχηκόσι διάθεσιν. Δίδοται δὲ δραχμῆς πλῆθος τῆς ἐντεριώνης χωρὶς τῶν κόκκων ἐν μελικράτου κυ. β΄, ἐναφηψημένου αὐτῷ καὶ πηγάνου. ΚοπΊέσθω δὲ ἡ ἐντεριώνη καὶ σηθέσθω λεπΊοτάτῳ κοσκίνῳ, ἔπειτα λεανθεῖσα πολλάκις πάλιν σηθέσθω· πάσχει γάρ τι τοιοῦτον. Λεανθεῖσα πρὶν βραχῆναι λεπΊοτάτη φαίνεται, τῷ μελικράτῳ δὲ ἐμβληθεῖσα καὶ ἀνυγρανθεῖσα διοιδαίνει

33. ὀχλουμ., ἐπιληπΊικοῖς, ἀποπλ. Paul. — 35. χρονίαν Aët.; χρονίως X; om. Paul.

σφόδρα ὥστε ἀπιστεῖσθαι βλεπομένη ὅτι διέστηκε. Τούτων οὖν τῶν οἰδησάντων μερῶν τῆς κολοκυνθίδος ἐνίοτε προσίσχεταί τινα ἢ τῇ γαστρὶ, ἢ τῷ στομάχῳ, μάλιστα δὲ ταῖς ἕλιξι τῶν ἐντέρων. Ἅτε οὖν δριμέα ὄντα φύσει καὶ δακνώδη προσκαθήμενα ἑλκοῖ τὰ ἔντερα καὶ συμπαθείας νευρικὰς ἐπιφέρει, στρόφους τε καὶ συνολκάς· διὸ δὴ μάλιστα προνοητέον τοῦ καλῶς λελεάνθαι τὴν κολοκυνθίδα. Οἱ δὲ κόκκοι δραστικὸν μὲν οὐδὲν ἔχουσιν· εἰσὶ δὲ κακοστόμαχοι σφόδρα καὶ παρὰ τοῦτο πλεῖον τῆς ὠφελείας βλάβην παρέχουσιν. Ἐλατήριον παραπλησίαν δύναμιν ἔχει σκαμμωνίας· δοτέον δὲ αὐτοῦ τριώβολον λεῖον μετὰ γάλακτος κο. α΄. Ἐκλεκτέον δὲ τὸ πρασίζον καὶ κοῦφον καὶ μὴ παλαιότερον ἐνιαυτοῦ. Τιθύμαλλος ἄγει χολὴν σκαμμωνίᾳ παραπλησίως· δίδοται δὲ τοῦ ὀποῦ σταγόνες τέσσαρες ἢ ε΄ σὺν ἀλφίτῳ φυραθεῖσαι καὶ ταχέως καταπινόμεναι· κατασχεθεῖσαι γὰρ ἐν στόματι τὴν γλῶσσαν ἑλκοῦσι καὶ τὰ πέριξ. Λαθυρίδες καθαίρουσι χολὴν ὥσπερ ἐλλέβορος καὶ σκαμμωνία· ἔστι δὲ σπέρμα ὀσπριῶδες ἐμφερὲς κατὰ μέγεθος ὀρόβῳ. Δοτέον δὲ ἑπτὰ ἢ ὀκτὼ καὶ μέχρι ιε΄ τοῖς εὐτόνοις. Τοῖς μὲν οὖν πλείω καθαρθῆναι δεομένοις διαμασᾶσθαι προστακτέον· τοῖς δὲ μὴ πάνυ ἐμπράκτου, μηδὲ πολλῆς ἀποκρίσεως χρήζουσιν ὁλοσχερεῖς καταπίνειν, καὶ μάλιστα εἰ κακοστόμαχοι τύχοιεν. Πέπλιον βοτάνη ἐστὶ ποικιλωτάτη τοῖς ἄνθεσιν· ταύτης τῶν ἀκρεμόνων λείων ξηρῶν ὅσον ὀβολοὺς ὀκτὼ ἐν μελικράτῳ δοτέον. Καθαίρει δὲ παραπλησίως ἐλλεβόρῳ χολήν· μάλιστα δὲ ἁρμόζει τοῖς φυσώδεσι τῶν παθῶν ἃ δὴ μελαγχολίας κατάρχει, καὶ σπληνὸς ἐμπνευματώσεσι καὶ ὑστέρας καὶ κόλου, καὶ σομφοῖς οἰδήμασι περιτοναίου· πρὸς γὰρ τῷ χολὴν ἄγειν καὶ φυσῶν ἐστι καταῤῥηκτικὸν ὥς που καὶ Ἱπποκράτης λέγει. Κενταύριον τὸ μικρὸν χολὴν καὶ μύξας καθαίρει· ἰδίως δὲ ἰσχιαδικοῖς ἁρμόζει. Πίνεται δὲ αὐτοῦ τὸ ἀπόζεμα ἀποζεσθὲν ὕδατι· ἔστω δὲ τοῦ κενταυρίου πλῆθος ∠α΄s″, τοῦ δὲ ὕδατος κοτύλη, καθηψήσθω δὲ εἰς ἥμισυ. — Ὀξύγαρον καθαρτικόν.] Σκαμμωνίας, πεπέρεως, ζιγγιβέρεως, ἡδυόσμου, σελίνου σπέρματος ἀνὰ Γο α΄, ὄξους, γάρου, μέλιτος ἀνὰ ℥ α΄. — Κοκκία καθαρτικά.] Ἀλόης Γο α΄, κολοκυνθίδος ἐντεριώνης, σκαμμωνίας ∠ς΄, ἀγαρικοῦ ∠γ΄, ἀψινθίου χυλοῦ ∠β΄, μαστίχης ∠α΄, πεπέρεως λευκοῦ ∠δ΄. Χυλῷ κράμβης ἀναλάμβανε. Ἀλόης Γο γ΄, σκαμμωνίας Γο α΄, κολοκυνθίδος ∠δ΄. — Καθαρτικὸν ὀξύπορον.] Πεπέρεως, κυμίνου, πηγάνου, σκαμμωνίας ἀνὰ Γο α΄, νίτρου βερενικαρίου ἀνὰ Γο γ΄, ὄξους Γο ς΄, μέλιτος λ α΄. Ἡ δόσις κοχλιάριον ἓν μετὰ ὕδατος κυ. α΄· δίδοται δὲ καὶ κατὰ αὐτὸ ὡς ἔκλειγμα. — Ἡ διὰ ὀξυμέλιτος πικρά.] Ἀλόης Γο δ΄, φύλλου Γο β΄, κόστου, κασίας, ἀμώμου, ἴρεως ἀνὰ ∠α΄, μαράθου ῥίζης φλοιοῦ λ α΄, μαστίχης, νάρδου κελτικῆς, ζιγγιβέρεως ἀνὰ ∠α΄, ὄξους ξέστην α΄s″, μέλιτος ℥ α΄s″. — Μελαίνης χολῆς καθαρτικόν.] Ὕδατος ℥ γ΄, μέλιτος κύ. γ΄, ὅπερ ἐστὶ ξεστίου τὸ τέταρτον, ἐπιθύμου Γο α΄. Κόψας σήσας ἕψε ὁμοῦ καὶ μετὰ τὸ περιλειφθῆναι τὸ τρίτον τοῦ παντὸς δίδου πίνειν πρὸς δύναμιν. Δοκεῖ δέ μοι τὸ τέταρτον διδόναι, τοῖς δὲ εὐέκτοις καὶ τὸ ἥμισυ. — Μελαίνης χολῆς καθαρτικόν.] Ἀπίου τὸ πρὸς τῇ ῥίζῃ τὸ μὲν ἄνω χολὴν μέλαιναν καθαίρει τὸ ἥμισυ, τὸ δὲ ὅλον καὶ ἄνω καὶ κάτω. — Πρὸς τοὺς ὑπερκαθαιρομένους.] Ἐπὶ τῶν ὑπερκαθαιρομένων συστέλλειν τὸ ποτὸν καὶ ὑπνοῦν ἐπιτρέπειν· διδόναι δὲ οἶνον αὐστηρὸν ἀπα-

2. προσίσχεται Aët.; προΐσχεται X Paul.

ράχυτον κατὰ βραχὺ μετὰ κρίσιν σὺν ὕδατι ἐπιτεταμένως θερμῷ. Καλὸν δὲ καὶ τὸ ἀδρὸν τοῦ ἀλφίτου φώξαντα ἐπιπάσσειν τῷ ποτῷ. Ἢ κωδύαν πεφωγμένην λείαν ἐμπάσσειν τῷ ποτῷ. Ποιεῖ δὲ καλῶς καὶ φακῆ ἐπτισμένη [σὺν ὄξει] καὶ σεύτλῳ μέλανι ἑψηθεῖσα, προσλαβοῦσα καὶ ῥοῦν, καὶ ἄπιοι σκληραὶ ἐκμυζώμεναι, ἢ κυδώνια, καὶ τὰ πρὸς κοιλίαν ποτιζόμενα, ἢ ὀμφακος ξηρᾶς κοπείσης καὶ σησθείσης καὶ πινομένης· ἔστω δὲ ἀμιναία ἢ ὄμφαξ ἢ ἰταλική.

πα'. Περὶ ἐμετικῶν.

Ἐμέτοις χρῶνται καὶ οἱ ὑγιαίνοντες ὑπὸ πλήθους τροφῆς βαρούμενοι καὶ οἱ νοσοῦντες ὀξέως, ἐπειδὰν ὑπὸ φλέγματος ἢ τοιούτου τινὸς ἐνοχλῶνται· ἐμετικοῖς δὲ φαρμάκοις οὔτε ὑγιαίνουσιν ἐπιτρεπτέον, οὔτε τοῖς ὀξέως νοσοῦσιν· ἐπὶ μόνων γὰρ ἐστιν εὔθετα τῶν χρονίων διαθέσεων, καὶ μάλιστα τῶν ἐσκιῤῥωμένων καὶ μοχλείας ἰσχυρᾶς δεομένων· ἐξαιρέτως δὲ ἁρμόζει νεύροις κεκακωμένοις ἐν ποδάγρᾳ καὶ ἀρθρίτιδι, τρόμοις, παρέσεσιν, ἀποπληξίαις καὶ ταῖς ἀπὸ στομάχου γινομέναις ἐπιληψίαις· ταῖς γὰρ ἀπὸ κεφαλῆς οὐ κατάλληλα. Ἐπιτήδεια καὶ καχεξίαις, τοῖς τε ἐλεφαντιώδεσι, τοῖς τε ἰκτερικοῖς, καὶ ὑδρωπικοῖς τοῖς κατὰ σάρκα, καὶ ταῖς λειχηνώδεσιν ὀρθοπνοίαις, ἀσθματικοῖς, μανίᾳ, μελαγχολίᾳ, καὶ πᾶσιν ἁπλῶς ὅσα μηδεμίαν ἐναντίωσιν ἔχει πρὸς τὴν χρῆσιν τῶν ἐμετικῶν φαρμάκων· ἐναντιοῦνται δὲ αἵματος ἀναγωγῇ, πνιξὶν ὑστερικαῖς, ναυτιώδεσιν, ὑπὸ πνιγμοῦ ἐνεχομέναις οἷον συνάγχης. Τῶν δὲ ἐμετικῶν προχειρότατόν ἐστι κύπρινον· διδόναι δὲ ἀποβάπτειν τοὺς δακτύλους εἰς αὐτὸ καὶ προσάπτεσθαι τοῦ γαργαρεῶνος· κινεῖ γὰρ ἔμετον εὐτόνως. Νάρδου κελτικῆς ῥιζῶν ∠ζ', θλάσπεως σπέρματος ὀξυβάφου πλῆθος, κέστρου ῥιζῶν ∠ε' ἢ ς', δαφνοειδοῦς γ' φύλλα, καὶ ἄλλα πολλὰ ἅπερ ἐν ἱστορίᾳ εὑρίσκομεν, ἄνω καθαίρουσιν. Τὴν οὖν χρῆσιν τούτων ἀπαγορεύομεν μηκέτι πείρᾳ γινωσκομένην, ἀλλὰ μόνον ἱστορίᾳ κειμένην. Ῥαφανῖδες δὲ τῶν προειρημένων ἔλαττον μὲν καθαίρουσιν ἄνω, ὠφελοῦσι δὲ μᾶλλον, ὡσὰν οὐ τοῦ πλήθους τῆς ἐκκρίσεως ἀνύοντος, ἀλλὰ τῆς ποιότητος καὶ τῆς δυνάμεως αὐτῶν. Διὰ τοῦτο ὁ ἀπὸ ῥαφανίδων ἔμετος ὑπὸ πάντων τῶν ἰατρῶν ἐπὶ πάντων τῶν χρονίων νοσημάτων παραλαμβάνεται καθάπερ τις μικρὸς ἐλλεβορισμός. Δοτέον δὲ τὰς ῥαφανῖδας ἐπὶ μὲν παθῶν τῶν προειρημένων προησιτηκόσι καὶ προεμέσασι τρὶς μὲν ἢ τετράκις ἀπὸ δείπνου, νήστεσι δὲ ἅπαξ ἢ δίς. Ἔστωσαν δὲ αἱ ῥαφανῖδες δριμεῖαι σφόδρα καὶ νεαραὶ καὶ κατατετμήσθωσαν εἰς λεπτὰ πέταλα· ἀποβρεχέσθωσαν δὲ τὰ πέταλα πρὸ δύο ἢ τριῶν ὡρῶν ἐν ὀξυμέλιτι, κἄπειτα ἐσθιέτω ὅσον [ἂν] ὁ λαμβάνων δύνηται πλῆθος καὶ πλειστάκις ἐπιῤῥοφείτω τοῦ ὀξυμέλιτος· δυεῖν δὲ ὡρῶν διαγενομένων ἐν αἷς χρὴ περιπατεῖν τὸν λαβόντα, μετὰ τοῦτο χλιαρὸν ὕδωρ ἐπιπινέτω πλεῖστον ὅσον, κἄπειτα μετὰ δακτύλων ἢ πτερῶν καθέσεως ἐμείτω. Σκευάζονται δὲ καὶ ἄλλον τρόπον αἱ ῥαφανῖδες οὕτως. Ἐλλεβόρου τοῦ λευκοῦ καὶ καλοῦ ∠γ' εἰς ῥαφανῖδας καταπείρονται προδιακεντηθείσας καλάμῳ, ἔπειτα εἰς τὰ κεντήματα

1. μετὰ κρηναίου ὕδατος Aët.— Ib. θερμοῦ X. — 3. [σὺν ὄξει] Aët.; om. X. — 4. ἄπιοι Aët.; ἄπυαι X. — 5. ξηροῦ κοπεντος καὶ σεισθέντος X. — Ch. 81, l. 28. νηστικοῖς X.— 31. [ἂν] om. X.— 33. ἐμείτω Aët.; ἐμεῖν X.

καθιεμένων τῶν τοῦ ἐλλεβόρου ῥιζῶν· ἄλλως γὰρ ἀδύνατον μαλακὰ ὄντα τὰ ῥιζία τοῦ ἐλλεβόρου αἴφνιδιον καταπαρῆναι· ἐμμένοντα δὲ νύκτα ἐν ταῖς ῥαφανῖσιν αὐτὰ μὲν ῥίπτονται, αἱ δὲ ῥαφανῖδες κατατμηθεῖσαι εἰς πέταλα προαποβρέχονται ὡς προείρηται καὶ ὡσαύτως δίδονται, ὥστε τοῦτον τὸν ἔμετον μικτὸν καὶ οἰκειότατον τῷ ἐλλεβορισμῷ γίνεσθαι.

πβʹ. Περὶ ἀνωδύνων.

Ἀνωδύνοις ὕπνου μὲν ἕνεκα χρηστέον τοῖς τε περιχρίστοις καὶ τοῖς καθιεμένοις εἰς τὰ ὦτα καὶ τὴν ἕδραν καὶ τοῖς ἐπιτιθεμένοις θώρακι καὶ κοιλίᾳ· πρὸς δὲ τὴν εὐκαιρίαν ἐπιτήδειος ἡ ἑσπέρα· εἰ δὲ καὶ τὰ ποτὰ προσαγάγοιμεν, βελτίους πάντων αἱ ἀντίδοτοι ἥ τε Φίλωνος καὶ ἡ διὰ δύο πεπέρεων· μήτε δὲ ἀρχομένων τῶν παθῶν, μήτε ἐν αὐξήσει ὄντων, ἀλλὰ μάλιστα μὲν ἐν παρακμῇ· εἰ δὲ ἐπείγοι, καὶ ἐν ἀκμῇ. Τὰ δὲ πρὸς βῆχα καὶ δύσπνοιαν ἄριστον ἔχει καιρὸν τὸν μετὰ μέσην νύκτα· εἰ δὲ ἐπείγοι, τὸν μετὰ τὴν ἑσπέραν· τὰ δὲ διὰ ὀδύνην ἢ σπασμοὺς ἢ λυγμοὺς τὸν ἐν ἀκμῇ τῶν συμπτωμάτων, κατὰ ὃν ἂν γίνηται χρόνον. Τοῖς δὲ διὰ ἕλκωσιν ἢ ῥευματισμὸν ἢ ἐποχὴν κοιλίας δοτέον πρὸ μιᾶς ὥρας τῆς τροφῆς μετὰ τὴν τοῦ σώματος ἐπιμέλειαν· τινὰ δὲ καὶ ἐν μέσῃ τῇ τροφῇ· ἐπιμιγνύμενα γὰρ τοῖς σιτίοις εἰς τὴν ἰδίαν δύναμιν μεταβάλλει, ἐάν τε καθαρτικὰ, εἰ οὕτω τύχοι, ᾖ, ἢ ἐφεκτικὰ, ἢ ἐκκριτικὰ, τὰ αὐτὰ ποιοῦσι μετὰ τοῦ καὶ, εἴ τινες ἄρα ἐκ τῶν φαρμάκων συμβαίνοιεν κακώσεις, ἀμβλύνεσθαι. Τὰ δὲ πρὸς ῥίγη ἢ πυρετοὺς διδόμενα πρὸ δυεῖν ἢ τριῶν ὡρῶν προσφερέσθω. Δεῖ μέντοι πάντας τοὺς λαμβάνοντας ἠρεμεῖν τινα χρόνον κατακειμένους ἢ καθεζομένους· εἰ δὲ μὴ ἐπείγοιεν οἱ καιροὶ, δοτέον ἐπὶ τρεῖς ἢ πέντε ἡμέρας, εἶτα διαλιμπάνειν τὰς ἴσας καὶ πάλιν προσφέρειν· τὰ γὰρ ἐν ἔθει ἀναλογεῖ τοῖς κατὰ φύσιν διαιτήμασιν. Διὰ τοῦτο καὶ τὰ ὠφέλιμα ἔλαττον ὠφελεῖ, καὶ τὰ βλαβερὰ ἔλαττον βλάπτει. Παρασημειωτέον δὲ ὅτι τὰ ἀνώδυνα μὲν πρὸς τὰς ἀρχὰς τοῦ στομάχου καθάπτεσθαι εἴωθεν, ἐθισθέντα δὲ ἀβλαβῆ τε καὶ ἴδια γίνεται. — Ἀνώδυνον ὑπνωτικὸν ἀναξηραντικὸν τροχισκάριον τρίγωνον ποιοῦν πρός τε κατασταγμὸν, βῆχας, ὀφθαλμῶν ῥεύματα, πρός τε τοὺς τὴν τροφὴν ἀποῤῥίπτοντας, κοιλιακοὺς, δυσεντερικούς.] Σελίνου σπέρματος, ὑοσκυάμου λευκοῦ σπέρματος ἀνὰ ∠ηʹ, ἀνίσου ∠δʹ, ὀπίου ∠αʹ. Ὕδατι χλιαρῷ λεάνας πλάσσε τροχίσκους κυαμιαίους, δίδου αʹ ἢ βʹ. — Ὁ διὰ σπερμάτων τροχίσκος.] Ἀνίσου, μαράθου, ὑοσκυάμου σπέρματος ἀνὰ ∠ϛʹ, σελίνου σπέρματος, ἄμμεως ἀνὰ ∠γʹ, ὀπίου δραχμαὶ δʹ. Ὕδατι χλιαρῷ λειοτριβήσας πλάσσε τροχίσκους θέρμων μεγέθη ἔχοντας, καὶ δίδου ὀφθαλμιῶσι μετὰ ὕδατος, δυσπνοοῦσι μετὰ ὀξυμέλιτος· εἰ δὲ πυρέττοιεν, διὰ ὑδρομέλιτος, κοιλιακοῖς καὶ δυσεντερικοῖς μὲν διὰ οἴνου κράματος, ἢ ῥοὸς ἀφεψήματος, ἢ ἑλίκων ἀμπέλου, πυρέσσουσι δὲ διὰ ἀφεψήματος κυδωνίων μήλων, ἢ μεσπίλων, ἢ βραβύλων, ἢ φοινικοβαλάνων, στομαχικοῖς μετὰ χυλοῦ ῥοιᾶς ὀξείας ἢ σέρεως, τοῖς δὲ ὑπὸ δριμέος χυμοῦ ῥευματιζομένοις μετὰ γλυκέος. Ἐν ἄλλῳ ὁ διὰ σπερμάτων οὕτως ἔχει. Σελίνου σπέρματος ∠κʹ, ἀνίσου ∠ιϛʹ, ἄμμεως ∠ιϛʹ, ὑοσκυάμου, μαράθου ἀνὰ ∠ιβʹ, ὀπίου ∠ηʹ. Πλάσσε τροχίσκους δραχμιαίους καὶ ὀβολῶν δʹ καὶ γʹ, καὶ δίδου ἐν ποτῷ ὡς

Ch. 82, l. 16. τὰ αὐτὰ ποιοῦσι conj.; αὐτὰ ποιοῦσα X.

προείρηται, καὶ ἐπὶ τῶν δρασΊικωτέρων δυσεντερικῶν ἐνεμάτων πρόσπλεκε αὐτό. — Ἀνώδυνον πρός τε ἧπαρ καὶ λυγμοὺς καὶ σΊρόφους κοιλιακοὺς καὶ τὰ πρὸ τῶν πυρετῶν ῥίγη, ὑσΊερικὰς πνίγας, τεταρταίους, ὑποχονδρίων πόνους καὶ εἰς ὄμματα ῥευματιζομένους.] Σελίνου σπέρματος ∠η', ἀνίσου ∠δ', κασΊορίου ∠β', ὀπίου ∠β', σμύρνης ∠β', πεπέρεως ∠α'. Πλάσσε τροχίσκους ἄγοντας ἀνὰ ∠α', καὶ δίδου κοιλιακοῖς μετὰ οἴνου, τοῖς δὲ λοιποῖς μετὰ μελικράτου, περιωδυνῶσι μετὰ γλυκέος. — Ὑπνωτικόν.] Καρδαμώμου ∠η', πεπέρεως κόκκοι μ', σαγαπηνοῦ ∠δ', κασΊορίου ∠β', ὀπίου ∠β'. Ἡ δόσις ὡς δύο ὄροβοι. — Περὶ ἀγρυπνίας.] ΠρόσΊαξον τρίψιν εἰς τοὺς πόδας καὶ κλύσμα τῆς κάτω γασΊρὸς ἤγουν ἔνεμα καὶ νίμμα προσώπου ἀπὸ τοῦ ζωμοῦ τῶν κωδυῶν καὶ ἀνακόλλημα ἀπὸ τοῦ τροχίσκου τοῦ διὰ σπερμάτων, ἢ ὀπίου μετὰ τοῦ σπέρματος τῶν κωδυῶν· ἢ θριδακίνης σπέρμα· ἀναλάμβανε δὲ ταῦτα μετὰ κρόκων ᾠοῦ καὶ οὕτως ἐπίχριε εἰς τὰς ῥῖνας καὶ εἰς τὸ μέτωπον, εἴς τε τὰ ὦτα καὶ τὴν κοιλίαν καὶ θώρακα. — Ὑπνωτικὰ κοκκία βηχικοῖς.] Ὀπίου, χαλβάνης, σΊύρακος, σμύρνης, κρόκου ἴσα· δίδου ὀροβιαῖα κοκκία γ' ἢ δ' χωρὶς ποτοῦ. — Ἡ διὰ δύο πεπέρεων ληξιπύρετος.] Κινναμώμου, κασΊορίου, ὀπίου ἀνὰ ∠ς', σμύρνης, κόσΊου, πεπέρεως λευκοῦ καὶ μακροῦ, χαλβάνης ἀνὰ ∠γ', κρόκου ∠β'. Ἀναλάμβανε μέλιτι ἀπέφθῳ καὶ δίδου κυάμου μέγεθος. — Ἡ φιλώνειος.] Πεπέρεως λευκοῦ ∠κ', ὑοσκυάμου σπέρματος ∠κ', ὀπίου ∠ι', κρόκου ∠ε', πυρέθρου, εὐφορβίου, ναρδοσΊάχυος ἀνὰ ∠α', μέλιτος ἀτΊικοῦ ἢ ἄλλου ἀπέφθου τὸ ἀρκοῦν. Ἀναλάμβανε, δίδου ποντικοῦ καρύου τὸ μέγεθος τελείοις, ὑποδεεσΊέροις δὲ κυάμου, παισὶ δὲ ἐρεβίνθου, ἡπατικοῖς διὰ ἀφεψήματος πολίου ἢ διὰ ὀξυμέλιτος, σπληνικοῖς διὰ ἀφεψήματος χαμαιπίτυος, ἢ καππάρεως ῥιζῶν ἐν ὀξυκράτῳ εἰς ἀποτρίτωσιν ἑψηθεισῶν, λιθιῶσι διὰ ἀφεψήματος σελίνου ἢ πετροσελίνου, τοῖς δὲ σΊραγγουριῶσι μαράθου ἀφεψήματι, δυσπνοϊκοῖς καὶ ἀσθματικοῖς μετὰ ὄξους σκιλλιτικοῦ κοχλιαρίων δ', φθισικοῖς ἐν πΊισάνης χυλῷ καὶ βηχικοῖς ὁμοίως, πλευριτικοῖς μετὰ ἀφεψήματος χαμαιπίτυος, αἱμοπΊοϊκοῖς μετὰ ὀξυκράτου, πρὸς δὲ τὰ ἐντὸς πάντα μετὰ ὑδρομέλιτος. Τὸ δὲ πλῆθος τοῦ ποτοῦ ἤτοι ἀφεψήματος ἔσΊωσαν κύ. γ'. — Περὶ τῆς ἀθανασίας ἀντιδότου. Ἀθανασία ἀνώδυνος πλευριτική.] Κασίας, ναρδοσΊάχυος, ἀμώμου, κρόκου, ὀπίου, σΊύρακος, κόσΊου, σμύρνης ἀνὰ ∠α', μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. Ἡ δόσις ὡς ἡ φιλώνειος. — Ἡ θεσπεσιανὴ πρὸς τὰς ἐν καταπαλύψει ἀποσΊάσεις καθόλου καὶ πύον ἀνάγοντας καὶ πρὸς δυσεντερικούς.] Δαύκου, σίνωνος, ἴρεως ἰλλυρικῆς ἀνὰ ∠ζ', σελίνου σπέρματος, μελανθίου, ὀπίου ἀνὰ ∠γ', κασΊορίου ∠β', μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. Δίδου καρύου ποντικοῦ τὸ μέγεθος. — Ὑπνωτικὸν μάλισΊα τοῖς θώρακα ῥευματιζομένοις καὶ βήσσουσιν.] Σμύρνης ∠β', κρόκου ∠γ', ὀπίου ∠γ', ἀνίσου ∠δ', δαύκου σπέρματος ∠δ', σΊύρακος ∠δ', ὑοσκυάμου σπέρματος ∠ς'. Γλυκεῖ λειώσας ἢ ὕδατι χλιαρῷ πλάσσε τροχίσκους ἀνὰ τριώβολον· δίδου ἕνα εἰς κοίτην. — Ἀντίδοτος ἡ παιωνία.] Πεπέρεως μέλανος ∠η', πεπέρεως λευκοῦ ∠ς', μακροῦ ∠ς', ὑοσκυάμου σπέρματος ∠κδ', λιβάνου, κρόκου, ῥέου ἀνὰ ∠ιβ', φύλλου ∠ιβ', ὀπίου ∠κδ', ἀμώμου ∠ι', σΊύρακος ∠ς', σμύρνης ∠η', κόσΊου ∠η', κασΊορίου ∠η', ναρδοσΊάχυος ∠ς', πυρέθρου ∠ς', εὐφορβίου ∠ε', μέλιτος τὸ ἀρκοῦν. Ἡ δόσις εἰς νύκτα κυάμου μέγεθος.

πγ'. Περὶ ἑδρικῶν.

Πρὸς φλεγμονὰς δακτυλίου ψιμυθίου Γο δ', πομφόλυγος Γο α', ἢ καδμείας ἁπαλῆς, λιβάνου Γο α', σέρεως χυλοῦ κο. α'. Λείου ἐπιβάλλων κατὰ βραχὺ τὸν χυλὸν ἕως ἀναλωθῇ, εἶτα ποιήσας κηρωτὴν ἐξ ἐλαίου ῥοδίνου λ̸ α' καὶ κηροῦ Γο ϛ' καὶ ἀναξύσας μίγνυε μαλάσσων εὐτόνως. Ἔνιε δὲ διὰ πυουλκοῦ καὶ ἐπάνω ἔμπλασμα θεὶς καὶ ἔριον ἐπίδει. Ποιεῖ δὲ καὶ πρὸς ῥαγάδας φλεγμαινούσας καὶ τὰς μετὰ πυρώσεως ἢ δηγμοῦ ἐν ἕδρᾳ ἑλκώσεις. — Ἄλλο.] Μυρσινίνου κο. α', ψιμυθίου Γο δ', λιβάνου Γο β'. Ἑψήσας τὸ ψιμύθιον μέχρι μελιτώδους συστάσεως ἐπίχει προλελειασμένων τῶν δύο.— Ἑδρικὸν κατουλοῦν.] Κηροῦ Γο β', καδμείας τρὶς κεκαυμένης Γο β', ψιμυθίου Γο α', μολίβδου κεκαυμένου πεπλυμένου Γο α', μυρσινίνου λ̸ α'. Οἴνῳ λεῖου τὰ ξηρὰ ἐπὶ ἱκανὰς ἡμέρας καὶ χρῶ. — Πρὸς ῥαγάδας καὶ φλεγμονὰς ἐν ἕδρᾳ καὶ αἰδοίῳ καὶ κονδυλώματα.] Ψιμυθίου Γο ε', λιθαργύρου Γο β's'', λιβανωτοῦ, σκωρίας μολίβδου, στυπτηρίας σχιστῆς ἀνὰ Γο β'. Οἴνῳ ἀθαλάσσῳ λειώσας μίγνυε ῥοδίνῳ ἢ μυρσινίνῳ. Ποιεῖ πρὸς τὰ ῥυπαρὰ ἕλκη ἐν ἕδρᾳ, μάλιστα περὶ τὴν τῆς βαλάνου στεφάνην καὶ τὴν πόσθην ἃ μήτε ὑπὸ τῶν ἐμμότων καθαίρεται καὶ ὑπὸ τῶν πρὸς νομὰς παροξύνεται, ἢ ὅταν ἀποσύρειν μὴ δύνωνται. — Πρὸς ῥαγάδας ἀπουλωτικὸν ξηρόν.] Λίθου Φρυγίου, καδμείας, ψιμυθίου, ἀλόης, λιβάνου ἀνὰ ∠δ', λεπίδος, διφρυγοῦς ἀνὰ ∠δ'. Λεῖου ἐπιμελῶς. — Ὁ διὰ ἁλικακκάβων τροχίσκος πρὸς ῥαγάδας καὶ κονδυλώματα, μυρμηκίας τε καὶ θύμους καὶ πάσας ὑπεροχὰς καὶ παρωνυχίας καὶ ἐρυσιπέλατα καὶ ὦτα πυοῤῥοοῦντα καὶ χείλη ἐῤῥωγότα καὶ πέλματα.] Ψιμυθίου ∠ις', λιθαργύρου ∠ιβ', ἁλικακκάβου ῥίζης φλοιοῦ ξηροῦ ∠ιβ', χαλκάνθου ∠β', στυπτηρίας σχιστῆς ∠β', σινωπίδος ∠β'. Ὄξει λεῖου· πρὸς δὲ τὴν χρείαν ἐπὶ ἑκάστου πάθους καταλλήλως ἀνεὶς ἐπίχριε. — Ἑδρικὸν ἡ ἀμβροσία.] Κηροῦ, μέλιτος, ῥοδίνου, λιθαργύρου, ψιμυθίου, στέατος αἰγείου, βουτύρου ἀνὰ Γο γ', λιβάνου Γο α'. — Δακτυλικὴ ῥαγάσι καὶ κονδυλώμασι τοῖς μετὰ χειρουργίαν.] Λιβάνου Γο α', λιθαργύρου, ψιμυθίου, καδμείας ἀνὰ Γο α', στυπτηρίας σχιστῆς, κρόκου, ἀλόης, μίσυος ὀπτοῦ ἀνὰ Γο β'. Λεῖου οἴνῳ στύφοντι ἕως ἀναλωθῇ δικοτύλιον καὶ μιγνὺς μυρσινίνου λ̸ α' χρῶ. — Πρὸς κονδυλώματα.] Χαλκίτεως, οἰσύπου, μυελοῦ ἐλαφείου, βάτου φύλλων ἀνὰ Γο β'. Μετὰ κηρωτῆς χρῶ. — Πρὸς αἱμοῤῥοΐδας. Πρόσκλυσμα αἱμοῤῥοΐδων.] Ἐν ὕδατος κοτύλαις η' ἕψεται ἀκάνθης αἰγυπτίας, ἀρτεμισίας ἀνὰ Γο ε', ἀκτῆς φύλλων Γο ε', σιδηρίτιδος Γο δ', ἕως ἀπολειφθῇ τὸ ἥμισυ τοῦ ὕδατος· μετὰ δὲ τὴν ἕψησιν τούτων αἱ μὲν βοτάναι ῥίπτονται, τῷ δὲ ὕδατι μίγνυται ξηρὰ ταῦτα. Μελαντηρίας ∠ι', στυπτηρίας στρογγύλης ∠κθ', λιθαργύρου ∠δ', κηκῖδος ∠γ', μίσυος ∠β', σώρεως ∠β'. Λύσας τὸ ξηρὸν ἐν τῷ ἀφεψήματι καταιόνησον ἑπτάκις τῆς ἡμέρας ἐξ ὡριαίου διαστήματος, τῇ δὲ ἐπιούσῃ ἕτερον ὁμοίως σκευάσας καταιόνα, καὶ τῇ τρίτῃ ἄλλο σκευάσας ὁμοίως ποίει. Εἰ δὲ ἐπιμένοι τι λείψανον, τῇ τετάρτῃ κατακεντήσας τὰς αἱμοῤῥοΐδας, εἰ αἰσθάνοιτο ἢ αἱμάσσοι, τὸ μὲν ἀφέψημα ὁμοίως ποίει, τοῦ δὲ ξηροῦ τὸ ἥμισυ μίσγε, καταιονήσας δὲ παράπτου τῷ ξηρῷ ἵνα ἀκριβῶς καυθῶσι,

Ch. 83, l. 34. ἐπιμείνοι X.

διὰ δὲ τὴν Φλεγμονὴν ἄρτῳ ἔξωθεν κατάπλασσε. Τοῦτο καίει ταχέως, τῷ δὲ καταπλάσματι ἐντὸς τῆς ζ' ἀποπίπτουσιν αἱ ἐσχάραι.

πδ'. Περὶ αἰδοιικῶν.

Τὸ τέταρτον ἐν τοῖς ἑδρικοῖς ποεῖ πρός τε ῥαγάδας τὰς περὶ τὴν πόσθην καὶ τὰ περὶ τὴν σΊεφάνην ῥυπαρὰ ἕλκη, καὶ μάλισΊα ὅταν ἀποσύρειν μὴ δύνωνται, ἀνίεται δὲ τὰ ξηρὰ οἰνελαίῳ. — Ἄλλο εἰς τὰ αὐτά.] Λίθου Φρυγίου κεκαυμένου τρὶς καὶ ἐσϐεσμένου τὸ μὲν πρῶτον βουτύρῳ ἢ ῥοδίνῳ, τὸ δὲ δεύτερον οἴνῳ, τὸ δὲ τρίτον μέλιτι Γο β', ῥόδων ἄνθους Γο α', σιδίων Γο δ'. — Τὸ διὰ χάρτου πρὸς νομάς.] Λεπίδος χαλκοῦ Γο α's'', χάρτου κεκαυμένου Γο α', ἀρσενικοῦ, σχισΊῆς ∠ς', θείου ἀπύρου ∠ς', μολίϐδου κεκαυμένου ∠γ'. Ἐπὶ τῶν νομῶν ξηρὸν ἔμπασσε, ἢ μότῳ ἐπίχριε μέλιτι μίξας καὶ βραχεῖ ῥοδίνου. Εἰ δὲ ἐπιπόλαιοι εἶεν αἱ νομαὶ, μόνῳ ῥοδίνῳ Φυρῶν τὸ ξηρὸν ἐπιτίθει. Καθόλου δὲ πᾶσαν νομὴν καὶ τὴν ἐπὶ αὐτῶν Φλεγμονὴν κατάπλασσε Φακῷ ἑΦθῷ μετὰ σιδίων σὺν μέλιτι καὶ βραχεῖ ῥοδίνῳ· εἰ δὲ σφόδρα Φλεγμαίνοι, Φακῷ ἑΦθῷ μετὰ ἄρτου βεϐρεγμένῳ ἤτοι τὸ ἴσον, ἢ τὸ τρίτον, ἢ τὸ ἥμισυ. — Κόραξ πρὸς νομὰς τὸ διὰ ὀξυμέλιτος.] Κηκίδων Γο β', λεπίδος Γο α's'', χαλκίτεως, λιϐάνου ἀνὰ Γο α'. Λείου ὄξει ἐπὶ ἱκανὰς ἡμέρας, καὶ ἐπὶ τέλει μῖξον μέλιτος Γο ε', χωρὶς δὲ ποιήσας κηρωτὴν ἀπὸ μυρσινίνου Γο ιη' καὶ ταυρείου σΊέατος Γο η' καὶ κηροῦ Γο δ' καὶ τερεϐινθίνης Γο α' μίξας συλλέαινε καὶ χρῶ ὡς τὸ διὰ χάρτου, διά τε πυουλκοῦ ἐνιε καὶ διὰ μότου παρατιθεὶς, ἐπάνωθεν δὲ καταπλάσσων ἢ κηρωτὴν ἐπιτιθεὶς ἔχουσαν κηκῖδος βραχὺ ἢ σιδίων, ἢ σπόγγον καὶ πόλτον ἐξ οἴνου. — Ῥαγάσιν, ἕλκεσιν αἰδοίων αὐτομάτοις.] Ἀλόην ξηρὰν ἐπίπασσε· εἰ δὲ σΊύΦοιτο, μίγνυε καδμείας τρὶς κεκαυμένης τὸ ἴσον, ἢ πλέον, ἢ ἔλατΊον. — Ῥαγάσι δακτυλίου, αἰδοίου γυναικείου, ἢ πόσθης.] Ψιμυθίου, μολιϐδαίνης, κηκῖδος, μυρσίνης ἢ σμύρνης ἴσα. Ξηρῷ χρῶ, ἢ μετὰ οἴνου. — Θύμων ἐν αἰδοίοις ξυράΦιον.] Χαλκίτεως ὠμῆς, μίσυος ὠμοῦ ἀνὰ Γο α's'', σΊυπΊηρίας σχισΊῆς Γο α', λεπίδος χαλκοῦ Γο β'. Ξηρὸν ἐπίπασσε προϋγράνας οἴνῳ τοὺς τόπους. — ΘαυμασΊὸν πρὸς νομὰς αἰδοίων.] Χαλκῖτιν καύσας χρῶ ξηρῷ. — Ἄλλο.] Ῥόδων ἄνθους Γο β', ἀλόης Γο α'. Ξηρὸν προαποπλύνας οἴνῳ ἐπίπασσε.

πε'. Περὶ τοῦ εἰς ὄσχεον κατολισθήσαντος ἐντέρου καὶ μέλλοντος εἰλεὸν ἀπεργάζεσθαι.

Πειρατέον εὐθὺς σχηματίσαντας αὐτοὺς ἀναῤῥεπεῖς ἀναθλίϐειν εἰς βουϐῶνας τὰ κατολισθήσαντα τῶν ἐντέρων· γενόμενα δὲ ἐπὶ χώραν ἐπιδέσμοις παρακρατητέον. Εἰ δὲ περιωδηκότων ἤδη μετὰ Φλεγμονῆς τῶν περὶ τὸν ὄσχεον τόπων σΊρόΦοι καὶ ἐμπνευματώσεις γίνοιντο, τὴν ἀνάθλιψιν παραιτησόμεθα· μείζονος γάρ ἐσΊι Φλεγμονῆς αἰτία· Φλεϐοτομήσομεν δὲ καὶ συσΊελοῦμεν ἄχρι τῆς πρώτης διατρίτου, ἐμϐρέχοντες τὰ περὶ τὸν ὄσχεον κατὰ μὲν τὰς ἀρχὰς οἰσυπηροῖς ἐρίοις διὰ οἰνελαίου, ὕσΊερον δὲ καταπλάσσοντες καὶ κατασχάζοντες κατὰ κύκλον τὰ περιοιδοῦντα τῶν μερῶν·

Ch. 84, l. 22. *μυρσίνης ἢ* om. Aët. — Ch. 85, l. 28. *χώρας* Aët. — 33. *περιοιδοῦντα τῶν* ex em.; *περιοιδούντων* X; *περιωδηκότα τῶν* Aët.

ἀμεληθέντα γὰρ κατὰ νέκρωσιν ἀναιρεῖ πολλάκις. Παρακμῆς δὲ γενομένης κηρωταῖς χρησῖέον καὶ τῇ Μνασέου ἀνιεμένῃ, ἐπιδέσει δὲ χρησόμεθα ἐπὶ πλείους ἡμέρας. — Ἀνακόλλημα ἐντέρων.] Σιδίων ∠ι', κηκῖδος ὀμφακίτιδος ∠ε'. Ἑψήσας ἐν οἴνῳ αὐσῖηρῷ κυάθους τρεῖς λειάνας τε ἐπιτίθει προαναθλίψας τὸ ἔντερον καὶ προκαταντλήσας ὕδατι ψυχρῷ, εἰ μὴ χειμὼν εἴη παγετώδης, ἐπίλυε δὲ διὰ ἡμερῶν ι', μένοντος ἐπὶ κλίνης τοῦ θεραπευομένου ἐπὶ ἡμέρας λ', καὶ πίνοντος κυπαρίσσου ἀφέψημα μετὰ οἴνου. Τὸ δὲ φάρμακον ἐπὶ παίδων ποιεῖ. Ἐν ἄλλῳ ἀντιγράφῳ πότιζε, φησὶ, σφαιρίων κυπαρίσσου τριώβολον ἐν κράματι. — Ἄλλο ἀνακόλλημα ἐντέρων.] Κηροῦ, πιτυΐνης, πίσσης, ἀσφάλτου, θείου ἀπύρου ἴσα. Προαναθλίψας ἐπιτίθει καὶ ἐπάνω πῖύγμα καὶ ἐπίδεσμον. — Ἄλλο.] Κηροῦ ∠η', ταυροκόλλης ∠ς', ἀλόης ∠ε', τερεβινθίνης ∠γ', ἀσφάλτου ∠γ', μάννης τριώβολον χειμῶνος καὶ μυρσινίνου κοχλιάριον. Τερεβινθίνης Γο α'ς'', κηροῦ, λιβάνου, σμύρνης, ἰχθυοκόλλης, κοχλιῶν ὀσῖράκων, μαρμάρου ἀνὰ Γο α'. Τὴν ἰχθυοκόλλαν ὄξει πρόβρεχε ἐπὶ ἡμέρας γ' καὶ λεάνας καὶ ἑψήσας καὶ πάλιν λειῶν ἀνάλαβε αὐτῇ τὰ λοιπά. — Ἐντεροκήλαις διὰ ἰξοῦ.] Πίσσης ξηρᾶς, τερεβινθίνης ἀνὰ ℔ α', κολοφωνίας Γο β', ἰξοῦ δρυΐνου Γο ς', προπόλεως Γο δ', χαλβάνης Γο β'. Τήκεται ἅμα πίσσα, κολοφωνία, τερεβινθίνη, εἶτα οὕτως ἐπιβάλλεται ὁ ἰξὸς καὶ ταχέως ἀρθέντα ἀπὸ τοῦ πυρὸς σπαθίζεται ἕως ψυγῇ. Ποιεῖ καὶ πρὸς χοιράδας, μελικηρίδας, ἀποσῖήματα ἢ βουβῶνας ἢ τράχηλον· ἐξιποῖ γὰρ καὶ παρακολλᾷ· ποιεῖ καὶ ἐπὶ ἄρθρων ἐψυγμένων. Κηροῦ, κηκίδων, σιδίων, ἀκάνθης αἰγυπῖίας. Ἀναλάμβανε ὑγρᾷ πίσσῃ καὶ χρῶ. — Πρὸς ὑδροκήλας.] Ἄσβεσῖον γλοιῷ ἀναλαβὼν ἐπιτίθει [σὺν] κηρωτῇ, καὶ βραχὺ νίτρου μίξας τῇ ἀσβέσῖῳ. Ποιοῦσι καὶ αἱ ἐπισπασῖικαί. — Πρὸς ὑδροκηλικούς.] Ῥίζας κράμβης καύσας ἀνάλαβε τὴν σποδιὰν σῖέατι χοιρείῳ παλαιῷ τετηκότι καὶ ἐμπλάσας ἐπιτίθει, ἐπίλυε δὲ διὰ γ' ἡμερῶν. Πρὸς δὲ τὸ μὴ πάλιν συλλογὴν ὑγροῦ γενέσθαι χρῶ μαλάγματι τούτῳ. Κηροῦ ℔ β', πίσσης ξηρᾶς Γο θ', ἀμμωνιακοῦ θυμιάματος Γο κα', σῖυπῖηρίας ὑγρᾶς Γο α'ς'' ἢ καὶ β'. Ποιεῖ εἰς τοῦτο καὶ ἡ διὰ αἰρῶν· ἔσῖι δὲ αὕτη. — Ἡ διὰ αἰρῶν.] Πίσσης ℔ β', πιτυΐνης ξηρᾶς Γο θ', κηροῦ λευκοῦ Γο γ', κοινοῦ Γο γ', ἐλαίου παλαιοῦ Γο ε', ἀσφάλτου Γο β'ς'', αἰρῶν ἀλεύρου λεπῖοτάτου ἡμιχοινίκιον, ὅ ἐσῖιν Γο ιδ'. Τοῖς τηκτοῖς ἐπαρθέντων ἐκ τοῦ πυρὸς ἐμπάσσεται ἡ ἄσφαλτος λειοτάτη· χλιαροῖς δὲ γενομένοις τὸ αἴρινον, καὶ ἐπιῤῥαίνεται ὄξος δριμὺ Γο δ'. Ποιεῖ καὶ πρὸς τὰς ἐν μασθοῖς κακοήθεις σκληρίας· ἔσῖι δὲ πάνυ ξηραντικὴ καὶ ἀνώδυνος. — Πρὸς ὄρχεων φλεγμονάς.] Κηροῦ, πιτυΐνης, ἀνηθίνου ἐλαίου, ναρκισσίνου ἀνὰ Γο ι', κυμίνου λειοτάτου Γο ε', ὀνίδας ε'. Καὶ τὰς ὀνίδας ξηρὰς μὲν κόπῖε καὶ σῆθε, νεαρὰς δὲ συλλέαινε τῷ κυμίνῳ καὶ ἀναξύσας τὴν κηρωτὴν ἀναμάλασσε ἅμα πάντα καὶ χρῶ ἐμπλάσσων, ἄνωθεν δὲ τοῦ ἐμπλάσματος ἐρίοις χρῶ ἐλαίῳ ναρκισσίνῳ δεδευμένοις, ἢ μηλίνῳ ἢ ῥοδίνῳ. — Ἄλλο.] Κύμινον κηρωτῇ ἀναλαβὼν χρῶ· ἢ σῖαφίδι ἄνευ τῶν γιγάρτων διπλάσιον ἀναλαβὼν λεῖον κύμινον, ἢ λινόσπερμον ἐν κράματι ἑφθῷ· ἢ τήλινον σὺν μελικράτῳ· ἢ κρίνου ῥίζαν ἐν οἴνῳ, καὶ λεάνας μίσγε βραχὺ μέλιτος. Ποιεῖ καὶ ἡ δύναμις αὕτη. Σταφίδος ἄνευ γιγάρτων ∠κε', κυμίνου ὀξύβαφον, πιτυΐνης ἴσον. Δοκεῖ δέ μοι πιτυΐνης Γο γ', μέλιτος τὸ αὔταρκες.

20. [σύν] Paul.; om. X.

Χρονίου δὲ οὔσης τῆς σκληρίας, σικύου ἀγρίου ῥίζαν ἑψήσας ἐν μελικράτῳ καὶ λειοτριβήσας κατάπλασσε μετὰ ὀροβίνου ἀλεύρου. — Ἄλλο εἰς ὄρχεων φλεγμονάς.] Ἠριγέροντα χλωρὸν κατάπλασσε, ἢ κολίανδρον χλωρὸν μετὰ σΊαφίδων, ἕκασΊον ἐξηρημένου τὰ γίγαρτα, ἢ ἐρεβίνθων ἄλευρον σὺν μελικράτῳ ἑφθῷ, ἢ κολόκυνθα ὠμὴ ἢ κυδώνια ἑφθά. Φλεβοτομία ἀπὸ σφυροῦ βοήθημα ὄρχεων φλεγμαινόντων. — Πρὸς κνησμοὺς περὶ ὄρχεις.] Νίτρου, σΊαφίδος ἀγρίας, σΊυπΊηρίας ὑγρᾶς. Ὄξει λειοτριβήσας καὶ ῥοδίνῳ κατάχριε ἐν βαλανείῳ, μετὰ δὲ τὸ λούσασθαι ἐπικαταχριέσθω ᾠοῦ τὸ λευκὸν μετὰ μέλιτος. — Ἄλλο.] Τρύγα ὄξους ξηρὰν οἴνῳ φυράσας χρῶ ὥσπερ τῷ προτέρῳ καὶ μετὰ ταῦτα ᾠοῦ τὸ λευκὸν ἐπίχριε.

πϛ'. Περὶ ἰσχαίμων.

Μάννα λιβανωτοῦ ἐμπασσομένη ἐπέχει αἱμοῤῥαγίας, ἢ λιβανωτὸς, μᾶλλον δὲ ὁ κεκαυμένος. Μήνιγγος αἱμοῤῥαγούσης χρησΊέον λιβανωτῷ, ἢ σαμίᾳ γῇ ἀσΊέρι λεγομένῃ. Ὀφθαλμῶν αἱμοῤῥαγούντων ὕδωρ ψυχρὸν ἐγχυματισΊέον καὶ τὰς διὰ κολλυρίων ἐγχύσεις ψυχρὰς προσοισΊέον· ἁρμόζει δὲ πάντων μᾶλλον τό τε ἡμέτερον χιακὸν καὶ τὸ διὰ Θαλλίας, τό τε διὰ ἐρείκης καὶ τὰ διὰ ῥόδων. — Ἡ ῥοδία ἴσχαιμος.] Κηκῖδος ὠμῆς ∠λβ', κηκῖδος κεκαυμένης καὶ ἐσβεσμένης οἴνῳ σποδιᾶς ∠ιβ', λεπίδος χαλκοῦ, εἴτε μέλανος, ἢ ἐρυθροῦ ∠μη', χαλκάνθου ∠κδ', σΊυπΊηρίας σχισΊῆς ∠ιϛ'. Λείου μετὰ ὄξους ἐπὶ ἱκανὰς ἡμέρας. Ποιεῖ δὲ καὶ πρὸς νομὰς καὶ ἐπουλίδας, κατασΊέλλει καὶ τὰ ὑπερσαρκοῦντα, χνοῦς δὲ διὰ μήλης σΊιμμιζόμενος κατουλοῖ. — Ἄλλο ἴσχαιμον.] Μίσυος ὠμοῦ ℥ α', πολυγόνου χυλοῦ ξηροῦ ℥ α', σΊυπΊηρίας σχισΊῆς Γο γ'. Ὄξει συλλεάνας ποίει τροχίσκους, πρὸς δὲ τὴν χρείαν ὄξει λύσας βρέχε σπόγγον καὶ ἐπιτίθει τῷ αἱμοῤῥαγοῦντι ἕλκει. — Ἄλλο ῥᾳδίως κατέχον αἱμοῤῥαγίας.] Χαλκίτεως ∠κ', λιβανωτοῦ ἢ μάννης ∠ιϛ', ῥητίνης ξηρᾶς ∠η', γύψου προσφάτου ∠η'. Τὰ μὲν ἄλλα κόψας καὶ σήσας ἀπόθου ἐν πυξίδι χαλκῇ ἢ σιδηρᾷ, τὴν δὲ γύψον, ὅταν μέλλῃς τῷ φαρμάκῳ χρῆσθαι, τότε λειώσας μίγνυε. — Ἄλλα ἴσχαιμα ἁπλᾶ.] Αἱμοῤῥαγίαν ἴσΊησιν ἕκασΊον τούτων κατὰ αὐτό· ἀλόη, λιβανωτὸς, ἰὸς σιδήρου, κόπρος αἰγεία ξηρὰ, ὀνεία, ἱππεία. Καὶ καυθεῖσαι δὲ ποιοῦσιν ἄσφαλτος, βατράχου κεκαυμένου σποδὸς, φρύνου, ὀθονίου κεκαυμένου σποδὸς, διφρυγοῦς λίθου καὶ κηκίδων διφρυγῶν ὄξει ἐσβεσμένων, σΊυπΊηρία πᾶσα, μυρσίνη ξηρὰ, χαλκῖτις, σπόγγος βραχεὶς ὑγροπίσσῃ καὶ καυθεὶς, ἀμπέλου φλοιὸς ἢ φύλλα ξηρά.

πζ'. Περὶ αἱμοῤῥαγίας μυκτήρων.

Μυκτήρων αἱμοῤῥαγίαν σΊέλλει ὀξυσχοίνου καρπὸς ταῖς ῥισὶν ἐντιθέμενος, κνίδης φύλλων χυλὸς, χαλκῖτις ἐλλυχνίῳ ἀναληφθεῖσα, ἀνθυλλὶς κεκαυμένη ξηρὰ, νάρθηκος

2-3. Ἠριγέροντα Aët., Paul.; Ἠρίγερον X. — 3. κοριαννόν (sic) Paul. Conf. p. 591, l. 28. — 6. ὄρχεων X. — Ch. 86, l. 16. εἴθε X. — 18. μήλης σΊιμμιζόμενος Aët. XIV, 36; μῆ (reliqua erasa sunt) X.

τὸ ἐντὸς σὺν ὄξει, ὀνὶς ξηρὰ, ἢ ὑγρὰ μετὰ ὄξους· τῷ δὲ μετώπῳ ἐμπλάσσεται γύψος μετὰ ὄξους, ἢ ὕδατος, ἢ ᾠοῦ τοῦ λευκοῦ· ὡσαύτως βολϐοὶ σὺν χυλῷ πράσου, ἢ σὺν ὄξει. Πρὸ δὲ τούτων ἁρμόζει διάδεσις χειρῶν καὶ σκελῶν καὶ ἀναγαργαρισμὸς ὕδατος ψυχροῦ κεκραμένου ὄξει. — Ἄλλο.] Μυκτήρων αἱμοῤῥαγίαν σ7έλλει πράσου χυλὸς ἐλλυχνίῳ ἀναληφθεὶς μετὰ λιϐανωτοῦ κεκαυμένου. — Ἄλλο ἴσχαιμον.] Σπόγγον καινὸν ὑγρᾷ πίσσῃ διαϐρέξας καῦσον ἐν χύτρᾳ καὶ τῇ σποδιᾷ μῖξον ἴσον ἑκάσ7ου μίσυος, χαλκίτεως, χαλκάνθου κεκαυμένων πάντων. — Ἴσχαιμον καθόλου πρὸς πᾶσαν διαίρεσιν.] Θεῖον ἄπυρον μετὰ ἴσου λιϐανωτοῦ· ποιεῖ δὲ καὶ κατὰ αὑτὸν ὁ λιϐανωτός. — Ἴσχαιμον ἀφλέγμαντον ποιοῦν, πολλάκις δὲ καὶ τὰς ἀπὸ ἀρτηριῶν αἱμοῤῥαγίας ἔσ7ησεν.] Ἀλόην μετὰ λιϐανωτοῦ διπλασίονος λεάνας σὺν τῷ λευκῷ τοῦ ᾠοῦ καὶ ἀναλαϐὼν λαγῴαις θριξὶν ὡς ὅτι πλεῖσ7ον ἐπιτίθει. — Ἴσχαιμον παρὰ Πλατυσήμου, ποιεῖ δὲ καὶ πρὸς νομὰς τάς τε ἐν αἰδοίοις καὶ τὰς λοιπὰς, περιαιρεῖ τε τύλους καὶ χοιράδας μέλιτι καὶ ἐλαίῳ φυραθέν.] Θείου ἀπύρου, ἀρσενικοῦ, σανδαράκης, ἀσϐέσ7ου ζώσης ἴσα πάντα. — Ἴσχαιμον ἰσχυρόν.] Πιτυΐνην ξηρὰν λειώσας ἐπιτίθει ἤτοι κατὰ αὑτὴν, ἢ μετὰ μάννης. Θρόμϐους τοὺς ἐν βάθει διαλύει πινόμενον, ἢ ἐν κοιλίᾳ, ἢ ἐν κύσ7ει κονία συκίνη μετὰ ὕδατος, θύμος ἐν ὀξυκράτῳ ἢ θύμϐρα, σίλφιον μετὰ ὀξυκράτου, ὀποῦ παρθικοῦ ὀροϐιαῖον μέγεθος.

πη'. Ἔμπλασ7ροι ἔναιμοι πρὸς νευροτρώτους, αἱ δὲ αὐταὶ ποιοῦσι καὶ πρὸς τὰς περιθλάσεις τῶν νεύρων.

Τὸ κίσσινον πρὸς νευροτρώτους καὶ νύγματα, καὶ μάλισ7α ἐπὶ τῶν χρονισάντων καὶ ἤδη μερικὰς ἀποσ7άσεις ποιούντων, ποιεῖ δὲ καὶ πρὸς τὰ μετὰ ἐκϐυρσώσεως κατάγματα.] Λεπίδος ἐρυθρᾶς Γο δ', λιϐάνου Γο γ', μίσυος Γο α'ς'', χαλκίτεως Γο δ', ὄξους κο. ϛ'. Λείου ἐν ἡλίῳ θερινῷ ἕως τὸ πλεῖσ7ον τοῦ ὄξους ἀναλωθῇ, εἶτα ἐπίϐαλλε τὸν λιϐανωτὸν καὶ πάλιν συλλέαινε· ἐπειδὰν δὲ τὸ ὄξος ἀναλωθῇ, ποίει κηρωτὴν ἀπὸ κηροῦ Γο ιγ' καὶ ἐλαίου Γο ιη', καὶ χαλϐάνης Γο β', καὶ ἀναξύσας μίγνυε μαλάσσων. Εἰ δὲ μὴ νύγματα εἴη, ἀλλὰ διαίρεσις, καὶ μάλισ7α ὅπου νεῦρα γυμνά ἐσ7ιν, ἀντὶ χαλϐάνης τερεϐινθίνης Γο β' βάλε, ἔμπλασσε καὶ θεράπευε δὶς τῆς ἡμέρας ἄνωθεν ἔρια διὰ ὀξελαίου ἐπιτιθεὶς, πρὸς δὲ τὰς ἁπλᾶς διαιρέσεις ἡ κηρωτὴ ἔσ7ω ἀπὸ κηροῦ Γο ις' καὶ ἐλαίου ƛ β'ς''. Τοῦτό ἐσ7ι τὸ κίσσινον. — Ἡ ἰνδή.] Ἰοῦ ξυσ7οῦ Γο ϛ', κηκῖδος, χαλκάνθου, μίσυος, σ7υπ7ηρίας σχισ7ῆς καὶ σ7ρογγύλης, χαλκίτεως ὀπ7ῆς, λεπίδος χαλκοῦ ἀνὰ Γο γ', ἀλόης Γο α'ς'', σμύρνης Γο α', λεπίδος σιδήρου Γο ε', ψιμυθίου Γο ϛ', λιθαργύρου ƛ α', κηροῦ, κολοφωνίας, πίσσης, ἀσφάλτου ἀνὰ Γο ιε', ἐλαίου ƛ α', ὄξους τὸ ἀρκοῦν. — Ἡ φαιὰ Γαληνοῦ, ἤτοι κιῤῥά.] Ἐλαίου παλαιοῦ ƛ δ', λιθαργύρου ƛ γ', ὄξους ƛ β', λεπίδος χαλκοῦ μελαίνης Γο β', χαλκίτεως Γο β'. Τὰ ξηρὰ λείου ἐπὶ ἱκανὰς ἡμέρας, τὴν δὲ λιθάργυρον ἐν τῷ ὀξελαίῳ ἕψει ἕως ἐπὶ ποσὸν συσ7ῇ, καὶ τότε ἐπίϐαλλε τὰ λειωθέντα ἐν τῷ ὄξει μεταλλικὰ καὶ ἕψε μαλακῶς ἕως ἀμολύντου. Τὸ ἐν τῇ λειώσει ὄξος οὐ χρὴ τοῦ ἐν τῇ ἑψήσει ὑφαιρεῖν. Αὕτη κόλπους μὲν κολλᾷ καὶ σύριγγας ξηραίνει, τηκομένη

2. τὸ λευκόν X. Conf. Aët. VI, 94. — 9. ἀρτηρίαν X. — 12. περιαιρεῖ X.

δὲ μετὰ ἐλαίου καὶ τῶν ἑλκῶν τὰ δυσαλθῆ ἐκπέσσει καὶ πυοποιεῖ. Δῆλον δὲ ὅτι τὸν ἐπίδεσμον ἐπὶ τῶν κόλπων ἀπὸ τοῦ πυθμένος ἀρχόμενοι ἄξομεν ἐπὶ τὰ στόμια. — Τὸ μελάγχλωρον νύγμασι, νευροτρώτοις καὶ πᾶσι τοῖς ἐναίμοις· κολλᾷ γὰρ ἀφλέγμαντα τηρῆσαν, ποιεῖ δὲ καὶ πρὸς χρόνια ἕλκη πρεσβυτικά τε καὶ εὐνούχων, ἔτι δὲ πρὸς τὰ περὶ ἕδραν, μασχάλας, βουβῶνας, τράχηλον, αἰδοῖον.] Χαλκοῦ κεκαυμένου, κηκῖδος, ἀριστολοχίας στρογγύλης, ἁλὸς ἀμμωνιακοῦ, λεπίδος χαλκοῦ, στυπτηρίας σχιστῆς καὶ ὑγρᾶς ἢ στρογγύλης, μίσυος, χαλκάνθου, χαλκίτεως, ἰοῦ ξυστοῦ, καδμείας, ἀλόης, σμύρνης, λιβάνου, πάνακος ῥίζης, λιθαργύρου, ψιμυθίου ἴσα πάντα. Λειοῦται ἐν ἡλίῳ θέρους ὥρᾳ μετὰ ὄξους ἐπὶ ἱκανὰς ἡμέρας καὶ πλάσσεται εἰς τροχίσκους, καὶ ἐπὶ τῆς χρείας λειοῦται ὄξει διούγγιον τοῦ φαρμάκου καὶ ἀναλαμβάνεται κηρωτῇ ἐχούσῃ κηροῦ Γο ς', κολοφωνίας τῆς φρυκτῆς καλουμένης Γο ς', ἐλαίου ἐπὶ μὲν τῶν ἁπλῶν τραυμάτων καὶ τῶν λοιπῶν ἑλκῶν μυρσινίνου Γο η', ἐπὶ δὲ τῶν νευροτρώτων παλαιοῦ. — Ἡ διὰ ὀξελαίου.] Λιθαργύρου ℔ β', ὄξους ℔ δ', ἐλαίου παλαιοῦ ℔ δ'· εἰ δὲ τοῦ ἐλαίου καὶ τοῦ ὄξους ἀνὰ ℔ ς' λάβοι, διὰ ὅλης μὲν ἡμέρας ἕψεται καὶ μέλαν ἀποτελεῖται ὥσπερ ἄσφαλτος, ξηραντικώτατον δὲ γίνεται ὡς καὶ σύριγγας τὰς περὶ τράχηλον ἰᾶσθαι καὶ χοιράδας ἔναιμά τε κολλᾷν καὶ τὰ λοιπὰ κατουλοῦν. — Ἡ σαΐτις καταγματική, ἔναιμος, κεφαλική, κόλπων κολλητική.] Λιθαργύρου, στέατος ταυρείου, πίσσης ξηρᾶς ἀνὰ Γο κ'· οἱ δὲ Γο ις'· ἐλαίου κικίνου, ἢ σικυωνίου, ἢ παλαιοῦ Γο ι', τερεβινθίνης Γο η', μάννης ἢ λιβανωτοῦ Γο η', ὄξους Γο ις', κηροῦ Γο δ', ὀποπάνακος, χαλβάνης, ἰοῦ ξυστοῦ ἀνὰ Γο α'. Ἕψε ἔλαιον, λιθάργυρον, στέαρ ἕως ἀμολύντου, εἶτα ἐπίβαλλε πίσσαν, τερεβινθίνην, κηρόν, εἶτα χαλβάνην, μάννην, τὰ δὲ λοιπὰ ὄξει συλλειάνας, καὶ ἐπάρας τὸν κάκκαβον ἐκ τοῦ πυρὸς καὶ ποσῶς ψύξας κατὰ σταγόνα ἐπίβαλλε, ἐπιστήσας δὲ πάλιν ἕψε ἕως ἀμολύντου. — Βάρβαρος ἔναιμος πρὸς τὰς ἀξιολόγους διαιρέσεις, μάλιστα ἐν κεφαλῇ, ὀστέα διακεκομμένα, χόνδρους, ἡπατικούς, σπληνικούς, αἷμα ἀνάγοντας, πρός τε κυνόδηκτα, ἀνθρωπόδηκτα, κόλπους.] Κηροῦ, πίσσης ξηρᾶς, ἀσφάλτου, πιτυΐνης ἀνὰ ℔ α', μάννης Γο ς', ψιμυθίου, χαλκάνθου ἀνὰ Γο δ', ὀποπάνακος Γο β', ἐλαίου Γο ε', ὄξους ℔ β'. Τὰ τηκτὰ τήξας ἐπάρας τε ἀπὸ τοῦ πυρὸς ἔνσταζε τὸν χάλκανθον διειμένον ὄξει, καὶ ἐπιστήσας ἕψε, εἶτα ἐπάρας πάλιν ἐπίβαλε τὸ ψιμύθιον λελειωμένον ὄξει καὶ πάλιν ἕψε, ἐπὶ τέλει δὲ μάνναν καὶ ὀποπάνακα, καὶ εὐθέως περισπάθιζε ἕως ψυγῇ καὶ χρῷ. — Ἡ Ἀθηνᾶ.] Σιδίων, χαλκοῦ κεκαυμένου, ἀριστολοχίας στρογγύλης καὶ μακρᾶς, ἁλὸς ἀμμωνιακοῦ, λεπίδος χαλκοῦ, νίτρου, στυπτηρίας σχιστῆς καὶ στρογγύλης, ἴρεως ἰλλυρικῆς, μίσυος, χαλκάνθου, χαλκίτεως, ἰοῦ ξυστοῦ, καδμείας, ἀλόης, σμύρνης, λιβάνου, προπόλεως, ἀμμωνιακοῦ θυμιάματος, χαλβάνης ἀνὰ Γο α', κηροῦ, πίσσης ἀνὰ ∠ρ', φρυκτῆς κολοφωνίας τῆς καλουμένης ∠ν', ἐλαίου Γο ς'. Ὄξει λειούσθω τὰ ξηρὰ ἐν ἡμέραις πολλαῖς καὶ οὕτως ἐπιχείσθω τὰ τηκτά. Ἔστι δὲ ἐμπλαστὴ ἔναιμος, τραυματική, ἀφλέγμαντος, κολλητική, διεθεῖσα δὲ ἔμμοτος πρός τε νευρότρωτα καὶ νύγματα μυῶν τε διακοπάς. Ἔστι δὲ καὶ κεφαλική, ποιεῖ καὶ πρὸς τὰ δυσεπούλωτα καὶ τὰ περὶ βουβῶνας καὶ μασχάλας ἐξ ἀποστάσεως τετμημένα, καὶ καθόλου ξηραντικωτέρα ἐστὶ πάσης δυνάμεως. Ἡ δὲ πίσσα βρυτία ἔστω·

30. παρασπάθιζε X. — 32. καὶ Paul.; ἀριστολοχίας Aët.; om. X.

εἰ δὲ μὴ παρείη, κοινή· ἡψήσθω δὲ κατὰ αὐτὴν μετὰ ὄξους Γο ιη′ ἕως τὸ ὄξος ἀναλωθῇ. — Ἡ διὰ ἰτεῶν.] Χαλκάνθου, μίσυος, μελαντηρίας, χαλκίτεως, ἰοῦ ξυσῖοῦ, ψιμυθίου, κηκῖδος, σῖυπῖηρίας σχισῖῆς καὶ σῖρογγύλης ἀνὰ Γο ς′, ἰτέας φύλλων ἁπαλῶν ℔ β′, ὄξους κο. ιβ′, κηροῦ, πιτυΐνης, πίσσης, ἀσφάλτου ἀνὰ ℔ β′, ἐλαίου τὸ ἀρκοῦν. Εἰς τὰ τηκτὰ ἕψεται τὰ τῆς ἰτέας φύλλα εἰς ἀποτρίτωσιν μετὰ ὄξους, καὶ αὐτὰ μὲν ἐκπιασθέντα ῥίπῖεται, ἐν δὲ τῷ ὄξει λειοῦνται τὰ ξηρὰ ἕως τὸ ὄξος ἀναλωθῇ, καὶ λοιπὸν τὰ τηκτὰ ἐπικατερᾶται. Ἔσῖι δὲ ἔναιμος, κολλητική, πρός τε αἱμοπῖοϊκοὺς καὶ ἄρθρα ξηραντική. — Νευροτρώτων ἐμμέθοδος θεραπεία ἐκ τῶν Γαληνοῦ ἡ καὶ τοῖς νευροθλάσῖοις ἁρμόζουσα.] Οἱ παλαιοὶ πάντες ἰατροὶ τῇ καλουμένῃ συνήθως ἐναίμῳ [καὶ] κολλητικῇ ἀγωγῇ ἐθεράπευον καὶ τοὺς νευροτρώτους· κατὰ ἀρχὰς γὰρ ἐπετίθουν τι φάρμακον τῶν ἐναίμων καλουμένων πειρώμενοι κολλᾷν τὰ χείλη τοῦ τραύματος· εἰ δὲ ἐφλέγμηνεν, ὕδατι κατήντλουν θερμῷ καὶ δαψιλεῖ ἔλαιον παραχέοντες, καταπλάσματά τε προσέφερον ἄλευρον πύρινον ἡψημένον ἐν ὑδρελαίῳ. Καὶ τοὺς μονομάχους δὲ ὅσοι κατὰ τῆς μύλης ἐτρώθησαν, ἀνωτέρω τε ταύτης κατὰ τὸν πλατὺν καὶ λεπῖὸν τένοντα ὡσαύτως ἐθεράπευον, ὀλίγοι δὲ ἐξ αὐτῶν χωλούμενοι διεσώζοντο. Ἐνήργουν δὲ κἀπὶ τῶν τῆς χειρὸς δακτύλων ὡσαύτως ὥσῖε σήπεσθαι τὰ βλαβέντα καὶ θλασθέντα νεῦρα οὕτως ὡς ἐοικέναι τοῖς ἡψημένοις. Δεῖ τοίνυν ἀπέχεσθαι τῆς ἀγωγῆς ταύτης ἐπὶ νευροτρώτων ἢ νευροθλάσῖων, θεραπεύειν δὲ τρόπον ὃν ὁ Γαληνὸς ἐξεῦρεν οὕτως, ἐπιτιθέντα μὴ σκληρὸν, ἀλλὰ ὥσπερ ἔμμοτον ἀνιέμενον φάρμακον, ὁποῖόν ἐσῖι τό τε ὑπὸ ἡμῶν καλούμενον κίσσινον καὶ τὸ ἐμφερὲς αὐτῷ τὸ γαλήνειον καὶ τὸ μελάγχλωρον, ἥ τε Ἰνδὴ καὶ ἡ Ἀθηνᾶ ἀνεθεῖσα, ἤ τι τῶν ὁμοίων, ἐπάνω τε ἔρια ἐλαίῳ θερμῷ διάβροχα, θεραπεύειν δὲ δὶς τῆς ἡμέρας, ὄρθρου καὶ ἑσπέρας, καταιονοῦντα ἐλαίῳ θερμῷ ῥέποντι ἐπὶ τὸ μετρίως θερμότερον· τὸ γὰρ χλιαρὸν ἐμπλασσόμενον οὐκ ἐπιτρέπει τοῖς σώμασι διαπνεῖσθαι. Δεῖ δὲ καὶ διὰ τετάρτης ἀλλάσσειν τὸ ἔλαιον, ὅπως ἀμιγὲς ὂν ῥύπου καὶ ἰσχὺν γνησιώτερον τυγχάνῃ τῶν πεπονθότων. Ὕδατος δὲ προσαγωγὴν ἐν ὅλῃ τῇ θεραπείᾳ παραιτεῖσθαι μέχρι τοῦ μηδὲ ἅψασθαι τοῦ ἕλκους, ὥσῖε κἂν ἐν ἀρχῇ δέῃ τὸ αἷμα τοῦ τετρωμένου ἀποπλῦναι, διὰ ἐλαίου τοῦτο πράτῖειν ἀναγκαῖον, ἀλλὰ καὶ ὅταν μετρίως ἔχοντες οἱ κάμνοντες λούωνται, μηδὲ τότε ἐπιτρέπειν αὐτοῖς, εἰ δυνατὸν εἴη, εἰς ὕδωρ βρέχειν τὸν πεπονθότα τόπον· ὡς τὸ πολὺ γὰρ ἐν ἄκραις ταῖς χερσὶν οἱ νευρότρωτοι γίνονται. Τῶν δὲ καλῶς ἐπιμεληθέντων οἱ τὴν ἑβδόμην ἀφλέγμαντον ὑπερβάντες ὡς μήτε ὀδύνην τινὰ ἔχειν, μήτε τάσιν, βεβαίως καὶ ἀσφαλῶς ὑγιαίνουσιν. — Πρὸς μερικὰς ἀποσῖάσεις ἐπὶ νευροτρώτων.] Κηροῦ, κολοφωνίας, βουτύρου ἀνὰ ℔ α′, πίσσης ξηρᾶς, μέλιτος ἀνὰ Γο ς′, ἰοῦ Γο γ′, ὄξους τὸ ἀρκοῦν. Συννόει πῶς αὐτὸ σκευάσεις. — Ἔναιμος κολλητικὴ πυκτική.] Ἐλαίου ℔ β′, λιθαργύρου ℔ α′, μολιβδαίνης ℔ α′, λεπίδος χαλκοῦ, χαλκάνθου, ἰοῦ ξυσῖοῦ, χαλβάνης ἀνὰ Γο β′, κηροῦ, κολοφωνίας ἀνὰ ℔ β′. — Ἀποχύματος σκευασία.] Πίσσης ξηρᾶς ℔ α′, κηροῦ Γο δ′, πιτυΐνης Γο ς′, πίσσης ὑγρᾶς ∠δ′. Τήξας ἅμα διήθει εἰς λεκάνιον ἔχον ὕδωρ καὶ ἀνα-

6-7. ἐπικατερᾶται ex em.; ἐπικατερρεται X; ἐπικατάχει *Synops.*; Cf. Gal. *Sec. gen.* IV, 13, t. XIII, p. 741. — 9. [καί] Gal.; om. X. — 21. ἤ τι ex em.; εἴτε X. — 24. καὶ δ. τ. καὶ ἀλλ. X. — 25. προσαγωγὴν ex em.; προσαγωγῆς X.

μαλάξας ταῖς χερσὶν ὡς ϖάσ7ελλον χρῶ. — Ξυσ7ικόν.] Ἀποχύματος ℔ γ', κηροῦ, ϖίσσης, σ7έατος ταυρείου ἀνὰ Γο ς', ὀποπάνακος Γο γ'. Οἴνῳ [ὁ] ὀποπάναξ λειοῦται. — Μαλακτικὴ ἐπισπασ7ική.] Ἐλαίου ϖαλαιοῦ ℔ β', λιθαργύρου λίτρα α', ϖροπόλεως Γο γ', ἀμμωνιακοῦ θυμιάματος Γο γ', φρυκτῆς Γο γ', θείου ἀπύρου Γο α'. — Ἡ αἰχμάλωτος.] Ἐλαίου ϖαλαιοῦ ℥ β', ἁλῶν κοινῶν, ψιμυθίου ἀνὰ Γο ις', χαλβάνης, ἀρισ7ολοχίας μακρᾶς ἀνὰ Γο δ', ϖροπόλεως Γο ε', ϖάνακος Γο β'.

ϖθ'. Πρὸς ἄρθρα ῥευματιζόμενα καὶ ἕλκη κακοήθη καὶ δυσεπούλωτα.

Λιθαργύρου Γο ε', ϖίσσης Γο ις', ἀμμωνιακοῦ Γο γ', εὐφορβίου Γο γ', χαλβάνης Γο α', κολοφωνίας Γο ς', σ7έατος χοιρείου Γο ς', κόπρου ϖερισ7ερᾶς Γο δ', ἁλῶν Γο β'. — Χαλασ7ικὴ κηρωτὴ ξυσ7ική.] Κηροῦ, κολοφωνίας, ταυρείου σ7έατος, ϖιτυΐνης ἴσα, ὅτε χρησ7έον ταύτῃ. — Τὸ ἑξαφάρμακον ϖρὸς χειμέθλας ἡλκωμένας.] Ἐλαίου Γο κ', ταυρείου σ7έατος, κηροῦ ἀνὰ ℔ α', λιθαργύρου Γο ς', κολοφωνίας Γο δ', μέλιτος Γο ς'. — Ἡ χείρ.] Ταυρείου σ7έατος Γο ε', κηροῦ Γο α', τερεβινθίνης Γο γ', βουτύρου Γο β', ὑσσώπου Γο α'. — Ἡ διὰ αἰρῶν.] Πίσσης λίτρας β', ϖιτυΐνης Γο θ', κηροῦ κοινοῦ Γο γ', τυῤῥηνικοῦ Γο γ', ἐλαίου ϖαλαιοῦ Γο ε', ἀσφάλτου σεσησμένης Γο β'ς'', αἰρίνου ἀλεύρου ℥ α', ὄξους κυπρίνου κο. β'.

ϟ'. Περὶ φλεγμονῆς. Voy. t. III, p. 558-564; XLIV, 5.

— Ἡ τετραφάρμακος.] Κηροῦ, ϖίσσης ξηρᾶς, σ7έατος ταυρείου, κολοφωνίας ἴσα. Ἀνίεται ἐλαίῳ ῥοδίνῳ. — Ἡ τοῦ Ἀζανίτου.] Στέατος ὑείου τετηκότος ℔ α', ϖευκίνης ῥητίνης, ἢ ϖιτυΐνης Γο ι', κηροῦ, ταυρείου σ7έατος, οἰσύπου, ϖίσσης ξηρᾶς Γο γ'. — Μακεδονικόν.] Κηροῦ, κολοφωνίας, ϖίσσης, ταυρείου σ7έατος, λιβανωτοῦ ἴσα. Τήξας καὶ ἐπάρας ἀπὸ τοῦ ϖυρὸς τότε ἔμπασσε τὸν λιβανωτὸν καὶ χρῶ. — Ἀντεμβροχή.] Τῆς διὰ χυλοῦ ℔ β', ἐλαίου ℔ β', κολοφωνίας ℔ α', ϖιτυΐνης ℔ α', οἴνου ℔ α'ς''. Τήξας καὶ σπαθίσας ἕως ψυγῇ ἐπίβαλλε μετὰ τὸ ψυγῆναι τὸν οἶνον. — Πεντάθετος ἀντεμβροχή.] Κηροῦ, κολοφωνίας, ϖιτυΐνης, ϖίσσης, ἀσβέσ7ου ἴσα. Ἐπάρας τὰ τηκτὰ ἔμπασον τὴν ἄσβεσ7ον· ἡ δὲ χρῆσις τοιαύτη. Τήκεται κηρὸς ἐν ἑπ7απλασίονι ἐλαίῳ καὶ ἐπιβάλλεται τοῦ φαρμάκου ἴσον τῷ κηρῷ, τακέντος δὲ αὐτοῦ ἄφελε ἀπὸ τοῦ ϖυρὸς καὶ σπάθιζε· ψυγέντι δὲ μιγνύων οἶνον κατὰ βραχὺ ὡς τὸ τρίτον τοῦ ἐλαίου ἀνάκοπ7ε ἐπιμελῶς. Ποιεῖ καὶ ϖρὸς τοὺς ἐν δικασ7ηρίῳ ξεσθέντας καὶ ξύλοις τυφθέντας ἐμφερῶς τῇ ϖρὸ αὐτῆς. — Πιλάριον τὸ διὰ ἑλκύσματος ϖρός τε ἀποσύρματα καὶ τὰ ὅμοια.] Ταυρείου σ7έατος, κηροῦ ἀνὰ Γο ι', ἑλκύσματος Γο ς', κολοφωνίας Γο δ', ϖίσσης Γο β', ἐλαίου ℔ β'ς''. Ἐνίοτε τὸ ἕλκυσμα ξηρὸν λειοῦται οἴνῳ ἢ χυλῷ τήλεως. Μὴ ϖαρόντος ἑλκύσματος, μολιβδαίνῃ χρώμεθα. — Ἡ διὰ ᾠῶν.] Κηροῦ Γο ς', ψιμυθίου, λιθαργύρου, ἀμύλου ἀνὰ Γο ς', ᾠὰ ὠμὰ δ', ῥοδίνου τὸ ἀρκοῦν. — Ἕτερον ϖάρυγρον.] Λιθαργύρου, ψιμυθίου ἀνὰ Γο γ',

2. [ὁ] om. X. — Ch. 89, l. 11. κηροῦ] χολῆς Paul.; ὑοσκυάμου χυλοῦ Aët. Conf. p. 620, l. 12. — Ch. 90, l. 18. οἰσύπου Gal., Paul.; ὑσσώπου X.

κηροῦ Γο ϛ', ἐλαίου ῥοδίνου λ α'S'', ἀμύλου Γο β'. — Ἡ ἀνθηρά.] Ἀσϐέστου ζώσης καὶ ψιμυθίου ἀνὰ Γο α'S'', κηροῦ Γο δ', κολοφωνίας Γο θ', λίπους ὑείου Γο ζ', λινοσπέρμου χυλοῦ κο. α'. Ἡ κοτύλη τοῦ ἐλαίου ἄγει σταθμῷ Γο ι'. Λείου τὴν ἄσϐεστον καὶ τὸ ψιμύθιον μέρει τοῦ χυλοῦ, εἶτα καὶ ὅλον ἐπίϐαλλε τὸν χυλὸν, τὰ δὲ τηκτὰ θερμὰ καταχέας λειοτρίϐει ἕως ψυγῇ. Θαυμαστῶς ποιεῖ πρὸς πτερνῶν ῥαγάδας, ἐπὶ δὲ ἑλκῶν φυλάσσου· δυσῶδες γὰρ ἀποτελεῖται. — Ἡ διὰ χυλοῦ.] Λιθαργύρου λ ϛ', ἐλαίου παλαιοῦ χειμῶνος μὲν λ θ', θέρους δὲ λ ζ'S'', χυλῶν λ ε'. Ἕψε ὁμοῦ πάντα ἕως ἀμολύντου· οἱ δὲ χυλοὶ γίνονται οὕτως. Ὕδατος ξ κ', μολόχης ἀγρίας ῥιζῶν λ δ', τήλεως ξ α', λινοσπέρμου λ α'. Βρέχεται ἡ ῥίζα α', τῇ δὲ ἑξῆς ἐπιϐάλλεται ἡ τῆλις, τῇ τρίτῃ τὸ λινόσπερμον καὶ ἕψεται ἕως παχύτατος γένηται ὁ χυλός. Ἐγὼ ιβ' ξ ὕδατος βάλλω. — Τὸ βρόμιον.] Τήλεως, λινοσπέρμου χυλοῦ λ α', ἐλαίου λ α'. Ἕψε ὁμοῦ ἕως ἀναποθῇ ὁ χυλὸς, εἶτα ἐπίϐαλλε πιτυΐνης Γο γ', κηροῦ Γο ϛ', κολοφωνίας Γο γ' χαλϐάνης Γο δ'. — Πάρυγρος.] Κηροῦ Γο ϛ', ῥοδίνου ἢ ὀμφακίνου λ β'S''. Τήξας μετὰ τὸ ἐπᾶραι ἐπίϐαλλε τῆς διὰ χυλοῦ λ α', καὶ σπάθιζε ἕως ψυγῇ καὶ ἐπίσταζε οἴνου Γο ϛ', ἢ ἀντὶ οἴνου χυλοῦ σέρεως ἢ ψυλλίου, μάλιστα ἐπὶ τῶν περὶ ἕδραν παθῶν καὶ ἐρυσιπελάτων.

ζα'. Χοιραδικὸν* παρὰ Προεχίου.

Κάχρυος Γο δ', ἀμμωνιακοῦ θυμιάματος Γο γ', νίτρου, προπόλεως, ἰξοῦ δρυΐνου, χαλϐάνης, τερεϐινθίνης ἀνὰ Γο α', λίθου πυρίτου ∠ δ', κόπρου περιστερᾶς ∠ δ'. Τὸ φάρμακον κοπτόν ἐστιν· οὐ δεῖ γὰρ αὐτὸ τήκειν. — Ἡ διὰ γλοιοῦ χοιράδων διαφορητικὴ, δοθιήνων, παρωτίδων, ἀφλέγμαντος, τραυματικὴ ἐπὶ μεγάλων τραυμάτων.] Γλοιοῦ διυλισθέντος λ γ'S'', θαλάσσης πελαγίας λ α'. Ἕψε ὁμοῦ κινῶν ὑγρῷ καλάμῳ ἕως ἀναλωθῇ ἡ θάλασσα, εἶτα ἐπίϐαλλε κικίνου ἐλαίου ἢ παλαιοῦ λ β', ἢ κοτύλας β', καὶ ἕψε ἕως ἂν δοκῇ ἀμόλυντος γεγονέναι, εἶτα ἐπίϐαλλε κολοφωνίας λ β', κηροῦ λ α', χαλκοῦ κεκαυμένου Γο β', ἀμμωνιακοῦ θυμιάματος Γο β', καὶ ἕψε ἕως ἀμολύντου συστάσεως. Ποιεῖ καὶ ἐπὶ σκληριῶν. — Τὸ διὰ ζύμης.] Πιτυΐνης λ α', κηροῦ Γο η', ζύμης Γο δ', ἐλαίου Γο γ', ἁλῶν Γο γ'. Τοὺς ἅλας λείους μάσσε σὺν τῇ ζύμῃ, τὴν δὲ κηρωτὴν ἀναξύσας μίγνυε εὐτόνως καὶ χρῶ. — Πρὸς χοιράδας ἡλκωμένας καὶ ἀνελκώτους.] Κηροῦ, πιτυΐνης, στέατος ἀνάλου, πρασίου, ἰοῦ ξυστοῦ ἀνὰ Γο ϛ'. Συννόει πῶς σκευάσεις.

ζβ'. Πρὸς μελικηρίδας.

Ἁλῶν ὀρυκτῶν, ψιμυθίου, λιθαργύρου ἀνὰ λ α', μίλτου Γο ϛ', ἐλαίου παλαιοῦ λ γ', χαλϐάνης, ὀποπάνακος, κηροῦ, τερεϐινθίνης ἀνὰ Γο α'. Ὁ ὀποπάναξ ὄξει λειοῦται. — Διαφορητικὴ χοιράδων, σκληριῶν ἐν μασχάλαις, βουϐῶσι, τραχήλῳ.] Μήκωνος κερατίτιδος φύλλα λεάνας μετὰ ὀξυγγίου καὶ προπόλεως λιπαρᾶς ἐμπλάσας ἐπιτίθει. — Ἡ διὰ ἁλῶν.] Ἐλαίου παλαιοῦ λ α'S'', λιθαργύρου λ β', ψιμυθίου λ β', ἁλῶν εἴθε μὲν ἀμμωνιακῶν, εἰ δὲ μὴ, κοινῶν λ β'. Ἕψε πάντα ὅμου ἕως ἀμολύντου· οἱ δὲ ἅλες λειότατοι ἔστωσαν· ἐν ἐλαίῳ γὰρ τήκεσθαι οὐ πεφύκασιν.

ϞΓ'. Κοινοτέρως αἱ ἐπισπαστικαὶ σκληρίας διαλύουσι, ὁμοίως καὶ τὰς σκιῤῥωθείσας φλεγμονάς.

Ποιοῦσι δὲ καὶ πρὸς δοθιῆνας καὶ φύματα, χοιράδας, παρωτίδας, θηριόδηκτα, λυσσόδηκτα, περιθλάσεις, περὶ κεφαλὴν ἀποστήματα, νυγέντα μόνον καὶ φύγεθλα· κολλῶσι καὶ κόλπους, καὶ μάλιστα οἷς ἐῤῥακωμένα καὶ λαγαρὰ ἐπίκειται σώματα. Καὶ ποδαγρικοῖς ποιοῦσιν ἐν παρακμῇ, ἄρθρων τε ῥεύματα ἐξιποῦσιν. — Ἐπισπαστική.] Κηροῦ, τερεβινθίνης, ἐλαίου παλαιοῦ ἀνὰ ʒ α', ἀφρονίτρου λευκοῦ Γο ϛ', νίτρου ἐρυθροῦ Γο ϛ', προπόλεως, χαλβάνης, ἀριστολοχίας στρογγύλης ἀνὰ Γο ϛ'. Τὸ νίτρον λεῖον μετὰ τοῦ ἐλαίου καὶ τοῦ ἀφρονίτρου ἕψε, εἶτα ἐπίβαλλε κηρὸν, τακέντος δὲ αὐτοῦ τὴν τερεβινθίνην, εἶτα χαλβάνην, πρόπολιν προολμοκοπηθέντα, καὶ εὐθέως ἀφελὼν ἀπὸ τοῦ πυρὸς ἐπίπασσε τὴν ἀριστολοχίαν καὶ σπάθιζε. Ποιεῖ ἐξόχως, καὶ μάλιστα πρὸς τὰ περὶ κεφαλὴν θλάσματα, νύγματα καὶ δοθιῆνας καὶ τοὺς πλαδαρωτάτους κόλπους. — Ἡ διὰ νίτρου.] Ψιμυθίου Γο ιϛ', νίτρου Γο ιϛ', ἐλαίου παλαιοῦ κο. δ', προπόλεως, χαλβάνης, ἀριστολοχίας στρογγύλης ἀνὰ Γο γ's''. Σκεύαζε ὡς τὴν πρὸ αὐτῆς καὶ χρῶ εἰς τὰ αὐτά. — Ἐπισπαστική.] Ἀμμωνιακοῦ θυμιάματος Γο ϛ', κηροῦ Γο δ', τερεβινθίνης Γο δ', θείου ἀπύρου Γο γ', νίτρου Γο γ', ἐλαίου Γο δ'. — Ἄλλο συνάγον καὶ διαχέον καλὸν καὶ πρὸς χοιράδας.] Χαλβάνης, κηροῦ, θείου ἀπύρου Γο α', ἀμμωνιακοῦ θυμιάματος Γο α'. Ἐὰν ᾖ σκληρὸν, προσλαμβάνει ἰρίνου. — Ῥηκτικόν.] Πίσσης ὑγρᾶς, πίσσης ξηρᾶς, προπόλεως λιπαρᾶς ἴσα. Τοῦτο ῥήσσει καὶ ἀπουλοῖ. — Ἐπισπαστικόν.] Ναρκίσσου ῥίζαν λειοτριβήσας ἐν μελικράτῳ μετὰ ἰρίνου ἑψήσας κατάπλασσε· ἢ καλάμου ῥίζας λειοτριβήσας μετὰ μέλιτος· εἰ δὲ σκληρία εἴη, μετὰ μελικράτου· ἢ ἀριστολοχίαν μετὰ μέλιτος. — Τὸ Μνασέου.] Λιθαργύρου, ἐλαίου παλαιοῦ, πιμελῆς ὑείας παλαιᾶς ἴσα ὁμοῦ ἕψε. Τινὲς τῷ ἐλαίῳ καὶ τῷ λίπει προσέψουσιν ἕως ψυγῇ ἀλθαίας ʒ α' ἢ Γο ϛ'. — Πρὸς μελικηρίδας.] Ἀλῶν ὀρυκτῶν, ψιμυθίου, λιθαργύρου ἀνὰ ʒ α', μίλτου Γο ϛ', ἐλαίου παλαιοῦ ʒ γ', χαλβάνης, ὀποπάνακος, κηροῦ, τερεβινθίνης ἀνὰ Γο α'. Ὁ ὀποπάναξ ὄξει λειοῦται. — Ἄλλο εἰς μελικηρίδας.] Σταφίδας ἐκγεγιγαρτισμένας κ', λεπίδος, μάννης ἀνὰ ∠δ'. Προπυριῶν ἐπιτίθει.

ϞΔ'. Προς βουβῶνας καὶ φύματα.

Ψύλλιον ὕδατι βρέξας ἀναλαβὼν ὀθονίῳ χλιαρὸν ἐπιτίθει.

ϞΕ'. Πρὸς ἀγκυλώματα μάλαγμα.

Βδελλίου, στέατος μοσχείου, λιβάνου, ἴρεως ξηρᾶς, κάχρυος ἀνὰ Γο ι', ἀμμωνιακοῦ θυμιάματος ∠ρ', ὀποπάνακος, χαλβάνης, στύρακος ἀνὰ Γο ε', πεπέρεως κόκκους ω', τερεβινθίνης ʒ γ's'', κηροῦ Γο γ's''. Βδέλλιον, πέπερι, ἀμμωνιακὸν, ὀποπάνακα,

Ch. 93, tit. Κοινοτέρως αἱ ex em.; Κοινότεραι X. — 3. πλαδαρά Aët. — 4. ἐξιποῦσιν ex em.; ἐξσήπουσιν X; ἐκσήπουσιν Aët. — 26. ἐπίτιθε X, et sic sæpius.

κάχρυν κόπτε, εἶτα κηρὸν, ῥητίνην, χαλβάνην, καὶ σἶέαρ παραχέων ἴρινον. — Ἄλλα ἁπλᾶ χοιραδικά.] Κόμης ῥοὸς τῆς εἰς τὰς ἀρτύσεις τῶν ὄψων Γο α΄ βρέχε ἐν ὄξει ἐπὶ ἡμέρας τρεῖς καὶ ἑψήσας ἐμπλασ7ρωδῶς ἐπιτίθει. — Χοιράσιν.] Ἄσβεσ7ος μετὰ γλοίου, ἢ μετὰ ὑείου σ7έατος· αἰγεία κόπρος σὺν ὄξει ἑφθὴ ἢ οἴνῳ· βοεία ὡσαύτως· ἀρνόγλωσσον μετὰ ἁλῶν· ἀδίαντον μετὰ ἁλῶν· ὀρόβινον ἄλευρον βραχὲν οὔρῳ παιδὸς ἀφθόρου καὶ ἀναληφθὲν πίσσῃ καὶ κηρῷ καὶ ἐλαίῳ τετηκόσιν· αἴρινον ἄλευρον σὺν λινοσπέρμῳ καὶ κόπρῳ περισ7ερᾶς ἐν οἴνῳ ἑφθῷ· ἢ σίλφιον μετὰ κηρωτῆς· ὄλυνθοι ἐριναῖοι ἑφθοί.

ϟϛ΄. Πρὸς κηρία.

Σταφίδες μετὰ πηγάνου, συκῆς τὰ ἁπαλώτατα φύλλα μετὰ μέλιτος, κάρδαμον μετὰ λινοσπέρμου σὺν μέλιτι, σικύου ἡμέρου ῥίζα μετὰ μέλιτος, θεῖον ἄπυρον μετὰ κηρωτῆς ἢ τερεβινθίνης. — Ἔμπλασ7ρος παρὰ Εὐτυχιανοῦ διαφορητικὴ καὶ κολλητική.] Ἐλαίου παλαιοῦ Γο ιγ΄, λιθαργύρου Γο ιγ΄, πίσσης Γο ϛ΄, ὀπίου ∠δ΄, χαλβάνης ∠δ΄, λεπίδος ∠α΄, χαλκοῦ κεκαυμένου ∠η΄. Εἰ δὲ ἐμμότῳ βούλει χρῆσθαι, ἀνάλυε οἰνελαίῳ. — Ἡ διονυσιὰς πρὸς μασθοὺς καὶ βουβῶνας ἐπισπασ7ικὴ διὰ τῶν ἀδήλων πόρων διαφοροῦσα.] Ἐλαίου παλαιοῦ ϡα΄, ὕδατος ϡα΄. Ἑψήσας τὸ ὑδρέλαιον ἐπὶ ὀλίγον ἐπίβαλλε νίτρου Γο ϛ΄, μίσυος Γο α΄, καὶ ἕψε ἕως ἀμολύντου, εἶτα ἐπίβαλλε μάννης λιβανωτοῦ Γο ϛ΄, κηροῦ Γο ε΄, τερεβινθίνης Γο ϛ΄.

ϟζ΄. Γαγγλίων διαλυτικόν.

Ψιμυθίου, πιτυΐνης, ἐλαίου παλαιοῦ ἀνὰ Γο α΄, κηροῦ Γο β΄, ἀμμωνιακοῦ θυμιάματος, χαλβάνης ἀνὰ Γο α΄. Ἐν ἀντιγράφῳ πιτυΐνης Γο ε΄, κηροῦ Γο δ΄. — Χοιραδικόν.] Ἐλαίου παλαιοῦ Γο η΄, λιθαργύρου Γο ϛ΄, ἰοῦ σιδήρου Γο α΄ S″, ἀμμωνιακοῦ θυμιάματος Γο η΄. Ἕψε ἕως ἀμολύν7ου. — Ἡ ἀνίκητος πάγχρησ7ος ἐξαίρετος πρὸς νεύρων τρώσεις καὶ ἀγκυλώσεις, κἂν ἐξ οὐλῆς ὁ δεσμὸς γεγόνῃ, πρός τε ἄρθρα ἀλγοῦντα οἷον ὤμους, κόρωνα καὶ πρὸς τὰς ἐν πέλμασι ῥαγάδας.] Δαφνίδων, ἴρεως ξηρᾶς, λιβάνου ∠ξ΄, χαλκοῦ κεκαυμένου ∠κ΄, νίτρου, ἁλῶν ἀμμωνιακῶν ἀνὰ ∠ιϛ΄, πυρέθρου, σ7αφίδος ἀγρίας, κάχρυος, κόκκου κνιδίου, νάπυος, περισ7ερῶν κόπρου, ἀρισ7ολοχίας, κυμίνου, ἰοῦ ξυσ7οῦ, κυπέρου, εὐζώμου σπέρματος ἀνὰ ∠η΄, ὄξους κο. ιβ΄. Λειοτρίβει τοῖς ὑπὸ κύνα καύμασιν ἕως πᾶν τὸ ὄξος ἀναλωθῇ ξηρανθὲν, καὶ μετὰ ταῦτα ποίησον οὕτως. Λαβὼν σῦκα λιπαρὰ ϡ ιβ΄ ἕψησον εἰς ὕδατος ξ ιβ΄, ἕως λειφθῇ τὸ τρίτον, καὶ διηθήσας μετακένου τὸ ὑγρὸν ἐν χαλκῷ ἀγγείῳ ὡς μὴ διουρίσῃ καὶ μίξας τῷ φαρμάκῳ πλάσσε τροχίσκους καὶ ξήραινε. Ἐν δὲ τῇ θεραπείᾳ λειώσας μέρος τοῦ φαρμάκου ἐν ὄξει ἀναλάμβανε ῥητινοκήρου ἐξ μέρεσιν ἀναξυσθέντος· ἔσ7ι δὲ τὸ μὲν ἄκρατον ῥητινόκηρον τοῦτο. Κηροῦ μέρος ἓν πρὸς τρία ῥητίνης μετὰ βραχυτάτου ἐλαίου τακέν· τὸ δὲ μέσον κηροῦ μέρος ἓν πρὸς δύο ῥητίνης, τὸ δὲ ἀνιέμενον κηροῦ καὶ κολοφωνίας ἴσα· τὸ δὲ ἐκλελυμένον ῥητίνης μέρος ἓν, κηροῦ τὸ διπλάσιον. — Τὸ ψιττάκιον.]

7. ἐν *Synops.*, Paul.; καί X. — Ch. 97, l. 33. ἀνειμένον Gal.

Κηροῦ, κολοφωνίας, πιτυΐνης, ὀξυγγίου, ὑοσκυάμου φύλλα ἴσα. — Ἄλλως τὸ ψιτλάκιον.] Κηροῦ, κολοφωνίας, ὀξυγγίου, ὑοσκυάμου φύλλων ἴσα.

ϞΗʹ. Περὶ ἀποσΊημάτων. Orib. t. III, XLIV, 6, p. 564-567; XLIV, 7, p. 568-570; XLIV, 8, p. 570-577.

ϞΘʹ. Ἀνακαθαρτικὰ ἑλκῶν.

Μέλι μετὰ ἴσης τερεβινθίνης καὶ ῥοδίνου, ἢ ἀντὶ ῥοδίνου βουτύρου, ὀρόβινον μετὰ μέλιτος· πρὸς δὲ τὰ νευρώδη ἢ μυώδη τερεβινθίνη ἐν διπλώματι τακεῖσα σὺν βουτύρῳ. Τοῖς δὲ ἄγαν ῥυπαροῖς ἢ καὶ νεμομένοις ποιεῖ πράσιον μετὰ μέλιτος· τοῦτο δὲ καὶ ἐσχάρας ἐκβάλλει. — Ἡ αἰγυπτία.] Ἰοῦ Γο αʹ, μέλιτος Γο θʹ. Ἕψεται μαλθακῷ πυρὶ ἕως ἐπὶ τὸ κιῤῥότερον μεταβάλῃ. Καθαίρει ἕλκη φακὸς μετὰ μέλιτος, ἀριστολοχία μετὰ μέλιτος, νίτρου ἀφρὸς σὺν μέλιτι καυθεὶς βραχὺ προσλαβὼν ἴρεως, κολυμβάδες ἐλαῖαι. Ἐσχάρας ἀπὸ καύσεως ἀφίσΊησι πράσα καρτὰ μετὰ ἁλῶν λεῖα καταπλασσόμενα, ὄροβοι ἑφθοί, ἀρνογλώσσου φύλλα, θαλλία, σῶρι κεκαυμένον, ἄρου ῥίζα. Ἀνακαθαίρουσιν αἱ διὰ ἁλῶν κηρωταὶ συντακεῖσαι, ἥ τε ἰνδικὴ καὶ ὁ μελάγχλωρος τροχίσκος καὶ ἡ Ἀθηνᾶ, καὶ αἱ χλωραὶ ἀνιέμεναι. — Ἀνακαθαῖρον ἰσχυρῶς.] Ἀμόργης ἑφθῆς, μέλιτος ἀπηφρισμένου, σΊυπτηρίας φορίμης ἴσα. — Τὸ διὰ ὀρόβων ξηρὸν κεφαλικὸν ἀνακαθαῖρον καὶ σαρκοῦν.] Ὀρόβου κιῤῥοῦ Γο δʹ, ἀρισΊολοχίας μακρᾶς Γο αʹ, ἴρεως Γο βʹ, λεπίδος χαλκοῦ Γο αʹ, μάννης ἢ λιβάνου Γο αʹ. — Τὸ διὰ κισήρεως.] Κιμωλίας, κισήρεως κεκαυμένης καὶ ἐσβεσμένης ὄξει ἀνὰ Γο εʹ, λεπίδος χαλκοῦ καὶ χαλκοῦ κεκαυμένου ἀνὰ Γο βʹ, κηροῦ Γο θʹ, μυρσινίνου ϗ αʹ. Λειοῦται μετὰ ὄξους τὰ ξηρὰ ἐπὶ ἱκανὰς ἡμέρας, καὶ παχυνθέντα εἰς γλοιώδη σύσΊασιν ἀναλαμβάνεται τῇ κηρωτῇ. Ἐπὶ μὲν οὖν χειρωνείων πλατύσματι χρώμεθα, ἐπὶ δὲ αἰδοίων καὶ τῶν λοιπῶν ἑλκῶν πρὸς μέρος τοῦ φαρμάκου ῥοδίνης κηρωτῆς ἢ μυρσινίνης ἑπτὰ μέρη μίγνυμεν. — Ἡ αἰγυπτία ἀνακαθαρτική.] Μέλιτος κο. αʹ, ὄξους ξ αʹ, λεπίδος Γο αʹ, ἰοῦ ξυσΊοῦ ∠δʹ. Ἕψε τὸ μέλι καὶ τὸ ὄξος ἕως μελιτῶδες γένηται καὶ ἐπίπασσε τὰ ξηρά. — Πληρωτικὸν ἑλκῶν ἡ τροφός.] Ῥοδίνου, τερεβινθίνης, μέλιτος ἀνὰ Γο βʹ, ψιμυθίου, βουτύρου ἀνὰ Γο αʹ· οἱ δὲ καὶ λιβάνου Γο δʹ. — Ξηρὸν πληροῦν κεφαλικόν.] Ὀροβίνου ἀλεύρου, ἅλικος, ἀμύλου, λιβάνου, διαφανοῦς κεκαυμένου ἴσα. Τὸ διαφανὲς ῥωμαϊσΊὶ σπεκλάριον καλεῖται. — Ἄλλο.] Ἀμύλου, μάννης, ἅλικος ἴσα κόψας καὶ σήσας χρῶ. — Ἄλλο. Ἡ μελιτηρά.] Χαλκίτεως, λεπίδος, κηκῖδος, βαλαυσΊίων, ἀρισΊολοχίας μακρᾶς ἀνὰ Γο αʹ, σιδίων, σχισΊῆς ἀνὰ ∠δʹ. — ΚατασΊαλτικά.] Ἡ ῥοδία ἴσχαιμος κατασΊέλλει τὰ ὑπερσαρκοῦντα· προγέγραπται ἐν τῷ περὶ αἱμοῤῥαγίας χωρίῳ. ΚατασΊέλλον ἰσχυρῶς ποιοῦν καὶ πρὸς νομὰς καὶ ὦτα πυοῤῥοοῦντα· ἔσΊι δὲ καὶ ἴσχαιμον.] Χαλκίτεως, μίσυος ἀνὰ ∠κʹ, λεπίδος σιδήρου ∠ιϛʹ, κηκῖδος ὀμφακίτιδος ∠ηʹ. — ΠάγχρησΊον κατασΊέλλον.] Λεπίδος ∠δʹ, ἰοῦ ∠αʹ. Ποιεῖ δὲ καὶ κατὰ αὐτὴν ἡ λεπίς. — Ἄλλο.]

Ch. 99, l. 12. ἑφθῆς Paul.; ἐφίσης X. οἴνῳ Gal., Paul. — 26. Ἡ ex em.; Ἀλωῆ — 15. κισσήρεως X utrobique. — 16. ὄξει] X. Conf. Paul. IV, 43 et VII, 13.

Ἀσβέσῖου, λεπίδος χαλκοῦ, μάννης ἴσα. Ποιεῖ τοῦτο καὶ ϖρὸς τὰ κακοηθευόμενα καὶ ταῖς μύκαις ὅμοια, ἀνακαθαίρει τε μετὰ μέλιτος καὶ ϖληροῖ μετὰ κηρωτῆς. — Τὸ ἡλιοκαὲς ξηρίον, κατασῖέλλον ἰσχυρῶς, ἄδηκτον· ϖοιεῖ καὶ ϖρὸς νομὰς καὶ τὰς ἐν σῖόματι σηπεδόνας, καὶ μάλισῖα ἐπουλίδας· λευκαίνει δὲ καὶ τοὺς ὀδόντας.] Ἀσβέσῖου λα', ἀρσενικοῦ Γο ς'. Λείου ἐπιμελῶς τὸ ἀρσενικὸν ξηρὸν καὶ ϖλύνας τὴν ἄσβεσῖον ὡς καδμείαν μῖξον ξηράνας καὶ χρῶ. Εἰ δὲ βούλει, λειώσας τὸ ἀρσενικὸν μετὰ ὕδατος καὶ τότε μίξας τὴν ἄσβεσῖον εἰς ὀσῖρακίνην βαλὼν αὐτὸ λεκάνην ἔμβαλε ὕδωρ ϖληρώσας τὴν λεκάνην, καὶ τούτου ξηρανθέντος ϖάλιν γέμισον δὶς καὶ τρὶς ξηράνας ϖάνυ, καὶ τότε ἀπόθου αὐτὸ ἐπιμελῶς λειώσας ἐν ὀσῖρακίνῳ ἀγγείῳ ἐπὶ ξηροῦ καὶ ἀνοτίσῖου τόπου. — Ἀπουλωτικά. Λευκὴ ἔμπλασῖρος ἀπουλωτικὴ ϖρὸς τοὺς ἁπαλόχρωτας καὶ γυναῖκας, ἔτι δὲ καὶ εὐνούχους καὶ ϖαιδία· καλὴ δὲ καὶ ἐπὶ τῶν αὐτομάτων ἑλκῶν καὶ ἀποσυρμάτων· ϖοιεῖ δὲ καὶ ϖρὸς ϖυρίκαυτα.] Λιθαργύρου Γο ις', ψιμυθίου λα', κηροῦ Γο ε', λιβάνου ἢ τῆς μάννης Γο ε', τερεβινθίνης Γο α', ἐλαίου λευκοτάτου λβ's'', ὕδατος θαλασσίου λβ' ἢ κοτύλας δύο. Ἕψε ἔλαιον, λιθάργυρον, ψιμύθιον διηνεκῶς κινῶν, ἀναλωθέντος δὲ τοῦ ὕδατος καὶ ἀμολύντου γενομένου τοῦ Φαρμάκου ἐπίβαλλε ῥητίνην, εἶτα κηρὸν, καὶ ἐπάρας ἐκ τοῦ ϖυρὸς τὸν κάκκαβον ἔμπασον τὸν λιβανωτόν. — Πρὸς τὰ τῶν γυναικῶν καὶ τὰ τῶν ἁπαλοσάρκων ἕλκη κακοήθη.] Κηροῦ τυῤῥηνικοῦ ∠η', τερεβινθίνης, σῖέατος ταυρείου, μολίβδου κεκαυμένου καὶ ϖεπλυμένου ἀνὰ ∠δ'. Χρῶ ἐμμότῳ ἀνιεὶς διὰ ῥοδίνου ἢ μυρσινίνου. — Πρὸς τὰ δυσεπούλωτα.] Λεπίδος σῖομώματος ∠δ', χρυσοκόλλης ∠δ', χαλκάνθου ∠β', ἰοῦ ξυσῖοῦ ∠β', κηροῦ ∠κς', τερεβινθίνης ∠ις'. Ἐνίοτε ξηρὰ ἀναλαμβάνεται τῇ κηρωτῇ, ἔσῖιν ὅτε δὲ ὄξει ϖρολειωθέντα. — Ξηρὸν ἀπουλοῦν.] Ὀσῖρέων ἐν χύτρᾳ καέντων ἕως λευκὰ γένηται ∠ιβ', μάννης ∠ς', καδμείας ∠δ'. Ποιεῖ καὶ ϖρὸς νομάς. — Ἄλλο ἀπουλοῦν.] Λιθαργύρου, ψιμυθίου ἀνὰ ∠η', σκωρίας μολίβδου, κηκῖδος, μυρσίνης ξηρᾶς ἀνὰ ∠δ'. Χρῶ· εἰ δὲ βούλῃ, μετὰ κηρωτῆς. — Πρὸς χειρώνεια καὶ ἐπὶ ϖαντὸς ἑρπετοῦ δήγματος ἐπιτετευγμένον Φάρμακον.] Λιθαργύρου λα', ἐλαίου ϖαλαιοῦ λβ', χαμαιλέοντος μέλανος ῥίζης, ἀρισῖολοχίας, κηκῖδος ὀμφακίτιδος ἀνὰ Γο δ', χαλβάνης, ἀμμωνιακοῦ θυμιάματος, λιβανωτοῦ ἀνὰ Γο β'. Σκεύαζε κινῶν ῥίζαις χλωρῶν καλάμων. — Πρὸς τὰ δυσεπούλωτα Ἡρακλείδους.] Λεπίδος χαλκοῦ Γο δ', μάννης ἢ λιβανωτοῦ Γο δ', σῖυπτηρίας σχισῖῆς Γο β', μίσυος Γο β'. Λειοτριβήσας μετὰ ὄξους ἐπὶ ἱκανὰς ἡμέρας ϖλάσσε εἰς τροχίσκους· ἐπὶ δὲ τῶν δυσεπουλώτων καὶ κακοήθων ἑλκῶν ϖρὸς Γο α' τοῦ Φαρμάκου κηροῦ τριπλάσιον μίσγε Γο γ', καὶ τερεβινθίνης Γο δ'. Εἰ δὲ Γο δ' τοῦ κηροῦ βάλοις καὶ ῥητίνης Γο α', ἔσῖαι ϖρὸς τὰ μὴ ϖάνυ κακοήθη χρησῖὸν Φάρμακον. Εἰ δὲ ἑξαπλάσιον ἔχοι κηροῦ, τουτέσῖιν Γο ς', καὶ ῥητίνης Γο α's'', ἔσῖαι ἁπλῶν ἑλκῶν κατουλωτικόν. — Πρὸς χειρώνεια καὶ κακοήθη Φάρμακον ἐπιτετευγμένον.] Ἰοῦ ξυστοῦ Γο α', λεπίδος χαλκοῦ Γο α', κηροῦ Γο ς', ῥητίνης λάρικος, ἢ ἀντὶ αὐτῆς τερεβινθίνης Γο α's''. Τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. Χρῶ μαλάσσων ἐπιμελῶς καὶ ϖλατυσμάτιον ἐπιῤῥίπτων κατὰ μόνου τοῦ ἕλκους καὶ τῶν χειλῶν αὐτοῦ, τὰ δὲ ϖέριξ ἀφλεγμάντῳ ἐμπλάσῖρῳ καταλαμβάνων, σπόγγον τε ἄνωθεν ἐπιθεὶς ἐπίλυε διὰ τρίτης, καὶ ἀποπυριάσας τὸ ἕλκος τὸ αὐτὸ ϖλατυσμάτιον ἀποπλύνας ὕδατι μάλασσε καὶ ϖάλιν ἐπιτίθει ἕως ἂν ἄρξηται συνουλώσεως. Γενναῖον δέ ἐσῖι τοῦτο τὸ Φάρμακον

ἔχον τριπλάσιον κηρόν· τοῦτο τὰ μετρίως κακοήθη θεραπεύει. Γίνοιτο δὲ ἂν σύμμετρον εἰ λάβοι κηροῦ Γο η' καὶ ῥητίνης Γο β'. Ἔτι δὲ πρᾳότερον γίνεται τὸ φάρμακον εἰ πενταπλάσιον τῶν μεταλλικῶν βληθείη ὁ κηρὸς καὶ ῥητίνης Γο β's'' ἔχοι, καὶ ἔτι μᾶλλον εἰ ἑξαπλάσιον ὡς εἶναι τῶν μεταλλικῶν Γο β', κηροῦ Γο β', λάρικος ἢ τερεβινθίνης Γο γ'. Μὴ παρούσης δὲ ῥητίνης, μυρσινίνῳ ταῦτα μίγνυε, ἢ μηλίνῳ, ἢ σχινίνῳ. — Ἱπωτήριον.] Κηροῦ τυῤῥηνικοῦ, μολίβδου κεκαυμένου πεπλυμένου ἀνὰ ∠η', μυελοῦ ἐλαφείου ∠δ', τερεβινθίνης ∠δ', ῥοδίνου τὸ ἀρκοῦν ὡς ἁπαλὸν γενέσθαι. — Πρὸς χειρώνεια.] Σταφίδος ἐκγεγιγαρτισμένης Γο ϛ', λεπίδος χαλκοῦ Γο β'. Τὴν λεπίδα λειώσας οἴνῳ ἀναλάμβανε τῇ σταφίδι προλελειωμένῃ. — Πρὸς παλαιὰ καὶ δυσκατούλωτα ἕλκη.] Σεύτλου φύλλα ἐξινιάσας ἕψε μετὰ ὕδατος καὶ λεῖα ποιήσας κατάπλασσε. Ποιεῖ δὲ καὶ μαλάχη ὠμὴ καταπλασσομένη. — Πλάτυσμα.] Μολιβδαίνης Γο γ', ψιμυθίου Γο γ', κολοφωνίας Γο ιβ', κηροῦ Γο δ', μυρσινίνου ℔ α'. Ξηρὰ λειώσας τὰ μεταλλικὰ μίσγε τῇ κηρωτῇ ψυγείσῃ καὶ ἀναξυσθείσῃ.

ρ'. Οὐλὰς ὁμοχρόους ποιῆσαι.

Λιθαργύρου, ἡδυόσμου, λιβανωτοῦ, μέλιτος ἴσα. — Πρὸς οὐλὰς μελαίνας.] Κροκοδείλου κόπρου ∠ι', λιβάνου ∠β', ψιμυθίου ∠β'. Διὰ ὕδατος ἐπιχρίεται, ἢ κυπρίνῃ κηρωτῇ μιγέν. — Οὐλὰς λευκαῖνον.] Σάπωνος, κυνείας λευκῆς, κηροῦ, ἐλαίου λελευκασμένου ἴσα. — Ἄλλο.] Νίτρου, ἀμμωνιακοῦ θυμιάματος, θείου ἀπύρου ἴσα. Ὄξει λευκῷ ἢ οἴνῳ ἢ ὕδατι λειοτριβήσας ὀλίγον ἐπίχριε ἵνα μὴ ἑλκώσῃ. — Ἄλλο.] Λιθαργύρου, ψιμυθίου ἴσα. Πεπλυμένα ἐπίχριε σὺν τῷ λευκῷ τοῦ ᾠοῦ. Περιστερᾶς ἀφόδευμα μετὰ ὕδατος ἐπίχριε, ταχέως ἀπονίπτων μὴ ἑλκωθῇ. — Ἄλλο.] Ἀμμωνιακοῦ θυμιάματος μετὰ χολῆς ὑείας ἐπίχριε. — Ἄλλο.] Χελιδόνος κόπρος μετὰ ὕδατος ἐπιχριόμενος οὐλὰς λευκαίνει.

ρα'. Περὶ συρίγγων. Schol. ad Orib. XLIV, 22, t. III, p. 687-688; Orib. XLIV, 22, 23, t. III, p. 611, 615-618.

ρβ'. Κολλύριον συριγγιακόν.]

Χαλκίτεως ὠμῆς, ἰοῦ, μίσυος ὠμοῦ, χαλκάνθου, κόμμεως ἴσα. Ἐν ἀντιγράφῳ ἀμμωνιακοῦ θυμιάματος ἴσα. — Πρὸς παλαιὰς σύριγγας.] Χαλκάνθου, μίσυος, σχιστῆς, ἀμμωνιακοῦ θυμιάματος ἴσα. Χαλκάνθου ∠β', μίσυος, χαλκίτεως, ἰοῦ ἀνὰ ∠α'. Ἀναλάμβανε κόμμει, ἢ ἀμμωνιακῷ· ὅταν δὲ ἐκτυλωθῇ, ἰῷ ἑφθῷ μετὰ μέλιτος ἀνακάθαιρε ποιῶν κολλύρια· ἔστω δὲ μέλιτος μέρη η', ἰοῦ μέρος α'. — Κολλύριον ὁ καλοκαιριανός.] Ἰοῦ ξυστοῦ, χαλκίτεως ὠμῆς, μίσυος ὠμοῦ, σχιστῆς στυπτηρίας, χαλκάνθου, μίλτου σινωπικῆς, κόμμεως ἴσα. Ὄξει σκευασθὲν χωρὶς κόμμεως, προσλαβὸν δὲ λιβάνου τὰ τετυλωμένα τῶν κόλπων ἀνακαθαίρει μιγνύμενον δωδεκαπλασίονι

8. ἐκγιγαρτισμένης X, et sic semper. — Ch. 100, l. 14-15. κροκοδειλίας X.

μέλιτι πασΊιλλώσαντι. Εἰ δὲ πρὸς ἓν μέρος αὐτοῦ μιγείη μέλιτος μέρη κ', σαρκοῖ καὶ κατουλοῖ. — Πρὸς τὰ ἐπὶ τῆς κεφαλῆς καὶ γένυος συκώδη ἐξανθήματα.] Μίσυος, χαλκίτεως, λεπίδος ἀνὰ ∠β', σχισΊῆς ∠α'. Λουσαμένῳ ἐπιτίθει ξηρὸν δαψιλὲς τὸ φάρμακον, λουσαμένῳ δὲ τῇ ἑξῆς σπόγγῳ ἀποσύρας τὴν ἐφελκίδα πάλιν ἐπιτίθει ἕως τὸ πᾶν ἀφαιρεθῇ. Ἐλαίῳ μὴ μολυνέσθω. — Ἄλλο συριγγιακόν.] Ἰοῦ ∠δ', ἀλόης ∠β', μέλιτος Γο ϛ'. Λείου τὰ ξηρὰ μετὰ ὄξους καὶ ἕψε σὺν τῷ μέλιτι μέχρι συσΊάσεως καὶ χρῶ ἐμμότῳ ὡς ἀγαθῷ. — Ἄλλο πρὸς σύριγγας καὶ μώλωπας ὃ ἔλαβον παρὰ Διονυσίου ἐν Ἱεραπόλει.] Τῆς μαίας τῆς βοτάνης τῆς καλουμένης λεπιδίου φύλλων ἐν σκιᾷ ξηρανθέντων καὶ τῆς παλαιᾶς κνήκου ἄνθους, μέλιτος σΊακτοῦ ἀπηφρισμένου, τερεβινθίνης ἴσα, ῥοδίνου ὀλίγον. Σκεύαζε λειώσας τὰ ξηρὰ ὄξει, εἶτα ἐπιβαλὼν μέλι καὶ τερεβινθίνην ὁμοῦ συλλειώσας ποίει ἐμπλασΊρῶδες, εἶτα προανάτριβε τὸν τόπον προαποβάπτων τὸν δάκτυλον ὄξει καὶ ἐπίπασσε τῇ σύριγγι ξηρῶν τῶν φύλλων τοῦ λεπιδίου λελειωμένων ἐπάνωθεν τιθεὶς σπληνίον ἐκ τοῦ φαρμάκου, μετὰ δὲ τὸ καυθῆναι τὸ μέρος ποίησον τοῦτο καὶ θεράπευε· σμύρνης, λιβανωτοῦ, σιδίων, κνήκου ἄνθους, τερεβινθίνης, μέλιτος, ῥοδίνου ἴσα. — Πρὸς τὰ αὐτόματα. Λευκὴ πάρυγρος πρὸς τοὺς τρυφερόχρωτας.] Πιμελῆς ὑείας προσφάτου Γο ια', κηροῦ Γο ϛ', ψιμυθίου Γο α'S'', λιθαργύρου Γο α'S''. Τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. Ποιεῖ ἐπὶ γυναικείων σωμάτων καὶ πρὸς ἕρπητας· ἔσΊι δὲ καὶ δακτυλικὴ ἀνεθεῖσα καὶ πρὸς τὰ περὶ μήτραν, ἔτι δὲ πρὸς χιμέθλας κακοήθεις καὶ τὰ περὶ πρόσωπον ψυδράκια· ἐπὶ δὲ χιμέθλων μὴ ἀποδεδαρμένων καὶ ἐκβρασμάτων ὁμοίως μὴ ἀποδεδαρμένων μίσγε καὶ πίτυος φλοιοῦ Γο α'S''. — Ἡ ἡμετέρα φησὶ διὰ μολιβδαίνης πρός τε τὰ θερμὰ ἐκβράσματα καὶ περιζωματίας ἕρπητας, ἀρχομένους δοθιῆνας· ποιεῖ δὲ καὶ πρὸς κατακαύματα.] Μολιβδαίνης Γο δ', λιθαργύρου Γο β', ψιμυθίου Γο β', κηροῦ Γο η', μυρσινίνου λ β'. Οἴνῳ λειοῦται τὰ ξηρά. — Ἡ διὰ ᾠῶν.] Κηροῦ, σΊέατος ὑείου, λιθαργύρου ἀνὰ ∠α', ᾠῶν ὀπτῶν λεκίθους δ', ῥοδίνου ἢ μυρσινίνου, ἢ λελευκασμένου ἐλαίου Γο ε'. — Πρὸς ἐξανθήματα, παρατρίμματα, κατακαύματα.] Σκωρίαν μολίβδου ὡς Γο γ' λείαν ἢ δ' ἀνάλαβε κηρωτῇ Γο δ', ὑείου σΊέατος Γο α', μυρσινίνου λ α'. Χρῶ καὶ πρὸς χιμέθλας μὴ ἀποδεδαρμένας καὶ τῶν ἐκβρασμάτων τὰ μηδέπω ἐσΊομωμένα, πρός τε ἀποσύρματα καὶ τὰ ἐπὶ τῶν ἀντικνημίων ἕλκη καὶ πρὸς παλαιὰ καὶ ἕρπητα τὸν ὑπὸ τὸ δέρμα. Πρὸς δὲ τὰ ἀπουλώσεως δεόμενα ἄνευ σΊέατος σκευασΊέον. — Πρὸς ἐπινυκτίδας καὶ φλυκταίνας.] Λιθάργυρον, θεῖον ἄπυρον ἴσα μετὰ ὄξους καὶ οἴνου γλοιῶδες ἐπίχριε· ἐγὼ ἔλαιον οὐ μίγνυμι καὶ ἀντὶ ὄξους οἴνῳ αὐτὸ λειῶ. — Ἄλλο πρὸς ἐπινυκτίδας.] Θαλλία κατάπλασσε ἐν φακῷ ἑφθῷ· ὅταν δὲ ἀποδαρῇ, χρῶ τῇ τρυφερᾷ παρύγρῳ μετὰ μέλιτος. Σταφίδες ἀφῃρημένων τῶν γιγάρτων, ἢ χλωρὸν κόριον κατὰ αὐτό, ἢ μετὰ μάννης, ἢ σΊαφὶς μετὰ κορίου, ἢ προβάτου ἄφοδος κατὰ αὐτήν, ἢ ἀρνόγλωσσον μετὰ ὕδατος, ἢ ἀψίνθιον σὺν ὕδατι.

2. γενείου Aët. — 5. Ἐλαίῳ Aët.; Ἐλαίου X. — 12. ἐπίπασσε Aët.; ἐπίπλασσε X. — 17. κατά Aët.; μετά X. — 19. περι προσώπου X; ἐν προσώπῳ Aët.

ργ'. Ἄλλο πρὸς ἐξανθήματα.

Πηγάνου χλωροῦ, θείου ἀπύρου, λιθαργύρου. Ὄξει λείου καὶ μιγνὺς ῥόδινον ἐπίχριε. — Ἡ διὰ χυλοῦ λινοσπέρμου ἔμπλασ7ρος εὐπόρισ7ος ποιοῦσα πρὸς φλεγμονὰς καὶ νεύρων τρώσεις καὶ τραύματα πρόσφατα καὶ χρόνια καὶ ἀντὶ μαλάγματος παραλαμβανομένη καὶ χαλαστικοῦ, καὶ τὸ ὅλον πρὸς πάσας τὰς διαθέσεις ἁρμόζει.] Κηροῦ ℔ α', πίσσης Γο ιη', κολοφωνίας Γο ιη', ἐλαίου κοινοῦ κο. α'ς", χυλοῦ λινοσπέρμου κο. γ'. Τήξας τὰ τηκτὰ καὶ ποσῶς ψύξας ἐπίβαλλε τὸν χυλὸν καὶ ἀνάκοπτε ἕως ἑνωθῇ.

ρδ'. Πρὸς ἐρυσιπέλατα· περὶ τούτων γέγραπται καὶ ἐν τῷ περὶ ποδάγρας χωρίῳ.

Τῶν ἐρυσιπελάτων ἐργωδέσ7ερα τυγχάνει τὰ περὶ κεφαλήν· ὅθεν εἰ μὴ ἐμπράκτου τύχοι βοηθείας, ἐνίοτε καὶ πνίγει τοὺς πεπονθότας. Εὐθὺς τοίνυν κατὰ ἀρχὰς ἐπιφανέντων φλεβοτομεῖν δεῖ τέμνοντας ἐν τῷ ἀγκῶνι τὴν ὠμιαίαν καλουμένην φλέβα· εἰ δὲ μὴ φαίνοιτο αὕτη, τὴν εὑρισκομένην· ἐπαφαιρεῖν τε καὶ ἐν ἀσιτίᾳ τηρεῖν μέχρι πρώτης διατρίτου· εἰ δὲ μὴ φλεβοτομήσαιμεν, κενοῦν διὰ κλυσ7ῆρος ἢ καθαίρειν, καταχρίειν τε τοῖς πρὸς ἐρυσιπέλατα ποιοῦσι τροχίσκοις τά τε κατεχόμενα τῶν μερῶν καὶ πολὺ τῶν παρακειμένων. Φυλασσέσθω δὲ ὑγρὰ τὰ ἐπικεχρισμένα, καὶ ἀλλασσέσθω τὰ πρῶτα τῶν φαρμάκων· ταχὺ γὰρ ἄπρακτα γίνεται διαπνεόμενα διὰ τὴν πύρωσιν, τὰ δὲ πρῶτα διὰ εὐαφοῦς σπόγγου ἀποθλιβομένου εἰς χλιαρὸν ὕδωρ ἀφαιρείσθω. — Τροχίσκος κάλλισ7ος ὁ τοιοῦτος.] Λιθαργύρου, ψιμυθίου, κρόκου, θείου ἀπύρου, ὀπίου ἴσα μετὰ γλυκέος ἢ σ7ακτοῦ. Τὰ δὲ ἐπὶ τοῦ λοιποῦ σώματος καταχρισ7έον τοῖς ἁπλουσ7έροις ὡς ψιμυθίῳ μετὰ χυλοῦ σ7ρύχνου, ἢ κορίῳ, ἢ ῥῷ βυρσοδεψικῷ* λελεασμένῳ μετὰ ὄξους καὶ ῥοδίνου, ἢ ὀπῷ μήκωνος μετὰ ὄξους, ἢ λιθαργύρῳ μετὰ ναρδίνου μύρου, ἢ ψυλλίῳ μετὰ ψιμυθίου καὶ ὄξους καὶ ἐλαίου, ἢ λιθαργύρῳ μετὰ χυλοῦ πράσου καὶ σεύτλου, ἢ κιμωλίᾳ μετὰ χυλοῦ σ7ρύχνου, ἢ χαλκίτιδι μετὰ ἐλαίου καὶ γλυκέος, ἢ ψιμυθίῳ μετὰ ὄξους καὶ λυκίου ὥσ7ε χρῶσαι, ἢ κεραμικῇ γῇ μετὰ χυλοῦ σ7ρύχνου, ἢ κωνείῳ καὶ λιθαργύρῳ μετὰ ὕδατος λελειωμένοις. Εἰ δὲ μὴ προκόπτοι, καταπλασ7έον κορίῳ μετὰ ἄρτου, ἢ ἀρνογλώσσου φύλλοις, ἢ σελίνου, ἢ ῥάμνου, ἢ κολοκυνθίδι, ἢ ψυλλίῳ, ἢ ἀειζώῳ, ἢ λινοσπέρμῳ μετὰ χυλοῦ σ7ρύχνου, ἢ ὠκίμῳ μετὰ ψιμυθίου καὶ ἐλαίου καὶ ὄξους. Γενομένης δὲ φλεγμονῆς ἐν τοῖς ἐρυσιπέλασι κατασχασ7έον καὶ ἐξαντλητέον ἐπὶ πλεῖσ7ον· κίνδυνος γάρ ἐσ7ιν ἐπιμενόντων μεταβολῆς εἰς πύον ἢ σηπεδόνα. — Ἄλλο.] Θεῖον καὶ ἡδύοσμον συλλεάνας ὄξει ἐπίχριε, [ἢ] τῷ ἀνδρωνείῳ, ἢ φακῷ τῷ ἐπὶ τῶν τελμάτων. Ἐν ἄλλῳ ἔχει οὕτως· Λιθαργύρου, ψιμυθίου ἀνὰ Γο β', ὄξους, οἴνου, ἐλαίου τῶν γ' ἀνὰ Γο β'. Λειώσας ἐπίχριε πτερῷ, ἢ βρέχων ῥάκει ἐπιτίθει, καὶ συνεχῶς ἄλλασσε.

Ch. 104, l. 29. μεταβολήν X. Conf. Paul. — 30. [ἢ] om. X.

ρε'. Πρὸς ἕρπητας.

Τῶν ἑρπήτων οἱ μέν εἰσι φλυκταινώδεις καὶ ὑπέρυθροι, οἱ δὲ λευκοὶ καὶ ὠχροὶ, τὸ δὲ διάφορον ἐκ τῆς τῶν χυμῶν ϖοιότητος. Πρὸς μὲν οὖν τὸν φλυκταινώδη ἕρπητα σκωρίαν μολίβδου ἐν οἴνῳ αὐστηρῷ λεάνας καὶ καταχρίσας κατάπλασσε ἐπάνω φύλλα σεύτλου ἐν οἴνῳ ἑφθά. Σταθείσης δὲ τῆς νομῆς τῇ διὰ σκωρίας κηρωτῇ χρῶ. — Πρὸς τὸν ὑπὸ τὸ δέρμα ἕρπητα τοῦτο.] Σκωρίαν μολίβδου ἀναλαβὼν χυλῷ ϖηγάνου χρῶ· ἢ θαλλία ἐν οἴνῳ ἑφθὰ μετὰ ὀλίγου μέλιτος κατάπλασσε· ἢ κηρωτῇ μυρσινίνῃ ἀντὶ ϖηγάνου. — Ἄλλη ϖρὸς τοὺς ὀξέως νεμομένους.] Σιδίων γλυκείας ῥοᾶς ∠ϛ', λιθαργύρου ∠ϛ', ἐρίου ἀπλύτου μαλακοῦ ϖερὶ δᾷδα κεκαυμένου ∠γ', κηροῦ ∠ιβ', μυρσινίνου Γο δ' ἢ ε'. — Πρὸς τοὺς ἐκδαρέντας ἕρπητας.] Λιθαργύρου ∠ιβ', ψιμυθίου, κηροῦ ἀνὰ ∠η', λιβάνου ∠β', σχιστῆς ∠α'· οἴνῳ καὶ μυρσινίνῳ.

ρϛ'. Περὶ ἀνθράκων.

Ἄνθρακες γίνονται ὡς ἐπίπαν ἐκ μελαγχολικοῦ χυμοῦ, θεραπευτέον δὲ τοῖς ἐπισπαστικοῖς φαρμάκοις· ἐξόχως δὲ ϖοιεῖ ϖρὸς τούτους ἡ διὰ νίτρου, ἔστι δὲ αὕτη. Νίτρον καὶ ϖήγανον ἴσα σὺν ὄξει λεάνας εἰς ῥάκος ἔμπλασσε. Ἢ σίλφιον μετὰ νίτρου καὶ ϖηγάνου καὶ μέλιτος. Κατάπλασσε φακῷ μετὰ ἄρτου καὶ ἀρνογλώσσου. — Ἐκ τῶν Ἡροδότου.] Οἱ ἄνθρακες ὑπαγόμενοι κατὰ γένος τοῖς ἐξανθήμασιν ἐμφερεῖς εἰσι ταῖς ὑπὸ καυτήρων γινομέναις ἐσχάραις σὺν τῷ ϖροσέχεσθαι ταῖς βάσεσι καὶ τρόπον τινὰ ϖροσηλῶσθαι· γίνονται δὲ μετὰ νομῆς. Ἀλλὰ οἱ μὲν ϖερὶ τῇ σαρκὶ συστάντες συντόμως ϖεριγράφονται, οἱ δὲ κατὰ τῶν νεύρων ἢ τῶν ὑμένων γινόμενοι μέχρι ϖολλοῦ φέρονται καὶ κατὰ συμπάθειαν τοῖς ὑποκειμένοις κοίλοις τόποις ἀποτίθενται, καὶ οἱ μὲν ϖερὶ κεφαλὴν συστάντες τοῖς ϖρὸς τῷ τραχήλῳ μέρεσι σκληρίας ἐπιφέρουσιν, οἱ δὲ ϖερὶ τὸν τράχηλον τῷ θώρακι, ἢ νώτῳ, ἢ χερσὶν, ἢ τοῖς ϖερὶ μασχάλαις τόποις, οἱ δὲ ϖερὶ αἰδοῖα καὶ σκέλεσι καὶ τοῖς ϖερὶ τοὺς βουβῶνας. Οὐκ ὀλίγοι δὲ καὶ τὰ ϖερικείμενα μέρη εἰς διαπύησιν ἄγουσιν, ἔνθα ἢ εὐρύτερα ἢ εὐπαθέστερα ϖέφυκε τὰ νεῦρα. Ἐπιγίνονται δὲ αὐτοῖς ϖόνοι μείζονες τοῦ γενομένου μεγέθους, τισὶ δὲ καὶ ἐρυσιπέλατα ἐπιμήκη, τοῖς δὲ ϖλείστοις καὶ ϖυρετοὶ, τὰ δὲ συμπαθήσαντα μέρη, εἰ μὴ καλῶς θεραπευθείη, διαπυΐσκει. Ἐν δὲ ταῖς ἀνακαθάρσεσι ϖολλάκις ἐκ βάθους ἀπολύονται ὑμένες ἢ νεῦρα ἐμφερῶς ταῖς ἐντεριώναις. Γίνονται δὲ καὶ κατά τινας ἐπιδήμους αἰτίας κατὰ τοὺς ϖλείστους καὶ ἀπὸ ἐθῶν εἰς ἔθη μεθίστανται. — Θεραπεία ἀνθράκων.] Θεραπεία μὲν κατὰ τὰς ἀρχὰς ἀρίστη συστολὴ καὶ ἡσυχία, καὶ εἰ ϖολλοὶ καὶ μεγάλοι συνίστανται, καὶ διὰ κλυστῆρος κένωσις καὶ τροφὴ μετὰ δευτέραν

Ch. 105, l. 5. ϖηγάνου] ϖολυγόνου Aët. — 8. ϖερὶ δᾷδα Paul.; ϖερὰ δα δα X.; δαδίνῳ ξύλῳ ϖεριελιχθέντος καὶ Aët. — Ch. 106, l. 16. ϖροσέχεσθαι Aët.; ϖροσερχεσθαι X. — 17. Ἀλλὰ οἱ Aët.; Ἄλλοι X. — 18. ϖεριγράφονται] ἀπόλλυνται Aët. — 19. ϖολλοῦ] βάθους Aët. — Ib. φέρονται καί ex em.; φεροντε X.; φερόμενοι Aët. — 23. ἄγουσιν Aët.; om. X. — 27. νεῦρα Aët.; τὰ νεῦρα X.

ἢ τρίτην ἡμέραν. Κατὰ τῶν ἀνθράκων ἐπιῤῥιπτέον κεφαλικὰς κηρωτὰς ἀνιεμένας, καλή τε ἥ τε διὰ βοτανῶν καὶ ἡ διὰ νίτρου καὶ τὰ πρὸς νομὰς ξηρὰ κατὰ ἰδίαν τε καὶ μετὰ ῥοδίνου, καὶ καταπλάσματα φακὸς μετὰ μέλιτος. Τὰ δὲ ἐρυσιπελατώδη τοῖς πρὸς ἐρυσιπέλατα ἐπιχριέσθω· τὰ δὲ πρὸς τὰς συμπαθείας ὕποπτα τῶν μερῶν οἰσυπηροῖς ἐρίοις διὰ οἰνελαίου. Εἰ δὲ φθάσαιεν ἡμῶν τὴν προφυλακὴν αἱ φλεγμοναί, καταπλαστέον ἄρτῳ ἢ ὠμῇ λύσει· παρηγορηθείσης δὲ τῆς φλεγμονῆς καὶ τῆς σκληρίας ἐπιμενούσης, ἀφλεγμάντους δυνάμεις ἐπιῤῥίπτειν, ἀρίστη δὲ πασῶν ἡ λεγομένη Σαραπίωνος μηλίνη. Σπουδαστέον μέντοι ὡς ὅτι τάχιστα εἰς διαπύησιν ἄγειν τοὺς ἄνθρακας καὶ ἀποστῆσαι τῆς πρὸς τὰ παρακείμενα συναφείας, τοῦτο δὲ ἂν γίνοιτο, εἰ δὶς μὲν τῆς ἡμέρας, ἅπαξ δὲ τῆς νυκτὸς ἀλλάσσοιμεν τὰ φάρμακα καὶ τὰ καταπλάσματα, τὰς δὲ καταιονήσεις ὑπὲρ ἀπονίψεως παραληπτέον. Τὰ δὲ τοῖς συμπαθήσασι μέρεσιν ἐπιτιθέμενα ἅπαξ τῆς ἡμέρας ἐναλλασσέσθω. Τοὺς δὲ διαπυήσαντας τόπους διαιρετέον καὶ θεραπευτέον ἐμφερῶς ταῖς πολλαῖς ἀποστάσεσιν. Ἐπεὶ δὲ τὰ πλεῖστα τῶν πονηρῶν συμπτωμάτων ἔστιν ὅτε πρὸς τὰς κοινὰς ὠφελείας ἀντιβαίνει, ἀφίστασθαι μὲν δεῖ τῆς συμφώνου θεραπείας, παραγίνεσθαι δὲ ἐπὶ τὴν κοινὴν τῶν ἑλκῶν ἐπιμέλειαν. Ἔστωσαν δὲ καὶ πολλαὶ καὶ συνεχεῖς διὰ θερμοῦ καταιονήσεις, ἀνιέμεναι δὲ τετραφάρμακοι βασιλικαί, καταπλάσματα καὶ ὠμὴ λύσις καὶ κηρωταί. Ἐπὶ πάντων δὲ μετὰ τὰς τῶν ἀνθράκων ἐκπτώσεις μηδὲν ἴδιον τῇ ἐπιμελείᾳ προσφερέσθω, ἀλλὰ ὡς κοιναὶ ἑλκώσεις θεραπευέσθωσαν, ὅτε καὶ βαλανεῖα καὶ οἶνοι ἐπιτρέπονται· [ἐπιτρεπόν]των δὲ τῶν πεπονθότων μερῶν καὶ περίπατοι καὶ αἰῶραι καὶ τροφαὶ ποικίλαι λυσιτελεῖς· τὸ γὰρ τὴν ὅλην ἐξαλλάσσον θεραπείαν χωρισθὲν καταλέλοιπε τὸ σῶμα τῇ προτέρᾳ συνηθείᾳ. — Μηλίνη Σαραπίωνος.] Λιθαργύρου ∠ρ′, κηροῦ ∠ν′, κολοφωνίας ∠ν′, ἀμμωνιακοῦ ∠κε′, ἰοῦ ξυστοῦ ∠η′, χαλβάνης ∠η′· ἐγὼ καὶ σμύρνης ∠η′ ἔβαλον· ἐλαίου κοτύλ. α′ς″. — Διὰ νίτρου.] Νίτρου ὀπτοῦ Γο γ′, κηροῦ, ἐλαίου, κολοφωνίας ἀνὰ Γο α′ς″, ὀποῦ κυρηναϊκοῦ ἢ μηδικοῦ Γο γ′. Ἐπιτίθεται ἔμμοτον ἄνωθεν καὶ ξηραίνει τὴν ὑγρότητα τοῦ ἄνθρακος. Μετὰ δὲ τοῦτο ἐχρησάμην ἀκολούθως τούτῳ καὶ περιγράφων ἐξεῤῥίζου ἀπολύων αὐτὸ τῆς πρὸς τὰ παρακείμενα συναφείας· ἔστι δὲ τοιοῦτον. Ῥοιὰς ὀξείας κατασχίσας ἕψε ἐν ὄξει καὶ τακερὰς γενομένας λειοτριβήσας ἔμπλασον εἰς ὀθόνιον καὶ ἐπιτίθει· ξηραινόμενον δὲ ὑγραινέσθω τῷ ὄξει. — Πρὸς ἄνθρακας.] Σάπωνος, μέλιτος, ὀξυγγίου ἀνὰ ἴσα, ἁλῶν καὶ τέφρας ἀνὰ ἥμισυ· ἔξωθεν δὲ ἄρτῳ κατάπλασσε. — Πρὸς τοὺς ἐν τοῖς βλεφάροις ἄνθρακας.] Ὀπίου· οἱ δὲ κυτίνων· μίσυος ὀπτοῦ, ἀκακίας, λεπίδος χαλκοῦ ἀνὰ ∠β′, χαλκάνθου ∠α′, ὑοσκυάμου σπέρματος ∠δ′. Λεάνας ὕδατι χρῶ. Ποιεῖ δὲ καὶ ἡ τετραφάρμακος καλῶς ἔχουσα τὸ πέμπτον μέρος λιβάνου, ὥστε τὰ πέντε ἰσόσταθμα εἶναι. — Πρὸς τοὺς ἐν αἰδοίοις ἄνθρακας.] Χαλκίτεως ∠η′, χαλκάνθου ∠η′, ἀφρονίτρου ∠α′. Μετὰ ὕδατος λεάνας χρῶ. — Ἄλλο.] Κόπρος προβατεία μετὰ μέλιτος ποιεῖ. — Ἄνθρακας ἐκπυΐσκον.] Ὑγρὰ πίσσα σὺν σταφίδι καὶ ὑείῳ στέατι, καρύου βασιλικοῦ παλαιοῦ τε καὶ τοῦ μὴ παλαιοῦ τὸ βιβρωσκόμενον,

20. [ἐπιτρεπόν]των ex em.; τῶν X. — 27. ἀκολ. τοῦτο καὶ περιγράφον ἐξερίζου ἀπὸ λυουαυτο X. — 38. παλαιοῦ τε ex em. παλαῖ τε X. Conf. Paul.

ὀπὸς σιλφίου μετὰ πηγάνου καὶ μίσυος καὶ μέλιτος. — Πρὸς ἄνθρακας καὶ γαγγραίνας, παλαιά τε ἕλκη καὶ χειρώνεια.] Λιθαργύρου ϗ α', ἐλαίου παλαιοῦ ϗ α' s'', ἀρσενικοῦ Γο α'. Ἕψε ἔλαιον, λιθάργυρον, ἀμόλυντον δὲ ἐπάρας ἐπίβαλλε αὐτὸ τὸ ἀρσενικὸν, καὶ πάλιν ἕψε ἕως μέλαν γένηται, εἶτα ἐπιβαλὼν αὐτὸ ἐν θυίᾳ διὰ δοίδυκος μάλασσε, χρῶ δὲ ἀνιεὶς διὰ ἐλαίου ἐμμότῳ ἐπὶ χοιράδων, παρωτίδων, ποδάγρας, ἀνθράκων· δαιμονίως γὰρ ποιεῖ ἐπὶ ἀνθράκων. — Πάγχρηστον.] Χαλκίτεως, μίσυος ὠμῶν ἀνὰ ∠ ι', λεπίδος σιδήρου ∠ η', κηκίδων ὀμφακιτίδων ∠ δ'. — Τὸ διὰ ὀξυμέλιτος κοράκιον.] Ἐλαίου ὀμφακίνου ἢ μυρσινίνου Γο ι', ταυρείου στέατος Γο η', κηροῦ Γο δ', τερεβινθίνης Γο α', κηκῖδος Γο β', λεπίδος χαλκοῦ Γο α' s'', χαλκίτεως Γο α', λιβανωτοῦ Γο α'. Τὰ μὲν ξηρὰ ὄξει λεάνας ἐπὶ πολλὰς ἡμέρας ὕστερον μῖξον μέλιτος κυάθους β' ἢ Γο ε', καὶ ἀναλάμβανε κηρωτῇ. Ποιεῖ πρὸς πάσας μὲν νομὰς, ἰδίως δὲ τὰς ξηροτέρας, καὶ ὅπου νεῦρα γυμνὰ φαίνεται, κεραννύμενον δὲ κηρωτῇ ἴσῃ μὲν καθαίρει, πλείονι δὲ κατουλοῖ. — Πρὸς νομὰς καὶ σηπεδόνας τροχίσκος ὁ Ἀσκληπιός.] Κηκῖδος ∠ η', κυτίνων, ἀριστολοχίας στρογγύλης, χαλκίτεως, καδμείας ἀνὰ ∠ ϛ', ἴρεως ∠ δ', λεπίδος ∠ δ', μίσυος, χαλκάνθου, σχιστῆς, λιβάνου, νίτρου ἀνὰ ∠ γ'. Λεῖου ὄξει ἐπὶ ἱκανὰς ἡμέρας καὶ ποίει τροχίσκους κ', πρὸς δὲ τὴν χρείαν ἢ ὀξυμέλιτι, ἢ κηρῷ ἀνιείς. — Πρὸς τὰ νεμόμενα καὶ τὰ ἐν στόματι καὶ πρὸς θύμους, μυρμηκίας, ἀκροχορδόνας· ἔστι δὲ καὶ σηπτόν.] Λεπίδος Γο β', σχιστῆς Γο α', χαλκίτεως, μίσυος ὠμοῦ ἀνὰ ∠ δ'. Ξηρῷ ἐπίπασον.

ρζ'. Πρὸς κατακαύματα.

Κατακαύματα ὥστε μὴ φλυκταινοῦσθαι. Ἄλφιτον φυράσας οἴνῳ ἀπαραχύτῳ κατάπλασον, ἢ φακῷ ἑφθῷ ἐν οἴνῳ. — Προκαταληπτικόν.] Στυπτηρίας, λιβανωτοῦ ἴσα μετὰ ὄξους κατάχριε. Κιμωλίαν μετὰ οἴνου ἢ ὄξους κατάχριε. — Τὸ σφαιρίον, κατακαύμασιν, ἐρυσιπέλασιν.] Ἀσβέστου ζώσης, ψιμυθίου, λιθαργύρου ἀνὰ Γο γ', κηροῦ Γο δ', βερενικαρίου νίτρου Γο α', ῥοδίνου ϗ α'. Τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, ἐπὶ δὲ τῆς χρείας τῆκε κηροῦ Γο β', ῥοδίνου Γο ϛ', ἀφελὼν δὲ τοῦ πυρὸς τὴν κηρωτὴν ἐπίβαλλε σφαιρίον ἄγον Γο α' πεπλατυσμένον, καὶ σπαθίζων διάλυσον, ψυγέντι δὲ ἐπίῤῥαινε κατὰ ὀλίγον ὕδατος Γο θ' ἀνακόπτων εὐτόνως. — Κατακαύμασιν.] Κρίνου ῥίζαι λειωθεῖσαι ἀναλαμβάνονται κηρωτῇ ῥοδίνῃ ἢ μυρσινίνῃ.

ρη'. Σηπταὶ καυστικαί.

Σηπτὴ ἱκανῶς ἄδηκτος.] Λεπίδος χαλκοῦ ∠ δ', σανδαράκης ∠ δ', ἐλλεβόρου μέλανος ∠ δ'· μετὰ ῥοδίνου χρῶ. Ἔνιοι ἐλλεβόρου ∠ α' καὶ ἀρσενικοῦ ∠ α', καὶ ἔστι κρεῖσσον· τινὲς ἀντὶ ἀρσενικοῦ σχιστῆς. — Σηπτὴ ἱκανῶς ἄδηκτος, καὶ κατὰ βάθος ἐσχαροῦσα.] Λεπίδος, σανδαράκης ἀνὰ ∠ γ', ἐλλεβόρου μέλανος ∠ α'. Ἐπὶ μὲν τῶν καθύ-

2. τε Aët.; om. X. — 4. διὰ δοίδυκος conj.; δίδυκος X. — 7. ὀμφακίδων X. — 12. ἀνακαθαίρει τὰ ῥυπαρά Aët. — Ch. 107, l. 24. νίτρου Γο α' Aët.; om. X, Paul.

γρων ἐλαιῶν ξηρῷ χρῶ, ἐπὶ δὲ τῶν ἄλλων ῥοδίνῳ ἀναλαβών. — Σηπτὴ χοιράδων.] Σχισῆς ∠δ', σανδαράκης ∠δ', λεπίδος χαλκοῦ ∠β', ἀρσενικοῦ ∠α'. Ὃ βούλῃ σῆψαι ξηρῷ κατάπασσε· εἰ δὲ χοιράδας ἀναιρεῖν ἢ καρκινώματα βούλῃ, ῥοδίνῳ φυράσας δὶς τῆς ἡμέρας θεράπευε.

ρθ'. Περὶ χιμέθλων.

Χιμέθλων κηρωτὴ ἐν ᾗ σκόροδα ἐφρύγη. — Ἄλλο.] Στυπτηρίαν λεάνας ἐν οἴνῳ καὶ ῥοδίνῳ ἐπίχριε. — Ἐπὶ τῶν ἡλκωμένων χιμέθλων.] Λιβάνου, σχισῆς, μίλτου, ῥητίνης ἴσα. Στέατι ὑείῳ ἀνιεὶς χρῶ. — Ἄλλο.] Μυελῷ βοείῳ ὀλίγον πηγάνου μίξας χρῶ. — Πρὸς ἡλκωμένας.] Στυπτηρίας σχισῆς ∠ι', λιθαργύρου ∠δ', σμύρνης ∠α', ᾠῶν β' τὰ λευκά· οἴνῳ καὶ ἐλαίῳ συλλεάνας. — Παύλου τοῦ ἡμετέρου χιμέθλαις.] Ὑοσκυάμου χυλῷ ἐπίχριε συνεχῶς· αὐθημερὸν ἀφλεγμάντους καὶ ἀπόνους ποιεῖ. Μάννην, θεῖον ἄπυρον· σὺν μέλιτι ἑφθῷ χρῶ. — Πρὸς τὰς ἡλκωμένας ἐξαφάρμακον.] Ἐλαίου, ταυρείου στέατος, ὑοσκυάμου χυλοῦ, λιθαργύρου, μέλιτος ἴσα, κολοφωνίας δὲ τὸ ἥμισυ.

ρι'. Πρὸς παρωνυχίας.

Ἀρσενικὸν καὶ μάνναν ἴσα ἐπίπασσε, ἄνωθεν δὲ μότον καὶ σπόγγον διὰ οἴνου καὶ πανακίου. — Ἑρμογένους.] Φησὶ πρὸς πτερύγια καὶ τὰ ἐπὶ τῶν δακτύλων σηπόμενα καὶ πρὸς αἰδοίων ἕλκη. Λιβανωτοῦ ∠δ', λεπίδος ∠β', ἰοῦ ξυστοῦ ∠α', μέλιτος κύαθος α'. Τρίβε ἐν ἡλίῳ ἕως ὑπόξανθον γένηται, προκαταιονήσας δὲ τὸν τόπον οἴνῳ ἀπαραχύτῳ θερμῷ κατάχριε τὸ φάρμακον, ἄνωθεν δὲ σπληνίον ἐξ ὕδατος καὶ σπόγγον ἐπιτίθει. Τούτῳ χρησάμενος εὐηρέστησα. — Ἄλλο.] Στυπτηρία ὑγρὰ κεκαυμένη ἀναληφθεῖσα μέλιτι. — Ἄλλο.] Ἰοῦ, χαλκάνθου μετὰ ἴσου λιβανωτοῦ.

ρια'. — Ἄλλο πρὸς πτερύγια.

Συντόμως ξηραῖνον καὶ θεραπεῦον.] Σώρεως, λιβάνου ἀνὰ ∠β', ἰοῦ ∠α', μέλιτος ἴσον. Συλλεάνας ἐπὶ αὐτὸ τὸ πτερύγιον ἐπιτίθει. Ποιεῖ δὲ καὶ πρὸς τὰς λοιπὰς ἐπὶ τῶν τόπων τούτων κακοηθείας καὶ μελανίας καὶ σηπεδόνας. — Ἄλλο.] Περιστερᾶς κόπρον μετὰ πάλης ἀλφίτου ἐν γλυκεῖ ἑψήσας καὶ συλλεάνας θερμὸν ἐπιτίθει. — Πρὸς παρωνυχίας.] Κατάχριε διὰ ὕδατος ἢ οἴνου τῷ Ἥρᾳ ἢ τῷ Μούσα, ἡ παρωνυχία δὲ ἀπόστημά ἐστι παρὰ τὴν ῥίζαν τοῦ ὄνυχος. Κατάπλασσε αὐτὴν φοίνιξι λείοις μετὰ οἴνου.

ριβ'. Πρὸς λεπροὺς ὄνυχας.

Λεπροὺς ὄνυχας ἀφίστησι προπόλεως, κηροῦ, ἀσφάλτου ἀνὰ ∠β', θείου ἀπύρου ∠α'. Ἐλαίῳ μὴ μολυνέσθω, ἐν δὲ τῇ χρήσει θερμανθὲν ἐν ἡλίῳ ἢ χαλκῷ ἀγγείῳ ἐν ὕδατι θερμῷ περιπλάσσεται τοῖς ὄνυξιν. — Ἄλλο ἀφιστῶν λεπροὺς ὄνυχας.] Ἀσφαλ-

Ch. 110, l. 14. *καί* après *οἴνου* Paul.; om. X

του ∠β', ἀρσενικοῦ, σανδαράκης, θείου ἀπύρου ἀνὰ ∠α'. Ἀναλαϐὼν ῥητίνῃ χρῶ, καὶ ἐπίλυε διὰ ἑπτὰ ἡμερῶν· ὅταν δὲ ἐκπέσῃ ὁ ὄνυξ, κηρωτὴν μυρσινίνην ἐπιτίθει ὀλίγον ἔχουσαν τοῦ Φαρμάκου. — Πρὸς λεπροὺς ὄνυχας.] Ἀρσενικοῦ ∠β', σανδαράκης ∠α'. Τερεϐινθίνῃ ἀναλαϐὼν χρῶ. Σταφίδα ἀγρίαν μετὰ ὄξους λειάνας ἐπιτίθει.

ριγ'. Πρὸς ῥαγάδας πελμάτων καὶ πτερνῶν.

Ἡ ἀνθηρά.] Λιϐάνου, ἀσϐέσΊου ζώσης ἀνὰ ∠δ', ψιμυθίου ∠β', κηροῦ ∠γ', χοιρείας πιμελῆς προσφάτου ∠ζ', κολοφωνίας ∠θ', χυλοῦ λινοσπέρμου κυ. α' ἢ ∠ιβ', ἐλαίου γλυκέος ∠μ'. Λεάνας τὴν ἄσϐεσΊον καὶ τὸ ψιμύθιον σὺν τῷ χυλῷ τοῦ λινοσπέρμου ἀναξύσας τὴν κηρωτὴν σὺν τῷ χυλῷ τοῦ λινοσπέρμου μίσγε. Ἁπαλὸν ἐργάζεται τὸ πέλμα ὡς οὐδὲν ἕτερον. — Ῥαγάσιν.] Λιθαργύρου, σΊέατος ὑείου, κηροῦ ἀνὰ ∠α', ᾠῶν λεκίθους δ', ἐλαίου κυ. β'· τινὲς δὲ καὶ μυρσίνην. — Ῥαγάσιν.] Ἀμόργης, μέλιτος ἀπηΦρισμένου ἀνὰ ∠β', σΊυπτηρίας Φορίμης ∠α'. Τὰ αὐτὰ ποιεῖ, ἐκ περισσοῦ δὲ καὶ οὖλα καθαίρει καὶ κρατύνει ὀδόντας. — Ῥαγάσι ποιεῖ δὲ καὶ τοῦτο.] Κηροῦ, μέλιτος, ἐλαίου ἀνὰ Γο γ', λιθαργύρου Γο α'. Ἕψε τὴν λιθάργυρον μετὰ τοῦ ἐλαίου, εἶτα ἐπίϐαλλε κηρόν· τακέντος δὲ τὸ μέλι, καὶ δὸς ζέματα ὡς κυκλεῦσαι τὸ σπαθίον ἑκατοντάκις· ἐπάρας χρῶ.

ριδ'. Πρὸς ἥλους ἐν πέλματι.

Προπεριξύσας καὶ περικαθάρας τὸν τόπον ὀπὸν κυρηναϊκὸν μάλισΊα καὶ νίτρον σύκῳ ἀναλαϐὼν ἐπίθες. — Ἄλλο.] Ὀρνιθείᾳ ἀΦόδῳ μετὰ μέλιτος τοὺς ἥλους προπερικαθάραντες ἐπιτιθέναι μίαν τῶν σηπτῶν, ἰὸν ξυσΊὸν, ἢ σανδαράκην, ἢ συριγγιακὸν κολλύριον ἀντὶ κόμμεως ἀμμωνιακῷ ἀναληΦθέν. ἈΦαιροῦνται δὲ οἱ ἧλοι πλείονι χρόνῳ, κἂν τὸ ὑπερέχον τοῦ ἥλου συνεχῶς τις ἀποξύῃ σμιλίῳ. Καὶ κίσηρις δὲ παρατριϐομένη ἀΦαιρεῖ χρόνῳ τοὺς ἥλους· καὶ ἐπισπασΊικαὶ δέ· χαλϐάνη ἰξοῦ προσλαμϐάνουσα ἥλους καὶ τύλους ἀΦαιρεῖ προπερικαθαρθέντας, προσπερικειμένου τοῖς κύκλῳ τόποις σΊέατος καὶ κηροῦ, ἢ ἐμπλάσΊρου τινὸς ἐχεκόλλου, σμαρίδος ταριχηρᾶς κεΦαλὴ κεκαυμένη, ἰτέας Φλοιὸς πρόσΦατος καυθεὶς καὶ λεανθεὶς μετὰ ὄξους, λάδανον μετὰ ὀλίγου κασΊορίου, μελάνθιον μετὰ οὔρου, σαύρας κεΦαλὴ λεία, ἀμμωνιακὸν μαλαχθὲν, ἄλευρον κρίθινον μετὰ ὄξους. — Ἄλλο καὶ πρὸς λειχῆνας.] Ἀμμωνιακοῦ θυμιάματος, ὀροϐίνου ἀλεύρου καὶ θερμίνου ἴσα.

ριε'. Πρὸς θύμους, μυρμηκίας, ἀκροχορδόνας.

Τρυγὸς κεκαυμένης, ἀσϐέσΊου ζώσης, ἰοῦ ξυσΊοῦ ἴσα. ἈΦαιρεῖ παραχρῆμα· ὅταν δὲ ἐκπέσῃ, ὡς κοινὸν ἕλκος θεράπευε. — Ἄλλο.] Στυπτηρίας, μίσυος, χαλκίτεως, θείου ἀπύρου ἴσα λεάνας μετὰ ὄξους καὶ βραχὺ μέλιτος μίξας ἐπίχριε. — Ἄλλο.] Ὀπὸν κυρηναϊκὸν μαλάξας ἐπιτίθει. — Ἄλλο τὸ ἡλιοκαές.] ἈσϐέσΊου μέρη β', ἀρσενικοῦ μέρος α'· προγέγραπται. Ποιεῖ πρὸς θύμους, μυρμηκίας, ἀκροχορδόνας, πτερύγια, δακτύλων τύλους, νομὰς καὶ ἐπουλίδας. — Ἄλλο.] Βατράχιον ἐπὶ ὀλίγον μέρος

ὕρας, ἢ σαξίφραγου κατάπλασσε.— Πρὸς θύμους ἐν αἰδοίῳ.] Θερμῷ οἴνῳ ἀποπλύνας ἀλόην λείαν ἔμπλασσε, ἄνωθεν σπόγγον ἐπιτίθει. Ἄνευ ἑλκώσεως ἀποπίπτουσιν. — Μυρμηκίας.] Νίτρου ἀφρὸν μετὰ οὔρου ἀφθόρου ἐπίχριε· ταχέως δὲ ἀπόψα καὶ συνεχῶς κατάχριε. Βόλβιτα ἀγελαίας ἐν ὄξει ἑψήσας κατάπλασσε. — Θύμους, μυρμηκίας, ἀκροχορδόνας.] Ἐλατήριον μετὰ ἁλῶν ἐπιτεθὲν, λιβανωτὸς μετὰ ὄξους, ὄλυνθοι μετὰ ὄξους καὶ νίτρου καὶ ἀλεύρου, ὀπὸς συκῆς ἐπιχριόμενος, τιθυμάλλου ὀπὸς ὁμοίως, ὠκίμου φύλλα μετὰ χαλκάνθου, κληματίδων χλωρῶν καιομένων τὸ ἀποστάζον, ἡλιοτροπίου καρπὸς σὺν οἴνῳ καταπλασσόμενος, πήγανον σὺν νίτρῳ καὶ πεπέρει, δαύκου ῥίζα καταπλασσομένη. Ὁ δὲ Δουλκήτιός φησι φάβα ἠριγμένον ῥασιθὲν καὶ ἐπιτεθέν.

ρις'. Πρὸς τὰ μετὰ κνησμοῦ ἐξανθήματα.

Διφρυγὲς μετὰ ὄξους καταχριόμενον, συκαμίνου ῥίζα μετὰ ὄξους, μολίβδαινα μετὰ ὄξους, μίσυ μετὰ ῥοδίνου, αἰγῶν ὄπλα κεκαυμένα μετὰ ὄξους, πήγανον μετὰ ἁλῶν καὶ ἐλαίου, ψιμύθιον σὺν λιθαργύρῳ καὶ ὄξει, δαφνίδων πίεσμα, μύρτα σὺν κηρωτῇ μυρσινίνῃ, κισσοῦ φύλλα ἐν οἴνῳ ἑφθὰ, νίτρον μετὰ θείου ἀπύρου καὶ τρυγὸς σμώμενον. — Ἄλλο.] Καταχριστέον αὐτοὺς ἔξωθεν ἐπιχρίστοις, σταφίδι ἀγρίᾳ μετὰ ὄξους καὶ μυρσινίνου ἢ σχινίνου ἢ ῥοδίνου ἢ μηλίνου, ἢ νίτρῳ, ἢ ἀλκυονίῳ, ἢ μάννῃ, ἢ θείῳ, ἢ ἐλλεβόρῳ, ἢ κιμωλίᾳ κεκαυμένῃ, ἢ στυπτηρίᾳ ὑγρᾷ, ἢ ἀλεύρῳ κυαμίνῳ, ἢ σησάμῳ. Ἢ δάφνης τοὺς ἁπαλωτάτους ἀκρέμονας λειοτριβήσας μετὰ ὀλίγου ὄξους ἐν ἡλίῳ μέχρι τοῦ ὑπερπαγῆναι. Πρὸς δὲ τὰς τῶν κνησμῶν ἐπείξεις πυριατέον ὠμολίνοις ἢ φακωτοῖς πυριατηρίοις ἐξ ὕδατος ζεστοῦ. Τούτοις δὲ πᾶσι χρηστέον κἂν μὴ ἐπὶ διαλειπόντων γένηται πυρετῶν τὰ ἐξανθήματα σὺν κνησμῷ. — Πρὸς τοὺς δίχα ἐξανθημάτων κνησμούς.] Γίνονται δὲ καὶ χωρὶς ἐξανθημάτων κνησμοὶ, ἐπὶ ὧν εἰ μὲν νέοι καὶ πολύαιμοι τυγχάνοιεν, φλεβοτομείσθωσαν μετὰ ἐπαφαιρέσεως, καὶ καθαρτικοῖς ὑπακτέον τὴν κοιλίαν· εἰ δὲ ἐπιμένοιεν, καὶ ἐκ δευτέρου καὶ τρίτου καθαρτέον. Τὸν δὲ λοιπὸν τῆς θεραπείας τρόπον διά τε αἰώρας καὶ γυμνασίων ἀφιδρώσεών τε καὶ βαλανείων προσακτέον· λούοντες δὲ χρησόμεθα τούτοις. Μέλιτος μέρη δύο, στυπτηρίας ὑγρᾶς μέρος ἕν. Ἕψε μέχρι ποσῆς μεταβολῆς καὶ χρῶ πρότερον ἐν ἡλίῳ, εἶτα ἐν βαλανείῳ, ἢ ἐν τῇ τοῦ βαλανείου προστάδι. Ἐνίκμους δὲ πρὸς ὀλίγον γενομένους ἐμπλαστέον θείῳ ἀπύρῳ μετὰ λιβανωτοῦ καὶ νίτρου καὶ κόμμεως. Πρὸς δὲ τὸ ὑποφέρειν τοὺς κνησμοὺς δραστικώτατον τοῦτο. Λαπάθου ἀγρίου ῥίζας κόψας λειοτρίβησον μετὰ ὄξους καὶ συνάλειφε ἐν ἡλίῳ μέχρι τοῦ φοινιχθῆναι, εἶτα λοῦε. Εἰ δὲ μὴ εἴη ἥλιος, ἐν τῇ τοῦ βαλανείου προστάδι συνάλειφε. Τοῦτο ἐπὶ τῶν ψωρωδῶν καὶ λεπρωδῶν εὐδοκιμεῖν ἐγνώκαμεν. — Κνησμονὰς ἀπαλλάσσον.] Κυπρίνου ξα', κηροῦ Γο α', θείου ἀπύρου Γο α'. Λεανθὲν τὸ θεῖον εὖ μάλα ἀναμίγνυται τῇ κηρωτῇ· ἐξ αὐτοῦ συμμέτρως ὡς ἄκοπον περιαλείφεται. Μετὰ δὲ τὸ λουτρὸν γλήχων μετὰ λιβανωτοῦ συλλειοῦται οἴνῳ καὶ ἐλαίῳ. Χλιαρὸν δὲ συγχρίεται, ἢ σανδαράκη ὀλίγη σὺν αὐτοῖς, ἢ σταφὶς ἀγρία μετὰ ἐλαίου, ἢ μολίβδαινα ἐν ὑποστάθμῃ ἰρίνου. Ἁρμόζει δὲ συνεχέστε-

Ch. 116, l. 16. μύρτα] πήγανον X. — 22: εἶτα ex em.; εἶτε X.

ρον, καὶ ὅτε μὴ ἐνοχλοίη ὁ κνησμὸς, κιμωλίᾳ οἴνῳ βεβρεγμένῃ ἀποσμήχεσθαι μετὰ ὀλίγης μυροβαλάνου λεανθείσης ἐν οἴνῳ καὶ προσλαβούσης ὀλίγον νίτρου. Μυρίκης δὲ φύλλων ἀφεψήματι ἢ ἐλελισφάκου, ἢ λινοζώσΊεως καταιονᾷν. Ὅτε δὲ ἐνεστήκοι ὁ κνησμὸς, πτισάνης χυλὸς χρησιμώτατος κατὰ αὐτόν τε καὶ ὀλίγον ὄξους προσλαβών· εἰ δὲ ἐπιτεταμένη εἴη ὄχλησις, καὶ σταφίδος ἀγρίας λείας. Ἡ δὲ κοιλία διὰ ἀλόης καταποτίων εὔλυτος ἔσΊω.

ριζ'. Σμῆγμα ψωρικὸν ποιοῦν καὶ πρὸς ἱδρωτάρια.

Νίτρου κεκαυμένου ℔ α', ἀφρονίτρου κεκαυμένου ℔ α', φακοῦ ἀλεύρου Γο β', ἐλλεβόρου μέλανος, σαμψύχου, δαφνίδων, πυρέθρου ἀνὰ Γο β'. Λείοις χρῶ μετὰ οἴνου ἀναληλιφὼς ἐν βαλανείῳ πρὶν εἰσελθεῖν.

ριη'. Περὶ λυσσοδήκτων.

Λυσσοδήκτοις ἔμπλασΊρος.] Πίσσης ℔ α', ὄξους δριμυτάτου κο. β', ὀποπάνακος Γο γ'. Ἕψεται ἡ πίσσα σὺν τῷ ὄξει, ἕως τὸ ὄξος ἀναλωθῇ, καὶ καταχεῖται ὁ ὀποπάναξ λειοτριβηθεὶς σὺν ὀλίγῳ ὄξει. Τοῦτο οὐκ ἐᾷ συνουλῶσαι τὸ ἕλκος τοῦ λυσσοδήκτου, ἐπιτήδειον δέ ἐσΊι καὶ τοῖς νεῦρα νενυγμένοις. Εἰ δὲ τρυφερόχρωτός ἐσΊιν ὁ πεπονθὼς, ἀνίεται τὸ φάρμακον ἰρίνῳ, ἢ κομμαγηνῷ, ἢ ἀμαρακίνῳ, ἢ ῥαφανίνῳ. Λυσσοδήκτων προπυριάσας τὰ ἕλκη σκορόδῳ κατάπλασσε· πεσούσης δὲ τῆς ἐσχάρας τῷ εἰρημένῳ φαρμάκῳ θεράπευε, οἷον καρύοις βασιλικοῖς κατάπλασσε λειοτριβήσας ἐπιμελῶς. Τῇ δὲ ἑξῆς ἐπιλύσας παράθες βρῶσιν ἀλεκτορίδι, καὶ τὰ μὲν πρῶτα οὐχ ἅψεται· εἰ δὲ ὑπὸ λιμοῦ βίας φάγοι, τελευτήσει. Τῇ δὲ ἐπιούσῃ καὶ ταῖς ἑξῆς ἡμέραις ὡσαύτως ποίει. Ὅταν δὲ ἡ φαγοῦσα ὄρνις μὴ ἀποθάνῃ, τότε εἰς οὐλὴν ἄγε τὸ ἕλκος, ὡς ἀπαλλαγέντος τοῦ κινδύνου τοῦ πάσχοντος. Χρῶ δὲ καὶ εἰς διάγνωσιν τῷ αὐτῷ· εἰ γὰρ τὸ φαγὸν ὀρνύφιον ἐκ πρώτης μὴ ἀποθάνοι, γίνωσκε μὴ ὑπὸ λυσσῶντος δεδῆχθαι· εἰ δὲ θάνοι, τοὐναντίον. — Ξηρίον πρὸς τὰ λυσσόδηκτα.] Ἁλῶν ὀρυκτῶν ∠κ', χαλκίτεως ∠ις', σκίλλης ∠ις', πηγάνου χλωροῦ ∠δ', ἰοῦ ∠δ', πρασίου σπέρματος ∠α'. Ἀποτίθεται ἐν πυξίδι χαλκῇ. Χρῶ πρῶτον ξηρῷ ἵνα ἐκπυήσῃ καὶ ἐσχαρωθῇ, εἶτα μετὰ ῥοδίνου ἵνα ἐκπέσωσιν αἱ ἐσχάραι. Φυλασσέσθω δὲ ἀκατούλωτα τὰ ἕλκη ἐπὶ ἡμέρας μβ'. — Λυσσοδήκτοις ποτόν.] Καρκίνων ποταμίων ἐπὶ κληματίδων λευκῆς ἀμπέλου καυθέντων ἡ σποδιὰ ἀποκείσθω· ἀποκείσθω δὲ καὶ γεντιανῆς λείας ἱκανόν· δίδου δὲ τῷ δηχθέντι, εἰ τέλειος εἴη τὴν ἡλικίαν, τῆς μὲν τῶν καρκίνων σποδοῦ μύσΊρον ἓν, δύο δὲ μύσΊρα τῆς γεντιανῆς μετὰ οἴνου ἀκράτου παλαιοῦ κυ. γ', καὶ οὕτως ἐπὶ ἡμέρας γ' πότιζε. Εἰ δέ τις δηχθεὶς μὴ εὐθέως ποτισθείη, εἰ μὲν δευτεραῖος εἴη, λαμβανέτω διπλῆν τὴν πόσιν, τῶν μὲν καρκίνων μύσΊρα β', τῆς δὲ γεντιανῆς δ'. Εἰ δὲ τριταῖος ὢν μὴ πεπώκοι, πρότερον λαμβανέτω τῶν μὲν καρκίνων μύσΊρα τρία,

4. ὄξος X. — Ch. 117, l. 7. φακῆς X. — 9. ἀνηλιφὼς X. — Ch. 118, l. 20. τὸν πάσχοντα X. — 28-29. μύσΊρον ἓν] κοχλιάρια β' marg.

γεντιανῆς δὲ μύσῖρα ϛ', καὶ οἶνον ἄκρατον ἀναλόγως. Πληρωθείσης δὲ τῆς ἐν ταῖς τρισὶν ἡμέραις ἐπιμελείας, ἄλλων γ' ἡμερῶν δοτέον ἑκάσῖη μύσῖρον μὲν τῆς τῶν καρκίνων σποδοῦ, ὡς προείρηται δὲ τῆς γεντιανῆς. — Ἄλλο.] Πέρδικος αἷμα μικτέον κοχλιάρια β' μετὰ τῆς προειρημένης σποδιᾶς καὶ ποτισῖέον· οἱ δὲ καρκίνοι λαμβανέσθωσαν αὐξανομένης σελήνης πρὶν ἥλιος ἀνίσχει. — Κοινὴ θεραπεία λυσσοδήκτων καὶ τῶν λοιπῶν θηριοδήκτων καὶ ἑρπετοδήκτων.] Σικυάζειν δεῖ τὰ δεδηγμένα μέρη σὺν πολλῇ φλογὶ κατασχάζοντα καὶ τοὺς πλησίον τόπους· ἀντισπᾶται γὰρ ἅμα τῇ τοῦ πνεύματος ὁλκῇ σὺν τῷ αἵματι ὁ ἰός· ἐπιφλέγειν τε καὶ ἐσχαροῦν τὰ ἡλκωμένα, εἶτα αἷμα διὰ φλεβοτομίας ἀφελόντα διδόναι μετὰ τῶν σιτίων ἐσθίειν πέπερι, σκόροδον, οἶνόν τε πίνειν ἐπιτεταμένον τῇ κράσει νεαρὸν ἀτμῶν καὶ συμφύτου θερμασίας πληροῦντα τὸ σύγκριμα. — Καταπλάσματα λυσσοδήκτων καὶ τῶν λοιπῶν θηριοδήκτων τηροῦντα ἐπὶ πολὺ τὸ δῆγμα ἀκατούλωτον.] Σκόροδα, κνίδης φύλλα μετὰ ἁλῶν ἢ μέλιτος, κρόμμυον μετὰ ἁλῶν καὶ πηγάνου, τέφρα κλημάτων μετὰ ἐλαίου, ἢ σκόρδιον, κοφοξυλέας φύλλα μετὰ ἁλῶν, ἡδύοσμον ὁμοίως, μυάκων σὰρξ, πήγανον μετὰ ὄξους, ὀρόβινον μετὰ μέλιτος, σικύου ἡμέρου φύλλα μετὰ οἴνου, καὶ ἄλλα ὅσα οἶδε φλεγμαίνειν. — Ποτὰ λυσσοδήκτοις.] Ἱππόκαμπος θαλάσσιος ποτιζόμενος κοχλιαρίου πλῆθος ἐν ὑδρομέλιτι ἐπιθυμίαν ποτοῦ ἀποτελεῖν πεπίσῖευται ἐπὶ τῶν λυσσοδήκτων. Ἁρμόζει δὲ αὐτοῖς μάλιστα καὶ ἡ διὰ δαφνῶν ἀντίδοτος καὶ βάτραχοι ζωμευτοὶ ἐσθιόμενοι καὶ ἀρκεία χολὴ κοχλιάριον διὰ ὕδατος κυ. γ'. — Θηριακὴ ᾗ ἐχρήσατο Μάρκος ὁ καθηγητὴς λυσσοδήκτοις.] Τριφύλλου τῆς ἀσφαλτώδους σπέρματος, πηγάνου ἀγρίου, ὀροβίνου ἀλεύρου, ἀρισῖολοχίας σῖρογγύλης ἴσα. Πλάσσε τροχίσκους ἀνὰ ∠α', καὶ δίδου μετὰ οἰνελαίου ∠α'. — Ἁπλᾶ κοινὰ ποτιζόμενα.] Κοινῶς δὲ ποιεῖ ποτιζόμενα μετὰ κράματος κασῖορίου ∠α', ἢ λιβανωτίδος ∠α', ἢ βρυωνίας ῥίζα, ἢ πρασίου χυλὸς, ἢ σμύρνα, ἢ κιννάμωμον, ἢ ἀρισῖολοχία, ἢ ἄγνου σπέρμα, ἢ κυπαρίσσου σφαιρία, ἢ σέσελι, ἢ πέπερι, ἢ καρκίνοι ποτάμιοι ἑφθοὶ ἢ ὀπτοί.

ριθ'. Πρὸς ἐχεοδήκτους.

Μελίας φύλλα κόψας καὶ ἀποθλίψας δίδου τὸν χυλὸν πίνειν μετὰ οἴνου, καὶ τοῖς ἀποτεθλιμμένοις φύλλοις κατάπλασσε τὸ δῆγμα. Ἀνυτικώτατον μὲν βοήθημα ἡ σκοροδοφαγία καὶ ἀκρατοποσία ὥσῖε, εἰ ὑπομένοι τις πλείονα βρῶσιν καὶ πόσιν, ἄλλου μὴ χρῄζειν βοηθήματος. Ποιεῖ δὲ καὶ ταῦτα, ἓν ἕκασῖον μετὰ οἴνου ποτιζόμενον. Χελώνης θαλασσίας αἷμα ξηρὸν μετὰ κυμίνου ἀγρίου, πυτία λαγωοῦ, ἐλάφου αἰδοίου ἄῤῥενος ξηροῦ ∠α', ἀκάνθης λευκῆς ῥίζα, φιλεταίριον, ἀφάκης φύλλα, ἀκόρου ῥίζα, χαμαίδρυς, ἀπαρίνης χυλὸς, βρυωνίας, καὶ τῆς λευκῆς καὶ τῆς μελαίνης, ἡ ῥίζα, ἀγαρικὸν, ἄνισον, ἀσπαράγου ῥίζα, καὶ ταύτης ἀφέψημα, γεντιανῆς ῥίζης ∠β', πεπέρεως, πηγάνου, ἴρεως ἀνὰ ∠β', ἑλενίου ἀπόζεμα, ἑρπύλλου ἀπόζεμα, τριφύλλου σπέρμα, ἢ φύλλων ∠α', ὀρίγανον συριακὸν, ἠρυγγίου ῥίζα ∠α' μετὰ σῖαφυλίνου

2. ἐνεκάσῖη X. — 3. τῆς δέ X. — 11. καὶ λοιπῶν X. — Ch. 119, l. 27. Μελίας Aët.; Μελέας X. — 36. ἠρυγγίου] ἀφθασῖος X marg.

σπέρματος, καρκίνοι ποτάμιοι γάλακτι διεθέντες, καὶ θαλάττιοι· ἧττον ἐνεργοῦσιν. κέστρου φύλλων ∠β', κόστου ∠β' μετὰ πεπέρεως ὀβολῶν β', ὀριγάνου ἡρακλεωτικῆς τὸ ἀπόζεμα, κράμβης χυλὸς, κύμινον, μάλιστα τὸ ἄγριον, πυτία λαγωοῦ ἢ νεβροῦ, μυρίκης ἀπόζεμα, μαράθου σπέρμα, ἀριστολοχίας ῥίζα μετὰ σμύρνης καὶ γεντιανῆς καὶ δαφνίδων ἴσων μέλιτι ἀναληφθέντων, βάτραχοι ζωμευτοὶ ἐσθιόμενοι, ἀμπελόπρασα, βαλανοὶ δρυός. Ἐπιτίθει δὲ τῇ πληγῇ, καὶ ὠφελεῖ κἂν ἤδη ἀποθνήσκῃ, μηλέας φύλλα σὺν οἴνῳ λεῖα, ἢ τὸν χυλὸν αὐτῶν. — Ἐχεοδήκτων καταπλάσματα.] Μηλέας φύλλα, καλαμίνθη, αἰγεία ἄφοδος μετὰ ὄξους ἑφθή, ἀλεκτορίδες ζωαὶ ἀνασχισθεῖσαι καὶ θερμαὶ ἐπιτιθέμεναι καὶ συνεχῶς ἀλλασσόμεναι, τρὺξ οἴνου μετὰ πάλης ἀλφίτου καὶ ὄξους, ὀρόβινον σὺν οἴνῳ, πήγανον μετὰ ἁλῶν καὶ μέλιτος, πράσον καρτὸν, ῥαφάνου φλοιὸς μετὰ μέλιτος, σκόροδα μετὰ ὄξους, κεδρέα μετὰ ἅλατος, πίσσα ὑγρὰ ὁμοίως. — Ἀπάντλημα ἐχεοδήκτοις.] Τριφύλλου ἀφέψημα ἢ γλήχωνος, ἢ ὀξάλμη. — Ἐχεοδήκτοις ἀντίδοτος.] Ἀνίσου ὀξυβάφου πλῆθος τὸ ἥμισυ, πεπέρεως ∠δ', ἀριστολοχίας φλοιοῦ, ὀπίου, καστορίου, σμύρνης ἀνὰ ∠α'. Γλυκεῖ ἀνάπλασσε κυάμου ἑλληνικοῦ μεγέθη, καὶ δίδου πρὸς δύναμιν ἐν κράματι κυάθ. γ'. — Πρὸς ἔχεως καὶ τῶν ἄλλων δηγμάτων κατάπλασμα.] Σικύου ἀγρίου φύλλα κατάπλασσε μετὰ πάλης. Ὅταν δὲ ὕφαιμοι φλύκταιναι γένωνται, ἀποσχάζων ἔκχεε τὸ ὑγρόν. — Σκευασία αἵματος χελώνης θαλασσίας.] Χελώνης θαλασσίας αἷμα σκευαστέον οὕτως. Ἐπὶ ξυλίνου ἢ ὀστρακίνου σκεύους ὑπτίαν κατακλίνας τὴν χελώνην ταχέως αὐτῆς τὴν κεφαλὴν ἀπότεμε καὶ παγὲν τὸ αἷμα εἰς πολλὰ αὐτὸ καλάμῳ καταδίελε, καὶ πώμασον αὐτὸ μετὰ κοσκίνου καὶ ἀπόθου εἰς ἥλιον· ὅταν δὲ ξηρανθῇ, ἀνελόμενος χρῶ ἐπὶ τῶν ἐχεοδήκτων διδοὺς ∠β' μετὰ ὀξυκράτου κυ. β'. Ἢ οὕτως, ἢ β' ἡμέραν ἐχεοδήκτῳ δίδου ∠δ' τοῦ ξηροῦ αἵματος μετὰ ὄξους κυ. β', τῇ δὲ τρίτῃ ∠η' τοῦ αἵματος μετὰ ὄξους κυ. γ'. — Ἐχεοδήκτοις ἀντίδοτος.] Ἀλεύρου σιτανίου, χελώνης θαλασσίας αἵματος ξηροῦ ἀνὰ ∠α', πυτίας νεβροῦ ∠β'· εἰ δὲ μὴ παρείη, ἐρίφου πυτίας ∠δ'· κυμίνου ἀγρίου ὀξύβαφον. Οἴνῳ βελτίστῳ ἀναλαβὼν δίδου ἐλαίας μέγεθος μετὰ οἴνου κυ. γ'. Ἐὰν δὲ ἀπεμέσῃ, δίδου πάλιν τὸ ς'' τῆς δόσεως τῷ αὐτῷ οἴνῳ· ἐὰν δὲ πάλιν ἐμέσῃ, δίδου κυάμου αἰγυπτίου μέγεθος.

ρκ'. Σκορπίων καὶ φαλαγγίων καὶ σφηκῶν καὶ μελισσῶν πληξάντων.

Ἁρμόζει σὺν οἴνῳ πόματα ἀγαρικοῦ τριώβολον, ἀβρότονον, ἀείζωον, ἀλθαίας ῥίζα ∠α', χαμαίδρυος χυλὸς καὶ τὸ ἀφέψημα, γλήχωνος, ἴρεως ∠β', κυπαρίσσου σφαιρία μετὰ οἴνου, μαλάχης ἀφέψημα, καὶ αὐτὴ ἐσθιομένη, μελάνθιον καὶ ὁ χυλὸς αὐτοῦ, μύρτα, μυρίκης καρποῦ ∠α'., πηγάνου σπέρμα, τερμίνθου καρπὸς, δαφνίδες λεῖαι, σκορπίουρον, καρδάμωμον, σκόροδα ἐσθιόμενα. — Καταπλάσματα πρὸς τὰ αὐτά.] Ἅλες λεῖοι μετὰ ὄξους, βόλβιτον, ἀλθαίας φύλλα ἑφθὰ προσλαβόντα ὀλίγον ἐλαίου, ἡλιοτρόπιον τὸ σκορπίουρον, κρίνου φύλλα, φλόμος μετὰ ὄξους, χαμαίδρυς σὺν ὄξει, δάφνης φύλλα σὺν ὀλίγῳ ἐλαίῳ, τυρὸς ἁλμυρὸς, κοχλίας λεῖος σὺν τῷ ὀστράκῳ, θεῖον ἄπυρον

22. ἐχεοδήκτῳ conj.; ἐχει X.

σὺν τερεβινθίνῃ, γεντιανὴ σὺν τερεβινθίνῃ, ἄγρωσΊις. Παραχρῆμα παύει τὰς ὀδύνας αὐτὸς ὁ σκορπίος λεῖος, συκαμίνου ὀπὸς, ἢ συκῆς ὀπὸς ἐπισταζόμενος. — Ἀπάντλημα τοῖς δηγμοῖς.] Θάλασσα θερμὴ, κάθεσις τοῦ πεπονθότος τόπου εἰς ἔλαιον θερμόν. — Ποτόν.] Πότημα τῆς διὰ δαφνίδων καρύου ποντικοῦ μέγεθος μετὰ κράματος οἴνου. — Ἄλλο.] Θείου ἀπύρου ὅσον κυάμου αἰγυπτίου μέγεθος μετὰ πεπέρεως κόκκων η' ἐν οἴνου ἡμικοτυλίῳ. — Ἄλλο σκορπίων καὶ φαλαγγίων πληγαῖς.] Πυρέθρου, ἀρισΊολοχίας ἀνὰ ∠δ', πεπέρεως ∠β', ὀπῷ σιλφίου ∠α'. Ἡ δόσις κυάμου αἰγυπτίου τὸ μέγεθος. — Σκορπίων χαλεπῶν καὶ φαλαγγίων πληγαῖς.] Στύρακος, θείου ἀπύρου ∠ς', πυρέθρου ∠δ', πηγάνου ἀγρίου σπέρματος ∠γ', κασΊορίου ∠β', εὐζώμου σπέρματος ∠β'. Ἀναλαμβανέσθω αἵματι θαλασσίας χελώνης. Ἡ δόσις ὀβολοὶ δ' μετὰ οἴνου ἀκράτου κυ. γ'. Σκόροδα ἐσθιέτωσαν εἰς πλησμονήν. Σκορπίου πληγὴν παραχρῆμα ἀνοιδαίνειν ποιεῖ προβατεία κόπρος οἴνῳ ἑψηθεῖσα καὶ καταπλασθεῖσα. — Σκορπίου θαλασσίου πληγὴν ἰᾶται θεῖον ἄπυρον μετὰ ὄξους ἀνατριβόμενον, δαφνίδες τρεῖς πινόμεναι λεῖαι. — Ἀσκαλαβώτου δήγμασι σήσαμον λεῖον κατάπλασσε. — Θαλασσίου δράκοντος πληγὴν κατάπλασσε ἑρπύλλῳ ἢ φακῷ ἑφθῷ. Πότιζε ἀψινθίῳ μετὰ κράματος, ἢ ἐλελισφάκῳ, [ἢ συκῆς] κλάδων ἐν οἴνῳ γλυκεῖ ἀποβραχέντων.

ρκα'. Συγχρίσματα προφυλακτικά.

Ἀβλαβῆ ἀπὸ ἐχίδνης διαφυλάττει δρακοντίας χυλὸς συγχρισθεὶς ταῖς χερσίν· ὁμοίως καὶ ὀπὸς πευκεδάνου. — Συγχρίσματα κωλύοντα ἑρπετὰ προσιέναι.] Ἀλθαίας καρπὸς μετὰ ὀξελαίου· δαφνίδες ὁμοίως· χαλβάνη καὶ κεδρίδες σὺν ἐλαφείῳ μυελῷ ἢ σΊέατι, ὀποπάναξ σὺν ἐλαίῳ. — Πινόμενα προφυλακτικά.] Προπινόμενα δὲ ἐλάφου ἄῤῥενος αἰδοῖα ∠α' ξηρὰ λεῖα μετὰ οἴνου, ἐχίου ῥίζα, σΊαφυλίνου ἀγρίου σπέρμα μετὰ οἴνου πινόμενον. — ὙποσΊρώματα προφυλακτικά.] Ὑποστρωννύμενα δὲ ταῖς κοίταις ἄγνος, ἀβρότονον, ἔχιον, καλαμίνθη, κόνυζα, ὀρίγανον, πόλιον, ἕρπυλλον, ἀσφόδελον. — Θυμιάματα προφυλακτικά.] Θυμιώμενα προφυλακτικὰ θηρία ἀποδιώκει ἄγνου φύλλα, ἄσφαλτος, βδέλλιον, ἐλάφου κέρας, καλαμίνθιον, καρδάμωμον, χαλβάνη, κασΊόριον, κόνυζα, κυπαρίσσου ἢ κέδρου πρίσματα, γαγάτης λίθος, μελάνθιον, πευκέδανον, σαγαπηνὸν, πόλιον. Ὑπὸ μελισσῶν καὶ σφηκῶν ἀδήκτους τηρεῖ μαλάχης φύλλα μετὰ ἐλαίου συγχριόμενα.

ρκβ'. Πρὸς κώνωπας.

Κώνωπας κωλύει προσιέναι συγχριόμενον ἀψίνθιον μετὰ ἐλαίου, θυμιώμενα δὲ βόλβιτα, κόνυζα, κυπαρίσσου σφαιρία καὶ κόμη καὶ πρίσμα, μελάνθιον, ἄγνου σπέρματος, ὀριγάνου ἴσα.

ρκγ'. Περὶ ἀράχνης.

Ἀράχνης δήγματι ἄγνου σπέρμα καὶ κύμινον ἴσα λειώσας σὺν ἐλαίῳ ἐπίθες. — Θη-

16. [ἢ συκῆς] Paul.; om. X.

ριακὴ διὰ βρυωνίας πρὸς τὰ ἰοβόλα καὶ τὰ δηλητήρια, ἐχεοδήκτοις, σκορπιοπλήκτοις· ἔχει δὲ οὕτως.] Βρυωνίας ῥίζης, ὀποπάνακος, ἴρεως, λιβανωτίδος, ὀπίου, ζιγγιβέρεως ἀνὰ ∠δ', ἀριστολοχίας ∠ε', λιβάνου, πηγάνου ἀγρίου σπέρματος ἀνὰ ∠ϛ', κυμίνου ἀγρίου ∠γ', ὀροβίνου ἀλεύρου ∠ιϛ'. Οἴνῳ πλάσσε τροχίσκους καὶ δίδου τριώβολον μετὰ οἴνου. — Ἔμπλαστρος ἐχεοδήκτοις.] Κηροῦ, πίσσης, ταυρείου στέατος, ῥητίνης, ἀμμωνιακοῦ θυμιάματος ἴσα, ἔξωθεν δὲ σπόγγον σὺν ὄξει ἐπιτίθει.

ρκδ'. Περὶ δηλητηρίων.

Ζῷα μέν ἐστι φθαρτικὰ κανθαρὶς, βούπρηστις, σαλάμανδρα, πιτυοκάμπη, φρύνος, λαγωὸς θαλάσσιος, ἕλειος ἄφωνος βάτραχος, βδέλλαι· σπέρματα δὲ ὑοσκύαμος, κώνειον, κόριον, μελάνθιον, ψύλλιον· ὀπίσματα δὲ μηκώνειον, θαψίας χυλὸς, ὀποκάρπασον, ἐλατήριον, μανδραγόρας· ῥιζῶν θαψία, ἀκόνιτον, ἰξίας, ἐλλέβορος μέλας, ἀγαρικὸν, ἐφήμερον ὃ ἔνιοι κολχικὸν καλοῦσιν· λαχάνων σμῖλαξ, στρύχνον μανικὸν ὃ καὶ δορύκνιον καλεῖται, ἥ τε σαρδώνιος, εἶδος οὖσα βατραχίου, μήκων κερατῖτις, πήγανον ἄγριον, μύκητες· ἀπὸ ζῴων αἷμα ταύρου ἔτι ἔνθερμον, γάλα ἐμπυτιασθὲν, τὸ ἐν Ἡρακλείᾳ μέλι· μεταλλικὰ δὲ γύψος, ψιμύθιον, τίτανος, ἀρσενικὸν, σανδαράκη, λιθάργυρος, ὑδράργυρος· τῶν δὲ συμφύλων ἡμῖν οἶνος ἀθρόος ἢ πολὺς ἀπὸ βαλανείου ποθεὶς, οἶνος γλυκὺς ὁμοίως, ὕδωρ ψυχρὸν ἀθρόως ἀπὸ βαλανείου ποθέν. Προφυλακτικὰ δέ ἐστι ταῦτα ἅπερ οἱ προσενεγκάμενοι ἂν ἐπιπίωσι δηλητήριον οὐκ ἀδικοῦνται. Ἰσχάδες δύο μετὰ καρύων βασιλικῶν β' καὶ πηγάνου φύλλων κ' καὶ χόνδρου ἁλὸς, κίτρια, βουνιάδος σπέρματος ∠α' μετὰ οἴνου, καλαμίνθης ∠α', ἰσχάδες μετὰ καρύων βασιλικῶν προεσθιόμεναι.

ρκε'. Βοηθήματα κοινὰ καθόλου ἐπὶ ὧν ἠγνόηται τὸ δηλητήριον.

Ἔλαιον πινόμενον καὶ ἐξεμούμενον, ὑδρέλαιον χλιαρὸν, ἢ βούτυρον σὺν ὕδατι θερμῷ, μαλάχης ἀφέψημα μετὰ ἐλαίου, ἢ τήλεως, ἢ λινοσπέρμου, [ἢ] τραγείου στaιτὸς, ἢ χόνδρου, ἢ κνίδης σπέρματος ἀφέψημα, μετὰ ἐλαίου ἕκαστον. — Ἕτερα κοινὰ βοηθήματα μετὰ τὸν διὰ τοῦ ἐλαίου ἔμετον ἐπὶ ὧν ἠγνοήθη τὸ δηλητήριον πινόμενα.] Λημνία σφραγὶς, ἀγαρικὸν, ἀβρότονον, ἐρύσιμον, ἠρυγγίου ῥίζα, σταφυλίνου σπέρμα, νάρδος κελτικὴ, καστόριον, νάρθηκος χλωροῦ ἐντεριώνη, πρασίου χυλὸς, σιλφίου ὀπὸς, ἀριστολοχία μακρὰ, πηγάνου ἀγρίου σπέρμα, κέστρου φύλλα· ἑκάστου αὐτῶν δραχμῆς μιᾶς πλῆθος μετὰ οἴνου πινέσθω. Ποιεῖ δὲ καὶ πίσσα ὑγρὰ μετὰ μέλιτος ἐκλειχομένη· βοηθοῦσι δὲ καὶ ἀντίδοτοι ὥσπερ ἡ θηριακὴ καὶ ἡ ζωπύρειος καὶ αἱ πρὸς ταῦτα τὴν ἐπαγγελίαν ἔχουσαι. — Διαγνωστικὰ τῶν δηλητηρίων.] Σημειούμεθα δὲ ἐξ ὀσμῆς τε καὶ πικρότητος μηκώνειον, ἐκ δὲ χροιᾶς ψιμύθιον, γύψον, ἀπὸ δὲ θρόμβων γάλα καὶ τὸ νεοσφαγὲς αἷμα, ἀπὸ δὲ βρώμου καὶ ποιότητος φρύνον καὶ λαγωὸν θαλάσσιον.

Ch. 124, l. 25. προσεσθιόμεναι X. — Ch. 125, l. 27. [ἢ] ex em.; om. X. — 27-28. σταιτός ex em.; στέατος X text.; αἵματος X marg.

ρκϛʹ. Περὶ τοξικοῦ Φαρμάκου διάγνωσις καὶ Θεραπεία.

Τὸ τοξικὸν Φάρμακον καλούμενον δοκεῖ μὲν ὀνομάζεσθαι ἐκ τοῦ τὰ τοξεύματα ὑπὸ τῶν βαρβάρων αὐτῷ χρίεσθαι, παρακολουθεῖ δὲ τοῖς πεπωκόσι γλώσσης καὶ χειλῶν Φλεγμονὴ, μανία τε ἀκατάσχετος ποικίλαις ἐπιβάλλουσα Φαντασίαις, ὡς καὶ διὰ τοῦτο δυσιάτως αὐτοὺς ἔχειν, σπανίως δὲ σώζεσθαί τινα τῶν πεπωκότων. Δεῖ τοίνυν δεσμοῖς μὲν συνέχειν αὐτοὺς, ἀναγκάζειν τε γλυκὺν μετὰ ῥοδίνου πίνειν καὶ ἐμεῖν. Βοηθεῖ δὲ αὐτοῖς τὸ τῆς γογγυλίδος σπέρμα πινόμενον, ἰδιαίτερον δὲ ἡ τῆς πενταφύλλου ῥίζα, καὶ τράγου αἷμα ἢ αἰγὸς, δρυός τε Φλοιὸς, ἢ Φήγου ἢ πρίνου γάλακτι συλλεανθεὶς, καὶ κυδώνια μῆλα ἐσθιόμενα, ἢ λεῖα μετὰ γλήχωνος ἐν ὕδατι πινόμενα, ἄμωμόν τε καὶ βαλσάμου καρπὸς σὺν οἴνῳ. Ἐὰν δέ τις διαφύγῃ τὸν κίνδυνον, κλινοπετὴς πολλῷ διαμένει χρόνῳ, ἐπτοημένος τε τὸ λοιπὸν τοῦ χρόνου διατελεῖ.

ρκζʹ. Περὶ ἐμπυτιασθέντος γάλακτος.

Γάλα ἐμπυτιασθὲν ἢ ἀθρόον ποθὲν πνιγμὸν ἐμποιεῖ Θρομβούμενον· βοηθεῖ δὲ πινομένη πυτία πολλάκις μετὰ ὄξους, καλαμίνθης ξηρᾶς Φύλλα ἢ χλωρᾶς ὁ χυλὸς, ἢ σίλΦιον, ἢ ὀπὸς σιλΦίου μετὰ ὀξυκράτου, ἢ Θύμον σὺν οἴνῳ, τόν τε ἔμετον παραιτεῖσθαι, καὶ ἁλυκὸν μηδὲν προσφέρειν ἢ ἅλας.

ρκηʹ. Περὶ ὑδραργύρου.

Ὑδράργυρος δὲ ποθεῖσα βάρος ἐπιΦέρει σ1ομάχου καὶ κοιλίας καὶ ἐντέρων μετὰ σ1ρόφων ἐπιτεταμένων, ἐπέχει τε τὰ οὖρα μετὰ παροιδήσεως τοῦ σώματος μολιβδώδους τε χρόας ἀπρεπῶς. Ἁρμόζει δὲ μετὰ τὸν ἔμετον ποτίζειν μετὰ οἴνου ὁρμίνου σπέρμα, ἢ σμύρνης ὀβολοὺς δύο, ἢ ἀψίνθιον, ἢ ὕσσωπον, ἢ σελίνου σπέρμα, ἢ πέπερι, ἢ κύπρου ἄνθη, ἢ περισ1ερῶν κόπρον μετὰ οἴνου καὶ ἐλαίου, ἢ πέπερι μετὰ οἰνομέλιτος. Εἰ δὲ ἐκταράσσοιντο τὴν κοιλίαν, λουτρὰ Θερμὰ, κρέα ὕεια λιπαρὰ πάροπτα ἁρμόσει, οἶνος μέλας, ἱδρωτοποιεῖ δὲ ἔλαιον πινόμενον. Ταῦτα μὲν τῇ ὑδραργύρῳ καὶ τῇ λιθαργύρῳ κοινὰ, ἰδίως δὲ τῇ ὑδραργύρῳ ἁρμόζει γάλα πινόμενον καὶ ἐξεμούμενον.

ρκθʹ. Περὶ μυκήτων.

Μυκήτων οἱ μὲν τῷ γένει βλάπτουσιν, οἱ δὲ τῷ πλήθει, ἐπιΦέρουσι δὲ πάντες ληΦθέντες πνιγμὸν ἐοικότα ταῖς ἀγχόναις, οἷς εὐθέως βοηθεῖν δεῖ κοινῶς ἀναγκάζοντας ἐμεῖν διὰ τοῦ ἐλαίου. Θαυμασ1ῶς δὲ βοηθοῦνται κονίαν κληματίνην ἢ ἐξ ἀχράδος ξύλων πίνοντες μετὰ ὀξυκράτου. Καὶ συνεψόμεναι δὲ αἱ ἀχράδες, ἂν τὰ Φύλλα Φέρηται, ἀΦαιροῦνται τὸ πνιγῶδες αὐτῶν, ἐπεσθιόμεναί τε βοηθοῦσιν. Ὠφελεῖ δὲ καὶ

Ch. 129, l. 25. εὐθέως Aët., Paul.; εὐθέτως X. — 28. ἀΦαιροῦνται Aët., Paul.; ἤτοι X.

ἀλεκτορίδος ᾠὰ ἐν ὀξυκράτῳ ἑψηθέντα καὶ πινόμενα, ἀρισΊολοχίας τε ∠α' σὺν ἀψινθίῳ μετὰ οἴνου, μέλι τε ἐκλειχόμενον, ἢ σὺν ὕδατι πινόμενον, ἢ μελισσόφυλλον μετὰ νίτρου, ἢ πάνακος ῥίζα καὶ καρπὸς σὺν οἴνῳ, ἢ τρὺξ οἴνου κεκαυμένη μετὰ ὕδατος, ῥάφανός τε ἐσθιομένη, καὶ μάλισΊα νᾶπυ, ἢ κάρδαμον. Βοηθεῖ δὲ κλυσΊὴρ οὐκ ἀπράκτως, καὶ ποτὸν χυλὸς ῥαφανῖδος, ἢ νίτρον μετὰ ὕδατος, ἢ ἀψίνθιον κατακορὲς, εἶτα ἔμετος ἐκ διαλείμματος καὶ πάλιν τῶν αὐτῶν πόσις, καὶ πήγανον μετὰ ὄξους, ἢ χάλκανθον λεῖον. Ἐπειδή τινες μύκητες ὑπὸ Θηρίων βρωθέντες οὐ μόνον πνίγουσιν, ἀλλὰ καὶ ἑλκοῦσι τὰ ἔντερα, δοτέον ἀψίνθιον δαψιλὲς καὶ σύκων ἀφέψημα καὶ ὀριγάνου, καὶ μελίκρατον, ἔμετός τε καὶ ἔμβασις Θερμὴ καὶ ὠμήλυσις κατὰ ὑποχονδρίων συνοίσει.

ρλ'. Περὶ βδελλῶν.

Βδέλλας καταποθείσας σὺν τῷ ὕδατι, προσφυομένας τε τῇ καταπόσει ἢ σΊόματι κοιλίας, ἕλκος ἐν τοῖς μέρεσι ποιούσας καὶ φαντασίαν ἐκμυζήσεως παρεχούσας, ὅπερ καὶ σημεῖόν ἐσΊι τοῦ βδέλλας καταπεπῶσθαι, ἀποβάλλει ἅλμη καταῤῥοφουμένη. Ἀναγαργαριζέσθωσαν δὲ νίτρῳ μετὰ ὕδατος, ἢ χαλκάνθῳ μετὰ ὄξους, ἢ νάπεϊ, ἢ ὑσσώπῳ, ἢ ὀριγάνῳ· τὰς δὲ τῷ βρόγχῳ προσφυείσας ἐκβλητέον ἐμβιβάσαντας εἰς Θερμὴν ἔμβασιν καὶ δόντας διακρατεῖν ἐν τῷ σΊόματι ψυχρὸν ὕδωρ· ἐξελεύσονται γὰρ τῇ ἐπὶ τὸ ψυχρὸν προθυμίᾳ.

ρλα'. Περὶ τῶν ἐπὶ ὠφελείᾳ διδομένων.

Τῶν δὲ ἐπὶ ὠφελείᾳ διδομένων καὶ κινδύνους ἐπιφερόντων, οἷον Θαψίας, ἐλλεβόρου λευκοῦ τε καὶ μέλανος, ἐλατηρίου, ἀγαρικοῦ· καὶ ταῦτα γὰρ πνιγμὸν ἐπιφέρει ἢ ὑπερκάθαρσιν· τοὺς μὲν πνιγομένους ἐμβατέον ὡς ἐπὶ μυκήτων, τὰς δὲ ὑπερκαθάρσεις σΊαλτέον διὰ τῶν ἐπέχειν δυναμένων. Πηγάνου δὲ ἀγρίου ἢ ἡμέρου βλάβην ἐπάγοντος ἔμετος βοηθεῖ. Ὕδωρ δὲ ψυχρὸν ποθὲν, ἢ οἶνος ἄκρατος, ἢ γλυκὺς ἀπὸ βαλανείου ἢ δρόμου ἢ συντόνων γυμνασίων δηγμοὺς καὶ ἀλγήματα ἐπιφέρει. Ταχέως οὖν φλεβοτομεῖν καὶ διὰ κλυσΊῆρος κενοῦν.

ρλβ'. Τίνες ἀντίδοτοι πρὸς τὰ δηλητήρια ἐπιτήδειοι;

Ἀντίδοτοι δὲ πρὸς τὰ δηλητήρια ἐπιτήδειοι ἥ τε μιθριδάτειος καὶ ἡ διὰ αἱμάτων καὶ ἡ διὰ σκίγκων.

ρλγ'. Περὶ γυναικείων παθῶν. Μασθῶν ἀναβρώσεσι ταῖς μετὰ κακοηθείας Ἀρχιγένους.

Εἰς ἀδριανοῦ καλοῦ οἴνου ξ κ' ῥοὸς βυρσοδεψικῆς Γο ιβ' βάλε καὶ κυπαρίσσου

2. μετοινομέλιτι ἐκλιχόμενον X. Conf. Paul. — Ch. 131, l. 18. κίνδυνον Paul. — 20. ἐνσΊατέον Aët. — 21-22. ἐπαγόντων X. — 23. πνιγμούς Paul.

σφαιρίων ℔ α', κηκῖδος ὀμφακίνης μελαίνης ἡμίλιτρον, κασίας σπουδαίας ἡμίλιτρον. Ταῦτα θλασθέντα βρέχεται οἴνῳ ἡμερῶν γ', τῇ δὲ δ' ἕψεται σπαθιζόμενα κυπαρισσίνῃ σπάθῃ ἕως ζέσῃ πεντάκις ἢ ἑξάκις, καὶ τὰ μὲν βοτάνια ῥίπΊεται, ὁ δὲ χυλὸς ἕψεται ἕως μέλιτος σχῇ πάχος, καὶ ἀποτίθεται ἐν ὑελῷ ἀγγείῳ. Χρῆσις δὲ τοῦ φαρμάκου ἀκράτου μὲν ἐπὶ τῶν νεμομένων· εἰ δὲ παχύτερον εἴη, οἴνῳ ὑγραινέσθω, μάλισΊα εἰ ἐπὶ γυναικείου κόλπου τοιαύτη διάθεσις προσγένοιτο. — Ἐπιτετευγμένον φάρμακον ὡς ἀπισΊηθῆναι εἰ ἦν τοιαύτη διάθεσις, ἔσΊι δὲ καὶ παρηγορικὸν ὀδυνῶν γάλακτι ἀνεθὲν γυναικείῳ ἢ τῷ παρατυχόντι. Καὶ τὰς ἄλλας φλεγμονὰς καὶ νομὰς ἰᾶται καὶ ὦτα πυοῤῥοοῦντα καὶ οὖλα μυδῶντα καὶ δυσεντερικούς. Ἰουνιάδος φάρμακον.] Ἐλαίου παλαιοῦ ℔ γ', κηροῦ Γο κ', κολοφωνίας, σΊέατος χοιρείου ἀνὰ ℔ α's'', λιθαργύρου ℔ α', ψιμυθίου Γο ς', λινοσπέρμου Γο ς', γύρεως Γο ς', λιβάνου Γο γ'. — Ὡς ἄλλως τὸ Ἰουνιάδος φάρμακον.] Λιθαργύρου, ψιμυθίου ἀνὰ ∠ς', κολοφωνίας, κηροῦ ἀνὰ Γο ς', λιβάνου Γο α's'', ὀρνιθείου σΊέατος ℔ α', ἐλαίου κοινοῦ Γο ι', κριθίνου ἀλεύρου ξ ἰταλικοῦ δ', λινοσπέρμου χυλοῦ Γο ι'. Λεῖου ψιμύθιον, λίβανον, λιθάργυρον σὺν ὀλίγῳ χυλῷ, τὸ δὲ ὑπόλοιπον φυράσας τῷ κριθίνῳ ἔα δύο ἢ τρεῖς ὥρας, καὶ κοινῇ ἀναμαλάξας, ὕσΊερον ἀναξύσας μίσγε τὴν κηρωτήν. — Ἡ διὰ μέλιτος πρὸς τὰς μετὰ πλείονος ἐρυθήματος φλεγμονάς.] Κηροῦ, σΊέατος, λιθαργύρου, ψιμυθίου, βουτύρου, σΊέατος ὀρνιθείου ἀνὰ Γο ς', λιβάνου Γο β', ῥοδίνου τὸ ἀρκοῦν. Ἕψε λιθάργυρον, ψιμύθιον μετὰ ῥοδίνου ἐπὶ ὀλίγον, ἐπιβάλλων δὲ τὸ μέλι δὸς ζέμα ἐνσπαθίζων ἀδιαλείπΊως, ἐπάρας δὲ εὐθέως ἐπίβαλλε προτετηκότα τὰ λοιπά. — Ἡ διονυσιὰς διαφορητικὴ πρὸς μασθούς· τό τε γὰρ ὑγρὸν διὰ τῶν ἀδήλων πόρων κομίζεται, καὶ τὰς σκληρίας διαλύει. Ποιεῖ καὶ πρὸς παρωτίδας, καὶ ἡ ἀνθηρὰ δὲ καὶ ἡ διὰ ὤχρας· προγέγραπται ἡ διονυσιὰς καὶ ἡ ἀνθηρά. — Πρὸς σκληρίας καὶ φλεγμονὰς κατάπλασμα.] Λινόσπερμον μετὰ ὀξυμέλιτος ἑφθὸν, ἢ τῆλις ὁμοίως, ἢ σήσαμον ἄπλυτον φωχθὲν καὶ λειωθὲν μιγέν τε μέλιτι. — Φλεγμοναῖς διὰ ὑοσκυάμου.] Κηροῦ, σΊέατος χοιρείου, κολοφωνίας, ὑοσκυάμου φύλλων, ἐλαίου γλυκέος ἴσα. Τὰ τηκτὰ ἀναξύσας μίσγε τοῖς φύλλοις προλελειωμένοις.

ρλδ'. Περὶ χειρουργίας ἀποσΊάσεως ἐν μασθοῖς καὶ θεραπείας.

Εἰ δὲ ἀποσΊάσεως γενομένης δεήσοι χειρουργῆσαι μασθοὺς, τὰ μὲν πλαδαρὰ περιαίρει σώματα ὡς ἐπὶ τῶν λοιπῶν ἀποσΊημάτων, καὶ διαμότου ὡσαύτως· εἰ δέ τινας ἐπιδέχοιτο διαιρέσεις, καὶ διαμοτώσεσι θεράπευε, φυλασσόμενος ἐπὶ πάντων, μάλισΊα μέντοι ἐπὶ μασθῶν, σφηνοῦν τοῖς μότοις· ἐκ τούτου γὰρ συριγγοῦνται· ἀλλὰ πρᾴως παρατιθέναι. Χρῆσθαι μὲν οὖν ἀπὸ τῆς διατρίτου ἤτοι τῷ βασιλικῷ μετὰ οἴνου, ἢ τῷ πενταθέτῳ, ἢ τῷ μακεδονικῷ. Μετὰ δὲ ταῦτα ἀνακαθάρας χλωρῷ καὶ σαρκώσας θεράπευε κολλητικῶς χρώμενος τῇ γαληνείῳ φαίᾳ, καὶ ἐπάνω σπόγγῳ μετὰ οἴνου. Ποιεῖ δὲ καὶ ἡ διὰ αἰρῶν καλῶς.

2. γ'] ι' Paul. — 3. τρὶς ἢ τετράκις Aët. — 4. Χρίσις X. — 5. εἰ post μάλισΊα Aët.; om. X. — 6. προσγένοιτο Aët.; προσάγοιτο X. — 15. ἡμέρας Aët. — 21. ὑγρόν Aët.; πάρυγρον X. — Ch. 134, l. 31. μέντοι ex em.; μέν X.

ρλε'. Μὴ αὔξεσθαι μασθούς.

Αὔξεσθαι κωλύει μασθοὺς παρθένων ἰὸς σιδήρου ἐπιχριόμενος διὰ ἐλαίου, κωνείου σπέρμα μετὰ ὕδατος καταπλασσόμενον.

ρλς'. Χονδριῶντας μασθοὺς παῦσαι.

Πίτυρα μετὰ ὄξους καὶ πηγάνου ἑφθὰ καταπλασσόμενα, ἡδύοσμον μετὰ ἀλφίτου, κάρυα βασιλικὰ σὺν πηγάνῳ καὶ μέλιτι, κρόκος μετὰ γάλακτος, κύμινον κατὰ αὐτὸ ἢ μετὰ ἀλφίτου, κυδώνια ἡψημένα μετὰ μέλιτος, σέλινον χλωρόν· τοῦτο καὶ τὰς τοῦ γάλακτος θρομβώσεις διαλύει· ἅλμη πυριωμένη.

ρλζ'. Ἀτύρωτον τοῖς τιτθοῖς ἐνὸν τὸ γάλα φυλάσσει.

Κηροῦ λευκοῦ δέκα ὀροβιαῖα μεγέθη κατὰ ἑκάστην ἡμέραν καταπινόμενα. Τὰς δὲ ἐπὶ τῆς λοχείας βαρουμένας ὑπὸ πλήθους γάλακτος ἴαται φῦκος θαλάσσιον ὃ ἡμεῖς βρύον καλοῦμεν· λειοτριβηθὲν ἀναλαμβάνεται κηρωτῇ ἀπὸ τριῶν Γο κηροῦ καὶ μυρσινίνου Γο ι', ἔμπλασσε δὲ δὶς τῆς ἡμέρας· ἢ φακῷ ἐν θαλάσσῃ ἑφθῷ κατάπλασσε, ἢ βρύοις λείοις μετὰ ἁλῶν, ἢ ἀλφίτῳ μετὰ ἡδυόσμου. Θαλάσσῃ δὲ ἢ ἅλμῃ πυρία, ἢ μῆλα ἐαρινὰ καὶ κριθὰς ἰδίᾳ ἕκαστον καύσας τὴν τέφραν μετὰ ὄξους κατάπλασσε, κυμίνου βραχὺ προσμιγνύων, καὶ ἐμπλάσσων εἰς χάρτην ἅλμῃ βεβρεγμένον. Κατασπᾷ καὶ προσκαλεῖται γάλα πτισάνη ἑφθὴ σὺν μαράθῳ ῥοφουμένη, καρδάμωμον μετὰ κράματος πινόμενον, ἄνισον μετὰ ῥοφήματος ἢ μετὰ οἴνου γλυκέος, τρίψεις τε μασθῶν μετὰ λίπους, γυμνασία τῶν χειρῶν, ὕδωρ ἀνιμώσης τῆς γυναικὸς, σῖρωννυούσης κλίνας, θερούσης, ἀγαθίδας εἰλούσης, πηνιζούσης ὃ δὴ λέγομεν πανουκλιζούσης.

ρλη'. Περὶ ἐμμήνου καθάρσεως.

Ταῖς πλεῖσῖαις ἡ κάθαρσις γίνεται περὶ τὸ ιδ' ἔτος, ὀλίγαις δὲ θᾶσσον περὶ τὸ ιγ' ἢ ιβ', οὐκ ὀλίγαις δὲ βράδιον τῶν ιδ' ἐτῶν. Μελλόντων δὲ ἐπιφαίνεσθαι τῶν καταμηνίων ταῖς πλείσταις ἐπαίρεται τὸ ἐπιγάσῖριον καὶ οἱ τιτθοὶ ἐποιδοῦσι, ποτὲ μὲν ἀμφότεροι, ποτὲ δὲ ὁ ἕτερος, καὶ τὸ ἰσχίον βαρύτερον γίνεται, καὶ ὁ σῖόμαχος ἐπὶ ποσὸν διεκλύεται, καὶ τὴν ὅλην σύγκρισιν ἀσώδης ἀλυσμὸς καταλαμβάνει· ἐνίαις δὲ καὶ ἡ κεφαλὴ καὶ τὸ βρέγμα ἀλγεῖ καὶ περὶ τὰς ῥίζας τῶν ὀφθαλμῶν αἴσθησις γίνεται καὶ περὶ τὰ ἄρθρα τῶν χειρῶν. Καταρξάσης δὲ τῆς ἐκκρίσεως μειοῦται κατὰ ὀλίγον τὰ ἀλγήματα καὶ παυσαμένης παύεται. Χρόνος δὲ ἑκάσῖῃ καθάρσει τεταγμένος οὐκ ἔσῖι, ταῖς δὲ πλείσταις ε' ἡμερῶν ἐκκρίνεται· τούτων δὲ ἐν μὲν ταῖς τρισὶ δαψιλῶς φέρεται τὸ αἷμα, ταῖς δὲ δυσὶν αὐτὸ μόνον μολύνει· πολλαὶ δὲ καὶ ἄχρις ἑπτὰ ἡμερῶν μολύνουσι, τεττάρων ἢ ε' ἱκανῶς καθαρθεῖσαι· τινὲς δὲ μίαν μόνην καθαίρονται, τινὲς ἐπὶ δύο ἢ τρεῖς, σπάνιαι δὲ καὶ μέχρι δωδεκάτης ἐκαθάρθησαν. Παύονται δὲ τῶν καθάρσεων

αἱ μὲν περὶ τὸ πεντηκοσῖὸν ἔτος, σπάνιαι δὲ μέχρι τῶν ξʹ ἐκαθάρθησαν, ἐνίαις δὲ ἀπὸ λεʹ, καὶ μάλισῖα ταῖς καταπιμέλοις, ἤρξατο λήγειν τὰ καταμήνια. Στραγγευομένης δὲ τῆς καθάρσεως λούειν περὶ τὴν προθεσμίαν καὶ προποτίζειν σησάμῳ καὶ κεφαλωτῷ πράσῳ μετὰ πεπέρεως εἰς τὸ αὐτὸ καθηψημένοις· ἡ δὲ πόσις διὰ γλυκέος γινέσθω κρητικοῦ κο. αʹ, πιοῦσα δὲ περιπατείτω, κινείτω τε ἔμμηνα· ἐσθιέτω δὲ τευθίδας, σηπίας, πολύποδας καὶ ὅσα τοῦ αὐτοῦ γένους· τοῦ γὰρ αἵματός ἐσῖιν ἰδίως ταρακτικά· διὸ καὶ αἱμορροΐδας ἀνακεκομμένας ἤνοιξεν. Ἐνίαις δὲ ἐρεθίζει τὴν κάθαρσιν σμύρνης κυαμιαῖον μέγεθος μελικράτῳ πινόμενον, ἢ εἰς κοκκία μερισθὲν καὶ καταπινόμενον, ἢ κασῖορίου ∠αʹ ἐν κυάθοις τρισὶ μελικράτου, ἢ ἀμμωνιακοῦ ὡσαύτως, ἢ σαγαπηνοῦ βραχύτατον· εἰ δέ τις εὔτονον ἔχοι τὸν σῖόμαχον, ὀποπάνακος βραχύ· τοῦτο δὲ σφαιρωθὲν εἰς κοκκία καταβάπῖεται εἰς ἄπεφθον μέλι καὶ καταπίνεται, ἐπιπινομένου μελικράτου. Ταῖς δὲ καθαριωτέραις ἢ ἀσθενεσῖέραις τὸν σῖόμαχον δοτέον κασίαν, ἢ σχοίνου ἄνθους, ἢ ἴρεως ἰλλυρικῆς ἀφέψημα ἀποτριτωθὲν, ἢ σεσέλεως ῥίζαν ἢ σπέρμα, ἢ ἄμμι, ἢ πετροσέλινον· ἐσθίειν δὲ κεδρίδας. Καὶ προσθετὰ δέ ἐσῖιν αἱμαγωγὰ πηγάνου χυλὸς ἐν κροκύδι προσθετὸς, ἢ ἀμαράκινον ἐν πεσσῷ, ἢ βδέλλιον καὶ ὕσσωπος καὶ κηρὸς τυῤῥηνικὸς σὺν οἴνῳ συντακέντα, ἢ ἀψινθίου χυλὸς ἐν κροκύδι. Τούτων δὲ μᾶλλον ἐνεργεῖ ἤτοι σῖομοῖ, ἢ μέλας ἐλλέβορος, ἢ σκαμμωνία, ἢ κολοκυνθίδος ἐντεριώνη· σπανίως δὲ τούτοις ἐπιτολμητέον καὶ ἐπὶ τῶν ἰσχυρῶν γυναικῶν. Καὶ χαλβάνη τε ὑποθυμιαθεῖσα ἄγει ἔμμηνα, καὶ ἀρτεμισία λεία κατὰ τοῦ ἤτρου ἐπιπλασσομένη.

ρλθʹ. Ἐκβάλλοντα ἔμβρυα.

Ταῦτα δὲ λέγω δὴ τὰ προειρημένα ποτὰ καὶ προσθετὰ ἐκβάλλει ἔμβρυα ἅπερ καὶ τὰ ἔμμηνα κινεῖν καὶ ἐκκρίνειν πέφυκεν, οἷς ἐπὶ ἐμβρύων ἐκβολῆς ἡμεῖς κεχρήμεθα.

ρμʹ. Περὶ κίσσης.

Ἡ κίσσα ταῖς γυναιξὶν ὡς ἐπὶ τὸ πλεῖσῖον συμβαίνει περὶ τεσσαρακοσῖὴν ἡμέραν, τουτέσῖιν ἐν τῷ δευτέρῳ μηνί· ἔσῖι δὲ πλάδος σῖομάχου καὶ ναυτία καὶ ἀπορία καὶ ἀλυσμὸς καὶ ἔμετος σιτίων καὶ χολῆς.

ρμαʹ. Περὶ χορίου ἐκλήψεως.

Τὸ χορίον καὶ δεύτερον καλεῖται, ἐπὶ δὲ τοῦ κατεσχημένου χορίου ποτὲ μὲν εὑρίσκεται μεμυκὸς τὸ σῖόμιον τῆς ὑσῖέρας, ποτὲ δὲ διεσῖηκὸς, καὶ ποτὲ μὲν φλεγμαῖνον, ποτὲ δὲ ἀφλέγμαντον. Αὐτὸ δὲ τὸ χορίον ποτὲ μὲν ἀπολέλυται τῆς πρὸς τὸν πυθμένα συνεχείας, ποτὲ δὲ συμπεφυκὸς αὐτῷ καταλαμβάνεται. Διεσῖῶτος μὲν οὖν τοῦ σῖομίου τῆς ὑσῖέρας καὶ τοῦ χορίου ἀπολελυμένου καὶ παρά τι μέρος τῆς

εἰς τὸ αὐτό Paul.; αὐτό X. — 17. σῖόμα X. — Ch. 141, l. 30. περί Aët.

μήτρας σφαιροειδῶς συνεσΊραμμένου, ῥάσΊη ἐσΊὶν ἡ κομιδή· τὴν γὰρ χεῖρα τὴν ἀρισΊερὰν Θερμὴν καὶ λελιπασμένην εἰς βάθος δεῖ καθιέναι καὶ ὑποπεσόντα τὸ δεύτερον ἐκϐαλεῖν. Εἰ δὲ προσπεφυκὸς εἴη τῷ τῆς ὑσΊέρας πυθμένι, καθιέναι μὲν ὁμοίως τὴν χεῖρα Θερμὴν καὶ λελιπασμένην, συλλαϐόντα δὲ τὸ χορίον τείνειν μὴ ἐπὶ εὐθείας διὰ τὸν τῆς προπτώσεως φόϐον, ἀλλὰ μηδὲ μετὰ βίας ἰσχυρᾶς, πειθηνίως δὲ, καὶ τὸ μὲν πρῶτον ἀνειμένως μετάγειν εἰς τὰ πλάγια τῇ καὶ τῇ παραφέροντα, εἶτα καὶ εὐτονώτερον κατάσπασον· ὑπακούει γὰρ οὕτω καὶ ἀπολύεται τῆς προσφύσεως. Εἰ δὲ μεμυκὸς εὑρεθείη τὸ σΊόμα τῆς ὑσΊέρας, ἐγχυματισμῷ χρῆσθαι προσθέντα τοὺς δακτύλους τῆς ἀρισΊερᾶς χειρὸς καὶ ἐπάνω.....

ρμβ'. [Περὶ ἐμμήνων ἐποχῆς.]

....

.... [Φλεϐοτομίᾳ χρησΊέον μὴ πρὸ τῆς τῶν ἐμμήνων προθεσμίας· ἀφαιρείσθωσαν δὲ μή]τε πλεῖον τριῶν λιτρῶν, μήτε ἔλαττον μιᾶς. Εἴτε δὲ φλεϐοτομήσαιμεν, εἴτε μὴ φλεϐοτομήσαιμεν, τῇ διὰ κολοκυνθίδος ἱερᾷ καθαίρειν διδόντας δύο δραχμῶν πλῆθος· σχεδὸν γὰρ ἐπὶ τῶν πλείσΊων συμμέτρως δίδραχμον ποθὲν καλῶς καθαίρει. Προσφερέσθω δὲ ἐν μελικράτου κο. α'. Πυρετοῦ δὲ παρόντος, τῇ μὲν ἱερᾷ χρῆσθαι οὐκ ἐγχωρεῖ, εὔκαιρος δὲ ἡ φλεϐοτομία ἐν ταῖς πρώταις τοῦ πυρέσσειν ἡμέραις· ἐν δὲ ταῖς ἑξῆς ἕωθεν περιπατείτωσαν, εἶτα αἰωρείσθωσαν διὰ ζευκτοῦ, εἶτα τριϐεῖσαι ἰσχία καὶ ἦτρον καὶ σκέλη ἄνωθεν εἰς τὰ κάτω παραγενομένων τῶν χειρῶν λουέσθωσαν. Τροφαὶ δὲ ἁρμόζουσιν ὑγραὶ καὶ εὐδιοίκητοι, λάχανα τὰ γλυκέα πάντα, ἰχθύων οἱ πετραῖοι, πτηνῶν τὰ ἁπαλώτερα, κρεῶν δὲ σπανία ἔσΊω χρῆσις, οἶνος σύμμετρος μὴ ἄγαν παλαιὸς, αὐτενίαυτος· πο......... γὰρ οὗτος πο......... γαλακτοποσία τε..... μελιττώματα ἁρμόζει· ἄθετα δὲ πάντα τὰ ὄσπρια πλὴν τῆς πτισάνης. ΠλησΊον δὲ τῆς προθεσμίας γινομένης διδόναι τῶν Θαλασσίων τὰ σελάχια, οἷον νάρκας, γαλεοὺς, ἰουλίδας.. χηνοὺς, πελωριάδας, μύακας, τευθίδας, σηπίας, πολύποδας· ταράσσει γὰρ τὸ σύγκριμα καὶ συνεργεῖ τῇ τῶν ἀγγείων ἀνασΊομώσει. Τότε δὲ καὶ ταινίαις καταληπτέον τὰ σκέλη ἀπὸ βουϐώνων ἄχρι σφυρῶν ἐσφιγμέναις συμμέτρως ἐπὶ τρεῖς ἢ τέσσαρας ἡμέρας, ἀνιεμένης παρὰ ὥρας τινὰς τῆς σφίγξεως. Ἐνστάσης δὲ τῆς προθεσμίας περιαιρείσθω μὲν ἡ σφίγξις, προποτιζέσθωσαν δὲ σμύρνης ὀϐολὸν ἢ κυάμου αἰγυπτίου τὸ μέγεθος μετὰ μελικράτου ἢ γλυκέος, ἢ καστορίου, ἢ ἀρτεμισίας, ἢ κοινῇ καθηψημένων πηγάνου καὶ πεπέρεως καὶ κεφαλωτοῦ πράσου καὶ ἐλελισφάκου ἀφέψημα μετὰ λουτρὸν διὰ γλυκέος ἢ ἀψινθίτου οἴνου. Ἀψινθίτης δὲ οἶνος παρὰ ὅλην τὴν Θεραπείαν προπινέσθω διὰ ἀφεψήματος ἀρτεμισίας κεραννύμενος· μὴ παρόντος δὲ οἴνου ἀψινθίτου, ἀρτεμισίας σὺν ἀψινθίῳ ἀφεψηθείσης ἁπλοῦς οἶνος τῷ ἀφεψήματι κεραννύσθω. Παρελθούσης δὲ τῆς κατὰ τὴν κάθαρσιν προθεσμίας καὶ

2. ὑποπεσόντα conj.; ὑπὸ πεσῶν X.; ὑποπεσόν Paul.; ἐπὶ ποσόν Aët. — 9. ἐπάνω] ici manque un feuillet dans le manuscrit. — Ch. 142, tit. e Paul.; om. X. — 11-12 [Φλεϐοτομίᾳ....... μή] Paul.; om. X. — 12. λιτρῶν Paul.; om. X. — 16. εὔκαιρος Paul.; εὐχερῆς X. — 30. καθηψημένων conj.; κ...... ένων X.

μηδενὸς ἀξιολόγως ἐκκριθέντος, τῇ διὰ σφυροῦ φλεβοτομίᾳ χρησΊέον, ἤτοι τοῦ ἑτέρου ἢ ἑκατέρου, κατὰ τὰ ἔσωθεν σφυρὰ, διασφιγγομένου πρῶτον τοῦ ποδὸς ταινίᾳ, εἶτα καὶ ὑπὲρ τὸ σφυρὸν, καὶ εἰ οἷόν τε, μεριζέσθω καὶ εἰς ἐπαφαίρεσιν· μετὰ δὲ τὴν ἀφαίρεσιν ὀλίγων ἡμερῶν ζ′ που ἢ ς′ ἀνάληψις ἐπιτελείσθω, εἶτα ἡ διὰ τῆς ἱερᾶς πάλιν κάθαρσις, καὶ πάλιν μετὰ ἀνάληψιν δρωπακισμοῖς διὰ τεσσάρων χρησΊέον κατὰ ἤτρου καὶ ὀσφύος καὶ μηρῶν· ὁ δὲ δρώπαξ ἐχέτω πίσσαν μετὰ κολοφωνίας ἴσα, νίτρου δὲ ὀλίγον, ἀσφάλτου δὲ καὶ θείου δαψιλέσΊερον. Μετὰ δὲ δύο ἢ τρεῖς δρωπακισμοὺς ὑδροποτήσας τριῶν ἡμερῶν καταπλασσέσθω νάπυϊ πρὸς ἴσον ἄρτον βεβρεγμένον, καὶ ἰσημερινὴν ὥραν ἐπιμενέτω, ἔπειτα λουέσθω. Εἰ δὲ μὴ ἀνέχοιτο δακνομένη, πρὸ τῆς εἰς τὸ θερμὸν ἐμβάσεως λιπαινέσθω τὰ μέρη· τῷ δὲ ἑξῆς μηνὶ ἰσχάδες ἀντὶ τοῦ ἄρτου μιγνύσθωσαν τῷ νάπυϊ, καὶ μετὰ τοῦτο κηρωτῇ κυπρίνῃ σκεπέσθω τὰ μέρη. Παρὰ ὅλην δὲ τὴν θεραπείαν δὶς τῆς ἡμέρας ἐγκαθιζέσθωσαν εἰς ἀφέψημα τήλεως καὶ μαλάχης, ἢ γλήχωνος καὶ πηγάνου καὶ ἀρτεμισίας, καὶ ἐγχυματιζέσθωσαν εἰς τὸν κόλπον σουσίνῳ, ἢ ἀμαρακίνῳ, ἢ πεσσὸς προσΊιθέσθω οἷος ὁ ἐννεαφάρμακος καὶ ὁ λιβιανός. Αὕτη μὲν οὖν ἡ θεραπεία πλείσΊας ἄρδην ἐκάθηρεν· ἵνα δὲ τῆς ἄλλης ὕλης μὴ ἀπείρως δοκῶμεν ἔχειν τῆς πρὸς τὰς καθάρσεις ἐπιτηδείου, ἀνατρεπτέον. Ἶρις τοίνυν ἰλλυρικὴ πινομένη μετὰ οἴνου, καὶ κυπέρου ῥίζα, καὶ ἄρου ῥίζα, καὶ κασία, καὶ σχοίνου ἄνθος, καὶ νάρδος κινοῦσι τὰς ἐμμήνους καθάρσεις, καὶ ἑλενίου ῥίζης ἀφέψημα, καὶ σμύρνης κυάμου ἑλληνικοῦ μέγεθος σὺν γλυκεῖ λεαινόμενον καὶ πινόμενον, καὶ ὀποπάνακος ἡμίσει κυ. μελικράτου, καὶ κασΊορίου δραχμὴ μία μελικράτῳ, καὶ δικτάμνου κοχλιάρια δύο, ἢ τὸ ἀφέψημα, καὶ τὰ συνήθη ἡμῖν σπέρματα κινεῖν πέφυκεν, ἔλαττον δὲ, οἷον μάραθον, κύμινον, σίνων, πετροσέλινον, ἄμμι, δαῦκος κρητικὸς, καὶ ἐρέβινθοι, καὶ κεδρίδες· προσθετὰ δὲ σμύρνα ἀφεψήματι ἀψινθίου ἢ θέρμων λεανθεῖσα, ἢ πηγάνου χυλῷ, βδέλλιόν τε ὡσαύτως, ἢ ἀγρίας ἐλαίας κόμμι, ἢ μακρὰ ἀρισΊολοχία διαγλυφομένη εἰς σχῆμα κολλυρίου· παραπλησίως δὲ καὶ ἡ τοῦ μεγάλου κενταυρίου ῥίζα, ἢ ἑλλεβόρου μέλανος, ἢ ὀπὸς σκαμμωνίας, καὶ κολοκυνθίδος ἐντεριώνη κατὰ αὑτὴν, καταπλασσομένη δὲ ἀρτεμισία μετὰ πηγάνου, καὶ χαλβάνη ὑποθυμιωμένη. Τῶν δὲ ποτημάτων τὰ κεφαλαλγίαν ποιοῦντα ἐπὶ τῶν τρυφερωτέρων παραιτητέον. — Ὁ λιβιανὸς πεσσός.] Ναρδίνου μύρου Γο ς′, κηροῦ τυῤῥηνικοῦ Γο ς′, σουσίνου μύρου Γο δ′, χοιρείου σΊέατος προσφάτου Γο γ′, χηνείου καὶ ὀρνιθείου καὶ μυελοῦ ἐλαφείου καὶ ἀμαρακίνου μύρου ἀνὰ Γο β′, ταυρείου σΊέατος, τερεβινθίνης, οἰσύπου ἀνὰ Γο α′. Διπλώματι τήκεται, πάντες δὲ οἱ λοιποὶ πεσσοί. — Ἐννεαφάρμακος πεσσός.] Ῥοδίνου μύρου, κικίνου μύρου, τερεβινθίνης, κηροῦ, μέλιτος, χηνείου σΊέατος καὶ βοείου, ἐλαφείου μυελοῦ, βουτύρου ἴσα ἐν διπλώματι τήκεται.

ρμγ′. Περὶ ὑπερκαθάρσεως.

Ὑπερκαθάρσεις ταῖς γυναιξὶ γίνονται τῶν καταμηνίων παρατεινόντων ἐπὶ πλείους

4. ἐπιτελείσθω conj.; ἐπι....ισθω X. — Ib. ἡ διὰ τῆς ἱερᾶς e Paul.; erasum apud X.

